9. Quum Methymnaei transire ad ipſum nollent, quod Athenienſes praeſidiarios haberent, atque illi, qui rerum ſummae praeerant, Athenienſium partes ſequerentur; admotis copiis, oppidum vi capit. Itaque fortunae eorum omnes a militibus direptae ſunt, mancipia vero in forum Callicratidas coëgit. Quumque ſocii Methymnaeos etiam vendi vellent: reſpondit, quod, ſe imperatore, Graecorum nemo in ſeruitutem redigeretur, quantum quidem in ipſo eſſet.

10. Poſtridie corpora libera dimittit; ſed praeſidiarios Athenienſium, ac ſeruilis conditionis captiuos omnes vendit. Cononi etiam denunciat, effecturum ſe, ne deinceps maris moechus eſſet. Quumque illum prima luce prouehi videret in altum, intercepto itinere, ne Samum ſe fuga recipere poſſet, hominem perſequitur.

ια'. Κόνων δ' ἔφευγε ταῖς ναυσὶν εὖ πλεύσαις, διὰ τὸ ἐκ πολλῶν πληρωμάτων ἐς ὀλίγας ἐκλελέχθαι τὰς ἀρίστας ἐρέτας· καὶ καταφεύγει ἐς Μιτυλήνην τῆς Λέσβου, καὶ ξὺν αὐτῷ τῶν δέκα στρατηγῶν Λέων καὶ Ἐρασινίδης. Καλλικρατίδας δὲ ξυνεισέπλευσεν ἐς τὸν λιμένα, διώκων ναυσὶν ἑκατὸν καὶ ἑβδομήκοντα.

ιβ'. Κόνων δὲ, ὡς ἔφθη ὑπὸ τῶν *πολεμίων κατακωλυθεὶς, ἠναγκάσθη ναυμαχῆσαι πρὸς τῷ λιμένι, καὶ ἀπώλεσε ναῦς τριάκοντα. οἱ δ' ἄνδρες ἐς τὴν γῆν ἀπέφυγον. τὰς δὲ λοιπὰς τῶν νεῶν, τετταράκοντα οὔσας, ὑπὸ τῷ τείχει ἀνείλκυσε. Καλλικρατίδας δὲ, ἐν τῷ λιμένι ὁρμισάμενος, ἐπολιόρκει, ἐνταῦθα τὸν ἔκπλουν ἔχων. καὶ κατὰ γῆν μεταπεμψάμενος τὰς Μηθυμναίους πανδημεὶ, καὶ ἐκ Χίου τὸ στράτευμα διεβίβασε· χρήματά τε παρὰ Κύρου αὐτῷ ἦλθεν.

ιγ'. Ὁ δὲ Κόνων, ἐπεὶ ἐπολιορκεῖτο καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν, καὶ σίτων ὁδαμόθεν ἦν εὐπορῆσαι, οἱ δὲ ἄνθρωποι πολλοὶ ἐν τῇ πόλει ἦσαν, καὶ οἱ Ἀθηναῖοι οὐκ

11. At Conon fugam cum nauibus expeditis faciebat, quod de multis ſupplementis peritiſſimi remiges in paucas naues delecti fuerant; ſeque cum duobus e x ducibus, Leonte ac Eraſinide, Mitylenem oppidum Lesbi recipit. Eum cum CLXX nauibus Callicratidas perſequens, in eundem portum nauigat.

12. Tum Conon, quem hoſtes anteuertendo intercluſiſſent, ad portum nauali pugna decernere coactus fuit, et triginta naues amiſit, hominibus ad terram fugiendo elapſis. Reliquas naues XL. ſub ipſum murum ſubduxit. At Callicratidas portum ingreſſus Cononem obſidebat, quum illic poteſtatem exeundi ſuis cum nauigiis haberet: atque etiam terra Methymnaeorum plebe omni arceſſita, de Chio quoque copias traduxit. Allata fuit tunc ipſi et a Cyro pecunia.

13. Conon, quum terra marique obſideretur, neque commeatus parare copiam alicunde poſſet, quum et magna eſſet hominum in oppido multitudo, et Athenienſes opem non

* Al. πολιτῶν.

ἐκ ἐβοήθουν, διὰ τὸ μὴ πυνθάνεσθαι ταῦτα, καθελκύσας τῶν νεῶν τὰς ἄριστα πλεούσας δύο, ἐπλήρωσε πρὸ ἡμέρας, ἐξ ἁπασῶν τῶν νεῶν τοὺς ἀρίστους ἐρέτας ἐκλέξας, καὶ τοὺς ἐπιβάτας ἐς κοίλην ναῦν μεταβιβάσας, καὶ τὰ παραρρύματα παραβαλών*.

ιδ'. Τὴν μὲν οὖν ἡμέραν οὕτως ἀνείχον. ἐς δὲ τὴν ἑσπέραν, ἐπεὶ σκότος εἴη, ἐξεβίβαζεν, ὡς μὴ καταδήλους εἶναι τοῖς πολεμίοις ταῦτα ποιοῦντας. τῇ πέμπτῃ δὲ ἡμέρᾳ ἐσθέμενοι σῖτα μέτρια, ἐπειδὴ ἤδη μέσον ἡμέρας ἦν, καὶ οἱ **ἐφορῶντες ὀλιγώρως εἶχον, καὶ ἔνιοι ἀνεπαύοντο, ἐξέπλευσεν*** ἔξω τῦ λιμένος. καὶ ἡ μὲν ἐπὶ Ἑλλήσποντον ὥρμησεν, ἡ δὲ ἐς τὸ πέλαγος.

ιε'. Τῶν δὲ ἐφορώντων ὡς ἕκασοι ἤνοιγον, τάς τε ἀγκύρας ἀποκόπτοντες, καὶ ἐγειρόμενοι, ἐβοήθουν τεταραγμένοι, τυχόντες ἐν τῇ γῇ ἀριστοποιούμενοι· ἐσβάντες δὲ ἐδίωκον τὴν ἐς τὸ πέλαγος ἐφορμήσασαν, καὶ ἅμα τῷ ἡλίῳ δυνόντι κατέλαβον· καὶ κρατήσαντες μάχῃ,

non ferrent, quod horum nihil adhuc comperiſſent; naues duas, ex omni numero expeditiſſimas, in mare deduxit, et ante diem inſtruxit, deque nauibus vniuerſis remiges optimos delegit, in nauim concauam milites claſſiarios impoſuit, remis vſitatis alios adjecit.

14. Ac die quidem illo ita ſe continebant. Sub veſperam, vbi primum tenebrae oborirentur, in terram eos exponebat, ne id ipſos agere hoſtibus innoteſceret. Die quinto cibariis, quantum ſatis eſſet, inſtructi; ipſo meridie, quum ſpeculatores partim negligenter haec obſeruarent, partim etiam quieti ſe dediſſent, e portu nauigarunt, proiecta in altum naui vna, verſus Helleſpontum tendente altera.

15. Tum illi, qui agebant in excubiis, vti quiſque ſibi viam aperiebat, ancoras abrumpere, excitari, cum tumultu accurrere. Nam forte tunc in litore prandebant. Quumque conſcendiſſent naues, illam, quae in altum ſe proripuerat, inſequuntur: quumque ſole iam occidente ad eam peruenifſent,

* Al. παρελαβῶν. ** οἱ ἐφορμοῦντες vt lin. 13. ἐφορμούντων.
*** Al. ἐξέπλευσαν.

μάχῃ, ἀναδησάμενοι ἀπῆγον ἐς τὸ στρατόπεδον αὐτοῖς ἀνδράσιν.

ις'. Ἡ δ' ἐπὶ τῷ Ἑλλησπόντῳ φυγοῦσα ναῦς διέφυγε, καὶ ἀφικομένη ἐς τὰς Ἀθήνας ἐξαγγέλλει τὴν πολιορκίαν. Διομέδων δὲ βοηθῶν Κόνωνι πολιορκουμένῳ, δώδεκα ναυσὶν ὡρμήσατο ἐς τὸν εὔριπον τῶν Μιτυληναίων. ὁ δὲ Καλλικρατίδας ἐπιπλεύσας αὐτῷ ἐξαίφνης, δέκα μὲν τῶν νεῶν ἔλαβε· Διομέδων δὲ ἔφυγε τῇ τε αὐτοῦ, καὶ ἄλλῃ.

ιζ'. Οἱ δὲ Ἀθηναῖοι, τὰ γεγενημένα καὶ τὴν πολιορκίαν ἐπεὶ ἤκουσαν, ἐψηφίσαντο βοηθεῖν ναυσὶν ἑκατὸν καὶ δέκα, ἐσβιβάζοντες τοὺς ἐν ἡλικίᾳ ὄντας ἅπαντας, καὶ δούλους, καὶ ἐλευθέρους· καὶ πληρώσαντες δέκα καὶ ἑκατὸν ἐν τριάκοντα ἡμέραις, ἀπῆραν. ἐσέβησαν δὲ καὶ τῶν ἱππέων πολλοί.

ιή. Μετὰ ταῦτα ἀνήχθησαν ἐς Σάμον, κἀκεῖθεν Σαμίας ναῦς ἔλαβον δέκα. ἤθροισαν δὲ καὶ ἄλλας πλείους ἢ τριάκοντα παρὰ τῶν ἄλλων ξυμμάχων, ἐσβαίνειν ἀναγκάσαντες

sent, proelio commisso, vi ea potiuntur, ac religatam cum ipsis vectoribus ad classem suam deducunt.

16. At quae versus Hellespontum se contulerat, effugit; Athenasque delata, classem obsideri nuntiat. Tum ferens opem Cononi obsesso Diomedon, cum nauibus XII in Mitylenaeorum fretum se contulit. Aduersus hunc, re improvisa, Callicratidas nauigans, decem naues capit: Diomedonte cum sua, et quadam alia, sibi fuga consulente.

17. Hoc vbi accidisse, nihiloque minus obsideri suos Athenienses accepere; centum ac decem nauibus his succurrendum esse decernunt, in quas vniuersi, qui adoleuissent, serui ac liberi, imponerentur. Classe ex nauium intra diem trigesimum instructa, soluunt: magna etiam equitum parte naues ingressa.

18. Secundum haec Samum perueniunt; vbi, quum naues Samias decem sibi adiunxissent, etiam alias a sociis aliis collegerunt, plures quam xxx, coactis omnibus,

σαντες ἅπαντας. ὁμοίως δὲ καὶ εἴ τινες αὐτοῖς ἔτυχον ἔξω ὄσαι· ἐγένοντο δὲ αἱ πᾶσαι πλείους ἢ πεντήκοντα καὶ ἑκατόν.

ιθ'. Ο δὲ Καλλικρατίδας, ἀκούων τὴν βοήθειαν ἤδη ἐν Σάμῳ ὖσαν, αὐτῷ μὲν κατέλιπε πεντήκοντα ναῦς, καὶ ἄρχοντα Ετεόνικον· ταῖς δὲ εἴκοσι καὶ ἑκατὸν ἀναχθεὶς, ἐδειπνοποιεῖτο τῆς Λέσβου ἐπὶ τῇ Μαλέᾳ ἄκρᾳ, ἀντίον τῆς Μιτυλήνης. τῇ δ' αὐτῇ ἡμέρᾳ ἔτυχον καὶ οἱ Αθηναῖοι δειπνοποιούμενοι ἐν ταῖς Αργινούσαις. αὗται δ' εἰσὶν ἀντίον τῆς Λέσβου, ἐπὶ τῇ Μαλέᾳ ἄκρᾳ, ἀντίον τῆς Μιτυλήνης.

κ'. Τῆς δὲ νυκτὸς ἰδὼν τὰ πυρὰ, καί τινων αὐτῷ ἐξαγγειλάντων, ὅτι Αθηναῖοι εἶεν, ἀνήγετο περὶ μέσας νύκτας, ὡς ἐξαπιναίως προσπέσοι. ὕδωρ δ' ἐπιγενόμενον πολὺ καὶ βρονταὶ διεκώλυσαν τὴν ἀναγωγήν. ἐπεὶ δὲ ἀνέσχεν ἅμα τῇ ἡμέρᾳ, ἔπλει ἐπὶ τὰς Αργινούσας.

κα'. Οἱ δ' Αθηναῖοι ἀνταναγόντο ἐς τὸ πέλαγος τῷ εὐωνύμῳ,

omnibus, vt eas conſcenderent. Idem de nauibus illis factum, quae forte tunc aberant. Vniuerſae plures fuere quam CL.

19. Poſteaquam accepiſſet Callicratidas, iam apud Samum Athenienſium claſſem eſſe, quae ſuis opem ferret; naues ad obſidionem quinquaginta relinquit, eiſque praeficit Eteonicum: cum caeteris CXX proiectus in altum, ad Maleam Lesbi promontorium, e regione Mitylenae, coena ſuorum corpora curat. Eodem die forte fortuna etiam Athenienſes ad Arginuſas coenabant, quae et ipſae e regione Lesbi ad Maleam promontorium Mitylenae oppoſitae ſunt.

20. Noctu Callicratidas, conſpectis hoſtium ignibus, ac nonnullis renuntiantibus, eſſe hos Athenienſes, circiter noctem mediam ſoluit, vt eos ſubito nec opinantes inuaderet. Verum ab imbribus copioſis, ac tonitruis impeditus, progredi non potuit. Vt primum tempeſtas ceſſauit, prima luce nauigat verſus Arginuſas.

21. Ei laeua parte occurrunt in alto Athenienſes, in hunc modum

εὐωνύμῳ, παρατεταγμένοι ὧδε· Ἀριστοκράτης μὲν, τὸ εὐώνυμον ἔχων, ἡγεῖτο πεντεκαίδεκα ναυσὶ, μετὰ δὲ ταῦτα Διομέδων ἑτέραις πεντεκαίδεκα. ἐπετέτακτο δὲ Ἀριστοκράτει μὲν Περικλῆς, Διομέδοντι δὲ Ἐρασινίδης. παρὰ δὲ Διομέδοντα, οἱ Σάμιοι, δέκα ναυσὶν ἐπὶ μιᾶς τεταγμένοι· ἐστρατήγει δὲ αὐτῶν Σάμιος, ὀνόματι Ἱππεύς· ἐχόμεναι δὲ τῶν ταξιάρχων δέκα καὶ αὗται ἐπὶ μιᾶς. ἐπὶ δὲ ταύταις αἱ τῶν ναυάρχων τρεῖς, καὶ εἴ τινες ἄλλαι ἦσαν ξυμμαχίδες. τὸ δὲ δεξιὸν κέρας Πρωτόμαχος εἶχε πεντεκαίδεκα ναυσί· παρὰ δ' αὐτὸν, Θρασύλος ἑτέραις πεντεκαίδεκα. ἐπετέτακτο δὲ Πρωτομάχῳ μὲν Λυσίας, ἔχων τὰς ἴσας ναῦς· Θρασύλῳ δὲ Ἀριστογένης.

κβ'. Οὕτω δ' ἐτάχθησαν, ἵνα μὴ διέκπλουν διδοῖεν· χεῖρον γὰρ ἔπλεον. αἱ δὲ τῶν Λακεδαιμονίων ἀντιτεταγμέναι ἦσαν ἅπασαι ἐπὶ μιᾶς, ὡς πρὸς διέκπλουν καὶ περίπλουν παρεσκευασμέναι, διὰ τὸ βέλτιον

modum acie inſtructa: Prima in fronte ad laeuam cum xv nauibus Ariſtocrates erat, deinde cum aliis xv Diomedon. Poſt Ariſtocratem Pericles, poſt Diomedontem Eraſinides, collocati erant. Propter Diomedontem Samii cum decem nauibus ſingillatim inſtructi erant: quorum dux erat Samius quidam Hippeus. His proximae tribunorum decem naues erant, et ipſae ſingillatim inſtructae. Secundum has, tres claſſi praefectorum, et ſi quae aliae ſociorum, naues erant. Dextrum cornu cum nauibus xv Protomachus tenebat, et iuxta eum Thraſylus cum aliis xv nauibus. Poſt Protomachum Lyſias cum nauibus totidem, poſt Thraſylum Ariſtogenes collocatus erat..

22. Atque hoc modo aciem inſtruxerant, ne perrumpendi claſſem ſuam hoſti facultatem concederent. Erant enim ipſorum naues minus ad nauigandum expeditae. At Lacedaemoniorum naues vniuerſae ſingillatim inſtructae, et ad perruptionem claſſis hoſtilis, et circumventionem comparatae erant, propterea

σιον πλεῖν. εἶχε δὲ τὸ δεξιὸν κέρας Καλλικρατίδας.

κγ'. Ερμων δὲ καὶ Μεγαρεὺς ὁ τῷ Καλλικρατίδᾳ κυβερνῶν, εἶπε πρὸς αὐτὸν, ὅτι εἰ ἡ καλῶς ἔχον ἀποπλεῦσαι. αἱ γὰρ τριήρεις τῶν Αθηναίων πολλῷ πλέονες ἦσαν. Καλλικρατίδας δὲ εἶπεν, ὅτι ἡ Σπάρτη ὀδὲν μὴ κάκιον οἰκιεῖται αὐτῆ ἀποθανόντος· φεύγειν δὲ αἰσχρὸν εἶναι ἔφη.

κδ'. Μετὰ δὲ ταῦτα ἐναυμάχησαν χρόνον πολὺν, πρῶτον μὲν, ἀθρόαι, ἔπειτα δὲ, διεσκεδασμέναι. ἐπεὶ δὲ Καλλικρατίδας τε, ἐμβαλόσης τῆς νεὼς, ἀποπεσὼν ἐς τὴν θάλατταν ἠφανίθη, Πρωτόμαχός τε καὶ οἱ μετ' αὐτῆ τῷ δεξιῷ τὸ εὐώνυμον ἐνίκησαν· ἐντεῦθεν φυγὴ τῶν Πελοποννησίων ἐγένετο ἐς Χίον, πλείσων δὲ καὶ ἐς Φώκαιαν. οἱ δὲ Αθηναῖοι πάλιν ἐς τὰς Αργινούσας κατέπλευσαν. ἀπώλοντο δὲ τῶν μὲν Αθηναίων νῆες πέντε καὶ εἴκοσιν αὐτοῖς ἀνδράσιν, ἐκτὸς ὀλίγων τῶν πρὸς τὴν γῆν προσενεχθέντων. τῶν δὲ Πελοποννησίων, Λακωνικαὶ μὲν ἐννέα, πασῶν ὑσῶν δέκα· τῶν δ' ἄλλων ξυμμάχων πλείους, ἢ ἑξήκοντα.

κε'. Εδοξε

propterea quod expeditius proveherentur. Cornu dextrum Callicratidas ipſe tenebat.

23. Atque heic Hermon Megarenſis, Callicratidae gubernator, eum monet, recte ſibi conſulturum, ſi diſcederet. Nam triremium numero longe ſuperiores erant Athenienſes. Ei reſpondit Callicratidas: Spartam, ſe moriente, nihilo peius habituram; ſe fugere ſine dedecore non poſſe.

24. Poſt haec diu certatum, primo confertis nauibus, deinde ſparſim. Verum poſteaquam et Callicratidas, irruptione cum naui ſua in hoſtium claſſem facta, in mare delapſus nuſquam apparuit; et Protomachus, atque illi, qui aderant ei, cornu dextro laevum hoſtile vicerunt: tum ſcilicet Peloponneſii fuga ſe in Chium, maximaque ex parte Phocaeam recepere. Athenienſes ad Arginuſas redeunt. Amiſerunt hi naues XXV, vna cum vectoribus; paucis exceptis, qui ad litus euaſere. Peloponneſii, ex nauibus Lacedaemoniorum, quae omnino X erant, IX: ex reliquorum ſociorum nauibus, ſupra LX deſiderarunt.

25. Secundum

κέ. Εδοξε δὲ καὶ τοῖς τῶν Αθηναίων στρατηγοῖς, ἓξ μὲν καὶ τετταράκοντα ναυσὶ Θηραμένην τε καὶ Θρασύβυλον, τριηράρχας ὄντας, καὶ τῶν ταξιάρχων τινὰς, πλεῖν ἐπὶ τὰς καταδεδυκυίας ναῦς, καὶ τὰς ἐπ' αὐτῶν ἀνθρώπους· ταῖς δ' ἄλλαις ἐπὶ τὰς μετ' Ετεονίκου τῇ Μιτυλήνῃ ἐφορμούσας. ταῦτα δὲ βουλομένους ποιεῖν ἄνεμος καὶ χειμὼν αὐτοὺς διεκώλυσε, μέγας γενόμενος. τρόπαιον δὲ στήσαντες αὐτοῦ, ὡυλίζοντο.

κς'. Τῷ δ' Ετεονίκῳ ὁ ὑπηρετικὸς κέλης πάντα ἐξήγγειλε τὰ περὶ τὴν ναυμαχίαν. ὁ δὲ αὐτὸν πάλιν ἐξέπεμψεν, εἰπὼν τοῖς ἐνοῦσι, σιωπῇ ἐκπλεῖν, καὶ μηδενὶ διαλέγεσθαι, παραχρῆμα δὲ αὖθις πλεῖν ἐς τὸ ἑαυτῶν στρατόπεδον ἐστεφανωμένους, καὶ βοῶντας, ὅτι Καλλικρατίδας νενίκηκε ναυμαχῶν, καὶ ὅτι αἱ τῶν Αθηναίων νῆες ἀπολώλασιν ἅπασαι.

κζ'. Καὶ οἱ μὲν ταῦτ' ἐποίουν· αὐτὸς δ', ἐπειδὴ ἐκεῖνοι κατέπλεον, ἔθυε τὰ εὐαγγέλια, καὶ τοῖς στρατιώταις παρήγγειλε δειπνοποιεῖσθαι, καὶ τοῖς ἐμπόροις, τὰ χρήματα

25. Secundum haec ſtatuunt Athenienſium duces, vt cum XLVI nauibus triremium praefecti Theramenes et Thraſybulus, ac tribuni quidam, ad demerſas naues ac naufragos pergerent, caeterae aduerſus illas, quae cum Eteonico apud Mitylenen ſtationem habebant, nauigarent: Haec quum facere vellent, a vento et tempeſtate, quae tunc ingens cooriebatur, ſunt impediti. Quamobrem eo loci manent, ac tropaeum ſtatuerunt.

26. Interea celox actuaria rem omnem Eteonico de nauali proelio exponit. Ille rurſus ablegat eam, quum vectoribus edixiſſet, vt taciti, nemine compellato, diſcederent, ſtatimque in haec caſtra ſua coronati reverterentur: ſimul Callicratidam proelio nauali viciſſe clamarent, vniuerſamque claſſem Athenienſium eſſe deletam.

27. Dum illi parent atque abeunt, ipſe ſacrum facit, ob rei feliciter geſtae nuntium. Mandat etiam militibus, vt coenarent; et mercatoribus, vt merces ſuas ſine tumultu ac tacite nauigiis imponerent, et vna cum triremibus quam-

χρήματα σιωπῇ ἐνθεμένους ἐς τὰ πλοῖα, ἀποπλεῖν ἐς Χίον, (ἦν δὲ τὸ πνεῦμα ὄριον) καὶ τὰς τριήρεις τὴν ταχίστην. αὐτὸς δὲ τὸ πεζὸν ἀπῆγεν ἐς τὴν Μήθυμναν, τὸ στρατόπεδον ἐμπρήσας.

κή. Κόνων δὲ καθελκύσας τὰς ναῦς, ἐπεὶ οἵ τε πολέμιοι ἀποδεδρᾴκεσαν, καὶ ὁ ἄνεμος εὐδιαίτερος ἦν, ἀπαντήσας τοῖς Ἀθηναίοις ἤδη ἀνηγμένοις ἐκ τῶν Ἀργινουσῶν, ἔφρασε τὰ περὶ τῷ Ἐτεονίκῳ. οἱ δὲ Ἀθηναῖοι κατέπλευσαν ἐς τὴν Μιτυλήνην, ἐκεῖθεν δ' ἐπανήχθησαν ἐς τὴν Χίον· καὶ ᾠδὴν διαπραξάμενοι, ἀπέπλευσαν ἐπὶ Σάμου.

ΚΕΦ. ζ'.

Οἱ δ' ἐν οἴκῳ τούτους μὲν τοὺς στρατηγοὺς ἔπαυσαν, πλὴν Κόνωνος· πρὸς δὲ τούτῳ εἵλοντο Ἀδείμαντον, καὶ τρίτον Φιλοκλέα. τῶν δὲ ναυμαχησάντων στρατηγῶν Πρωτόμαχος μὲν, καὶ Ἀριστογένης, οὐκ ἀπῆλθον ἐς Ἀθήνας· τῶν δὲ ἐξ καταπλευσάντων, Περικλέους, καὶ Διομέδοντος, καὶ Λυσίου, καὶ Ἀριστοκράτους, καὶ Θρασύλου, καὶ Ἐρασινίδου, Ἀρχέδημος * ὁ τοῦ δήμου τότε προεστηκὼς ἐν Ἀθήναις,

quam celerrime, quod eſſet ventus ſecundus, in Chium diſcederent. Ipſe, caſtris ſuccenſis, pedeſtres copias Methymnam ducit.

28. Tum Conon, deductis nauibus ſuis, poſteaquam et hoſtes propere diſceſſerant, et ventus ſpirabat lenior; Athenienſibus occurrens, qui iam ab Arginuſis ſoluerant, quid de Eteonico accidiſſet, exponit. Illi Mitylenen nauigant, inde prouehuntur in Chium, infectaque re Samum diſcedunt.

CAP. VII.

Interim Athenis hiſce ducibus imperium abrogatur, excepto Conone: cui Adimantus, et Philocles tertius, adiunguntur. Ex ducibus autem, qui pugnam hanc naualem pugnarant, Protomachus et Ariſtogenes Athenas non ſunt reverſi. Caeteri ſex, Pericles, Diomedon, Lyſias, Ariſtocrates, Thraſylus, Eraſinides, quum domum nauigaſſent: Archedemus, qui tunc populi princeps Athenis

* Al. Ἀρχέδημος τότε προεστηκώς.

Αθήναις, καὶ τῆς *Δεκελείας ἐπιμελόμενος, Ερασινίδῃ ἐπιβουλὴν ἐπιβαλὼν, κατηγόρει ἐν δικαστηρίῳ, φάσκων ἐξ Ελλησπόντου αὐτὸν ἔχειν χρήματα ὄντα τοῦ δήμου. κατηγόρει δὲ καὶ περὶ τῆς στρατηγίας. καὶ ἔδοξε τῷ δικαστηρίῳ, δῆσαι τὸν Ερασινίδην.

β'. Μετὰ δὲ ταῦτα ἐν τῇ βουλῇ διηγοῦντο οἱ στρατηγοὶ περί τε τῆς ναυμαχίας, καὶ τοῦ μεγέθους τοῦ χειμῶνος. Τιμοκράτους δ' εἰπόντος, ὅτι καὶ τοὺς ἄλλους χρὴ δεθέντας εἰς τὸν δῆμον παραδοθῆναι, ἡ βουλὴ ἔδησε. μετὰ δὲ ταῦτα ἐκκλησία ἐγένετο, ἐν ᾗ τῶν στρατηγῶν κατηγόρουν ἄλλοι τε, καὶ Θηραμένης μάλιστα, δικαίους εἶναι λέγων λόγον ὑποσχεῖν, διότι οὐκ ἀνείλοντο τοὺς ναυαγούς. ὅτι μὲν γὰρ οὐδενὸς ἄλλου καθήπτοντο, ἐπιστολὴν ἐπεδείκνυ μαρτύριον, ἣν ἔπεμψαν οἱ στρατηγοὶ εἰς τὴν βουλὴν καὶ εἰς τὸν δῆμον, ἄλλο οὐδὲν αἰτιώμενοι, ἢ τὸν χειμῶνα.

γ'. Μετὰ δὲ ταῦτα οἱ στρατηγοὶ βραχέως ἕκαστος ἀπελογήσατο· (οὐ γὰρ πρότεθη σφίσι λόγος κατὰ τὸν νόμον)

Athenis erat, et cui Deceleae cura mandata fuerat, Eraſinidem per inſidias aggreſſus, apud tribunal ſic accuſabat: vt eum pecunias publicas ex Helleſponto ſibi ſeruaſſe diceret, atque etiam munus imperatorium male adminiſtraſſe. Iudices Eraſinidem in vincula ducendum eſſe decernunt.

2. Poſt haec duces, in ſenatu, de proelio nauali et magnitudine tempeſtatis, rem omnem commemorant. Verum referente Timocrate, caeteros etiam duces vinctos populo tradendos eſſe, ſenatus eos vinciri iuſſit. Secundum haec concio cogitur, in qua duces inter alios etiam Theramenes imprimis accuſabat; iure ab ipſis exigendam rationem dicens, quamobrem naufragos non ſuſtuliſſent. Nam quod alium neminem attigiſſent, epiſtolae productae teſtimonio docebat, quam duces ipſi ad ſenatum et ad populum miſiſſent: in qua cauſſam aliam nullam afferrent, quam tempeſtatem.

3. Poſt haec duces ſinguli brevibus, quod eis ſecundum legem dicere non liceret, ſeſe purgant;

* Al. Διωκελείας.

νόμον) καὶ τὰ πεπραγμένα διηγοῦντο, ὅτι αὐτοὶ μὲν ἐπὶ τοὺς πολεμίους πλέοιεν· τὴν δὲ ἀναίρεσιν τῶν ναυαγῶν προσάξαιεν τῶν τριηράρχων ἀνδράσιν ἱκανοῖς καὶ ἐστρατηγηκόσιν ἤδη, Θηραμένει καὶ Θρασυβύλῳ, καὶ ἄλλοις τοιούτοις· καὶ εἴπερ γέ τινας δέοι περὶ τῆς ἀναιρέσεως, οὐδένα ἄλλον ἔχειν αὐτοὺς αἰτιᾶσθαι, ἢ τούτους, οἷς προστάχθη. καὶ οὐχ ὅτι γε κατηγοροῦσιν ἡμῶν, (ἔφασαν) ψευσόμεθα φάσκοντες αὐτοὺς αἰτίους εἶναι, ἀλλὰ τὸ μέγεθος τοῦ χειμῶνος εἶναι τὸ κωλῦσαν τὴν ἀναίρεσιν. τούτων δὲ μάρτυρας παρείχοντο τοὺς κυβερνήτας, καὶ ἄλλους τῶν ξυμπλεόντων πολλούς.

δ'. Τοιαῦτα λέγοντες ἔπειθον τὸν δῆμον. ἐβούλοντο δὲ πολλοὶ τῶν ἰδιωτῶν ἐγγυᾶσθαι ἀνιστάμενοι. ἔδοξε δὲ ἀναβαλέσθαι ἐς ἑτέραν ἐκκλησίαν· (τότε γὰρ ὀψὲ ἦν, καὶ τὰς χεῖρας οὐκ ἂν καθεώρων) τὴν δὲ βουλὴν προβουλεύσασαν ἐσενεγκεῖν ὅτῳ τρόπῳ οἱ ἄνδρες κρίνοιντο.

ε'. Μετὰ

purgant; et rem, vti erat gesta, commemorant: se aduersus hostes profectos fuisse; naufragos autem vt tollerent, triremium praefectis, hominibus ad res gerendas idoneis, et imperatorio munere functis imperasse; Therameni, Thrasybulo, aliis talibus. Quod si qui sint hac in parte accusandi, alios non esse accusandos, quam illos, quibus ea res mandata fuerit. Neque tamen, aiebant, propterea mentiemur, quod hi modo nos accusant, atque in hos culpam conferemus: quum tempestatis magnitudo, quo minus naufragi tolli potuerint, impediuerit. Atque harum rerum et gubernatores et multos alios, qui expeditionis socii fuerant, testes producebant.

4. Haec quum dicerent, ita populo satisfaciebant, vt multi homines priuati surgerent, ac satisdare ipsorum nomine vellent. Verum ad proximae concionis tempus rem extrahendam esse visum fuit, quod paullo iam serius esset, ac manus haud cernerent: senatumque, re prius deliberata, ad populum referre, quo pacto de horum causa in iudicio cognoscendum esset.

ε'. Μετὰ δὲ ταῦτα ἐγένετο Απατούρια, ἐν οἷς οἵ τε πατέρες καὶ οἱ ξυγγενεῖς ξύνεισι σφίσιν αὐτοῖς. οἱ ὧν περὶ τὸν Θηραμένην παρεσκεύασαν ἀνθρώπους μέλανα ἱμάτια ἔχοντας, καὶ ἐν χρῷ κεκαρμένους πολλοὺς ἐν ταύτῃ τῇ ἑορτῇ, ἵνα πρὸς τὴν ἐκκλησίαν ἥκοιεν, ὡς δὴ ξυγγενεῖς ὄντες τῶν ἀπολωλότων. καὶ Καλλίξενον ἔπεισαν ἐν τῇ βουλῇ κατηγορεῖν τῶν στρατηγῶν. ἐντεῦθεν ἐκκλησίαν ἐποίουν, ἐς ἣν ἡ βουλὴ εἰσήνεγκε τὴν ἑαυτῆς γνώμην, Καλλιξένου εἰπόντος, τήνδε.

ς'. Επειδὴ τῶν τε κατηγορούντων κατὰ τῶν στρατηγῶν, καὶ ἐκείνων ἀπολογουμένων ἐν τῇ προτέρᾳ ἐκκλησίᾳ ἀκηκόασι, διαψηφίσασθαι Αθηναίους πάντας κατὰ φυλάς, θεῖναι δὲ ἐς τὴν φυλὴν ἑκάστην δύο ὑδρίας· ἐφ' ἑκάστῃ δὲ τῇ φυλῇ κήρυκα κηρύττειν, ὅτῳ δοκοῦσιν ἀδικεῖν οἱ στρατηγοὶ, μὴ ἀνελόμενοι τοὺς νικήσαντας ἐν τῇ ναυμαχίᾳ, ἐς τὴν προτέραν ψηφίσασθαι· ὅτῳ δὲ μὴ, ἐς τὴν ὑστέραν. ἂν δὲ δόξωσιν ἀδικεῖν, θανάτῳ ζημιῶσαι, καὶ τοῖς ἕνδεκα

5. Sequuta ſunt Apaturia, quo feſto inter ſe parentes et cognati conueniunt. Quapropter hiſce feriis amici Theramenis homines complures, ad cutem vſque raſos, nigris veſtibus induunt: vt ii tanquam eorum, qui periiſſent, propinqui, hoc habitu ad populi conuentum accederent. Praeterea Callixenum permovent, vt duces in ſenatu accuſaret. Hinc ad concionem populum aduocant, in qua ſenatus ad populum, recitante Callixeno, decretum huiuſmodi retulit:

6. Quia concione proxima tam illorum qui duces accuſarunt, quam ipſorum ducum ſe purgantium auditae ſunt orationes; Athenienſes vniverſi tributim ſuffragia ferunto: in tribu qualibet vrnae binae collocantor: itidem qualibet in tribu caduceator proclamato, vt, cuicunque videantur iniuſte duces feciſſe, qui cives nauali proelio victores non ſuſtulerint, is priorem in vrnam calculum coniiciat: cui contra, in poſteriorem. Quod ſi eos iniuſte feciſſe viſum fuerit, morte multantor: vndecim viris traduntor:

ἕνδεκα παραδῶναι, καὶ τὰ χρήματα δημοσιεῦσαι, τὸ δ' ἐπιδέκατον τῆς Θεοῦ εἶναι.

ζ'. Παρῆλθε δέ τις ἐς τὴν ἐκκλησίαν, φάσκων ἐπὶ τεύχους ἀλφίτων σωθῆναι· ἐπιτρέλλειν δ' αὐτῷ τοὺς ἀπολλυμένους, ἐὰν σωθῇ, ἀπαγγεῖλαι τῷ δήμῳ, ὅτι οἱ στρατηγοὶ οὐκ ἀνείλοντο τοὺς ἀρίστους ὑπὲρ τῆς πατρίδος γενομένους.

η'. Τὸν δὲ Καλλίξενον προσκαλέσαντο, παράνομα φάσκοντες ξυγγεγραφέναι, Εὐρυπτόλεμός τε ὁ Πεισιάνακτος, καὶ ἄλλοι τινές· τοῦ δὲ δήμου ἔνιοι ταῦτα ἐπῄνουν. τὸ δὲ πλῆθος ἐβόα, δεινὸν εἶναι, εἰ μή τις ἐάσει τὸν δῆμον πράττειν ὃ ἂν βούληται. καὶ ἐπὶ τούτοις εἰπόντος Λυκίσκου, καὶ τούτους τῇ αὐτῇ ψήφῳ κρίνεσθαι, ἥπερ καὶ τοὺς στρατηγούς, ἐὰν μὴ ἀφῶσι τὴν ἐκκλησίαν, ἐπεθορύβησε πάλιν ὁ ὄχλος, καὶ ἠναγκάσθησαν ἀφιέναι τὰς κλήσεις.

θ'. Τῶν δὲ Πρυτάνεων ἃ φασκόντων προθήσειν τὴν διαψήφισιν παρὰ τὸν νόμον, αὖθις Καλλίξενος ἀναβὰς κατηγόρει αὐτῶν τὰ αὐτά. οἱ δὲ ἐβόων καλεῖν τοὺς

traduntor: bona publicantor: eorum decumae Mineruae ſunto.

7. Prodiit et alius quidam in conuentum, qui ſe in vaſe farinario diceret incolumem euaſiſſe: mandaſſe autem ſibi eos, qui periiſſent, vt, ſi quidem ſalvus euaderet, exponeret populo; non ſuſtuliſſe duces, eos ciues, qui pro patria fortiſſime ſe geſſiſſent.

8. Sed Callixenum ſcripti contra leges decreti prouocando poſtulabant, Euryptolemus Piſianactis filius, et quidam alii. Idem nonnulli e populo ſentire ſe profitebantur. At plebs indignum eſſe clamitare: non concedi populo, vt, quod ipſe velit, agat. Quumque Lyciſcus diceret, eodem modo de his etiam cognoſcendum eſſe, quo iam de ducibus cognoſceretur, ni concioni ius ſuum permitterent: rurſus a plebe tumultuatum eſt, atque illi finem poſtulandi Callixenum facere coacti ſunt.

9. Quum vero Prytanes ſe permiſſuros negarent, vt praeter legem in ſuffragia iretur: rurſus aſcendens Callixenus, eandem ob cauſſam eos accuſabat.

τὰς ἀ φάσκοντας. οἱ δὲ Πρυτάνεις φοβηθέντες, ὡμολόγων πάντες προθήσειν, πλὴν Σωκράτης τοῦ Σωφρονίσκου. ἕτος δ' οὐκ ἔφη ἀλλ' ἢ κατὰ νόμον ποιήσειν.

ι. Μετὰ δὲ ταῦτα ἀναβὰς Εὐρυπτόλεμος ἔλεξεν ὑπὲρ τῶν στρατηγῶν τάδε· "Τὰ μὲν κατηγορήσων, ὦ ἄνδρες Ἀθηναῖοι, ἀνέβην ἐνθάδε, Περικλέους, ἀναγκαίου μοι ὄντος καὶ ἐπιτηδείου, καὶ Διομέδοντος φίλου· τὰ δ', ὑπεραπολογησόμενος· τὰ δὲ, ξυμβουλεύσων ἃ μοι δοκεῖ ἄριστα εἶναι ἁπάσῃ τῇ πόλει. κατηγορῶ μὲν οὖν αὐτῶν, ὅτι ἔπεισαν * τοὺς ξυνάρχοντας, βουλομένους πέμπειν γράμματα τῇ τε βουλῇ καὶ ὑμῖν, ὅτι ἐπέταξαν τῷ Θηραμένει καὶ Θρασυβούλῳ τεταράκοντα καὶ ἑπτὰ τριήρεσιν ἀνελέσθαι τοὺς ναυαγούς. οἱ δὲ οὐκ ἀνείλοντο.

Εἶτα νῦν τὴν αἰτίαν κοινὴν ἔχουσιν, ἐκείνων ἰδίᾳ ἁμαρτόντων· καὶ ἀντὶ τῆς τότε φιλανθρωπίας, νῦν

bat. Tum clamare populus, vt arcesserentur, quotquot assentiri nollent. Heic Prytanes omnes metu perculsi, permissuros se dicebant, vt suffragia ferrentur; extra vnum Socratem Sophronisci filium, qui aliud quidquam facturum se negabat, quam quod esset legi consentaneum.

10. Secundum haec, suggestu conscenso, hanc Euryptolemus pro ducibus orationem habuit: Equidem in hunc locum, Athenienses, partim Periclem necessarium et propinquum meum, et Diomedontem amicum accusaturus ascendi: partim eosdem defensurus: partim consulturus vobis ea, quae conductura patriae toti arbitror. In hoc igitur eos accuso, quod collegis suis, litteras ad Senatum populumque missuris, persuaserint; se Therameni, ac Thrasybulo, negotium tollendi naufragos cum XLVII nauibus dedisse, quod illi imperatum sibi non fecerunt.

Nunc enim communem culpam sustinent, quae priuatim ex illorum delicto prouenit: et sua tum in eos vsurpata humanitate

seipsos

* Al. malit ὑπισχυσαν pro ἔπεισαν.

νῦν ὑπ' ἐκείνων τε, καί τινων ἄλλων ἐπιβουλευόμενοι, κινδυνεύσουσιν ἀπολέσθαι· ἢν, ἂν ὑμεῖς γέ μοι πείθοισθε, τὰ δίκαια καὶ ὅσια ποιοῦντες· καὶ ὅθεν μάλις' ἀληθῆ πεύσεσθε, καὶ ὑ μετανοήσαντες, ὕστερον εὑρήσετε σφᾶς αὐτοὺς ἡμαρτηκότας ἐς τὰ μέγιστα, θεούς τε καὶ ὑμᾶς αὐτούς.

Συμβουλεύω δὲ ὑμῖν, ἐν οἷς ἔθ' ὑπ' ἐμοῦ ἔθ' ὑπ' ὑδενὸς ἄλλου ἐστὶν ἐξαπατηθῆναι ὑμᾶς, καὶ τοὺς ἀδικοῦντας εἰδότες κολάσεσθε ἢ ἂν βούλεσθε δίκῃ, καὶ ἅμα πάντας, καὶ καθ' ἕνα ἕκαστον, εἰ μὴ πλέον, ἀλλὰ μίαν ἡμέραν δόντες αὐτοῖς ὑπὲρ αὐτῶν ἀπολογήσασθαι, μὴ ἄλλοις μᾶλλον πιστεύοντες, ἢ ὑμῖν αὐτοῖς.

Ἴστε δὲ, ὦ ἄνδρες Ἀθηναῖοι, πάντες, ὅτι τὸ Κανόνος ψήφισμά ἐστιν ἰσχυρότατον, ὃ κελεύει, ἐάν τις τὸν τῶν Ἀθηναίων δῆμον ἀδικῇ, δεδεμένον ἀποδικεῖν ἐν τῷ δήμῳ· καὶ ἐὰν καταγνωσθῇ ἀδικεῖν, ἀποθανόντα

seipsos in discrimen mortis coniecerunt, horum ipsorum, et aliorum quorundam insidiis petiti: quod tamen periculum vereri non debent, si quidem mihi vos parebitis, et iuste sancteque vosmet geretis. Hinc etiam vel maxime rei veritatem intelligetis, neque metuendum vobis erit, vt posthac poenitentia ducti, in duo vos omnium maxima, nimirum in Deos, et in vosmetipsos, deliquisse deprehendatis.

Consulo autem vobis illa, in quibus nec a me, nec abs quoquam alio circumueniri dolo poteritis: et in eos, quos deliquisse cognoueritis, non solum vniuersos, sed etiam singulos, quacunque voletis poena, animaduertetis; tantum vno eis die concesso, si quidem amplius impetrari non potest, quo sese defendant: ne plus aliis fidei, quam vobis ipsis habeatis.

Vestrum vero, Athenienses, nemo non nouit, Canoni decretum grauissimum esse; quod mandat, vt, si quis populum Athenienscm laeserit, in vinculis apud populum causam dicat: et si damnatus

θανόντα ἐς τὸ Βάραθρον ἐμβληθῆναι· τὰ δὲ χρήματα αὐτῶ δημευθῆναι, καὶ τῆς Θεῶ τὸ ἐπιδέκατον εἶναι. κατὰ τοῦτο τὸ ψήφισμα κελεύω κρίνεσθαι τοὺς στρατηγοὺς, καὶ νὴ Δία, ἂν ὑμῖν γε δοκῆ, πρῶτον Περικλέα τὸν ἐμοὶ προσήκοντα. αἰσχρόν μοι ἐστὶν, ἐκεῖνον περὶ πλείονος ποιεῖσθαι, ἢ τὴν πόλιν.

Τοῦτο δ' εἰ * βούλεσθε, κατὰ τοῦτον τὸν νόμον κρίνατε, ὃς ἐστιν ἐπὶ τοῖς ἱεροσύλοις καὶ προδόταις, ἐάν τις ἢ τὴν πόλιν προδιδῶ, ἢ τὰ ἱερὰ κλέπτῃ, κριθέντα ἐν δικαστηρίῳ, ἂν καταγνωσθῆ, μὴ ταφῆναι ἐν τῆ Ατ[τικῆ· τὰ δὲ χρήματα αὐτῶ δημόσια εἶναι. τούτων ὁποτέρῳ βούλεσθε, ὦ ἄνδρες Αθηναῖοι, τῷ νόμῳ κρινέσθωσαν οἱ ἄνδρες κατὰ ἕνα ἕκαστον, διῃρημένων τῆς ἡμέρας τριῶν μερῶν· ἑνὸς μὲν, ἐν ᾧ ξυλλέγεσθαι ὑμᾶς δεῖ, καὶ διαψηφίζεσθαι, ἐάν τε ἀδικεῖν δοκῶσιν, ἐάν τε μή· ἑτέρᾳ δ', ἐν ᾗ κατηγορῆται· ἑτέρᾳ δ', ἐν ᾗ ἀπολογήσασθαι.

Τούτων δὲ γιγνομένων, οἱ μὲν ἀδικοῦντες τεύξονται τῆς μεγίστης τιμωρίας, οἱ δ' ἀναίτιοι ἐλευθερωθήσονται ὑφ' ὑμῶν,

illatae iniuriae fuerit, necatus in Barathrum abiiciatur, bonis publicatis, et eorum decuma Mineruae conſecrata. Ex huius decreti formula cum ducibus agi volo, ac profecto, ſi quidem ita vobis videbitur, primum omnium cum Pericle neceſſario meo. Nam maximo mihi dedecori fuerit, pluris hunc a me, quam rempublicam fieri.

Sin hoc maletis, ex ea lege de his cognoſcite, quae de ſacrilegis ac proditoribus lata eſt: vt, ſi quis vel hanc vrbem prodiderit, vel res ſacras furto ſubtraxerit, cauſſa pro tribunali cognita, damnetur: in Attica non ſepeliatur: fiſco bona ipſius addicantur. Harum legum vtram maletis, Athenienſes, ſecundum eam de his hominibus ſingulis iudicate, diuiſis diei tribus partibus: quarum vna vos conueniatis, perque calculos indagetis, ſintne ſontes hi viri necne: altera vero accuſentur: tertia ſeſe defendant.

Id ſi fiat, homines iniurii ſupplicium grauiſſimum incurrent: et extra culpam poſiti, a vobis,

* Al. ex coniectura: εἰ μὴ βούλεσθε.

ὑμῶν, ὦ Ἀθηναῖοι, καὶ ὐκ *ἀδίκως ἀπολῦνται. ὑμεῖς δὲ κατὰ τὸν νόμον εὐσεβοῦντες καὶ εὐορκοῦντες κρινεῖτε, καὶ ὐ ξυμπολεμήσετε Λακεδαιμονίοις, τὺς ἐκείνυς ἑβδομήκοντα ναῦς ἀφελομένυς καὶ νενικηκότας, τύτυς ἀπολλύντες ἀκρίτυς παρὰ τὸν νόμον.

Τί δὲ καὶ δεδιότες, σφόδρα ὕτως ἐπείγεσθε; ἢ μὴ ὐχ ὑμεῖς, ὃν ἂν βύλησθε, ἀποκτείνητε, καὶ ἐλευθερώσητε, ἂν κατὰ τὸν νόμον κρίνητε, ἀλλ' ὐκ ἂν παρὰ τὸν νόμον; ὥσπερ Καλλίξενος τὴν βυλὴν ἔπεισεν, ἐς τὸν δῆμον ἐσενεγκεῖν μιᾷ ψήφῳ. ἀλλ' ἴσως ἄν τινα καὶ ὐκ αἴτιον ὄντα ἀποκτείνητε, μεταμελήσει δὲ ὕστερον, ἀναμνήσθητε ὡς ἀλγεινὸν καὶ ἀνωφελὲς ἤδη ἐσί· πρὸς δ' ἔτι, καὶ **περὶ θανάτυ εἰς ἀνθρώπυς ἡμαρτηκότες.

Δεινὰ δ' ἂν ποιήσητε, εἰ Ἀριςάρχῳ μὲν πρότερον τὸν δῆμον καταλύοντι, εἶτα δὲ Οἰνόην προδιδόντι Θηβαίοις πολεμίοις ὄσιν, ἔδοτε ἡμέραν ἀπολογήσασθαι,

bis, Athenienſes, liberati per iniuriam non opprimentur. Vos etiam ex legis ſententia religioſe ac ſalua fide iudicabitis, neque cum Lacedaemoniis patriam oppugnabitis: quod fiet, ſi hos duces, qui eis proelio victis LXX naues ademerunt, indemnatos contra legem de medio tolleretis.

Quid vero timentes, tantopere feſtinatis? an hoc, ne vobis non liceat, quemcunque volueritis, vel interficere, vel liberare, ſi ſecundum legem, ac non praeter legem iudicaueritis? quemadmodum Callixenus ſenatui perſuaſit, vt ad populum de iudicandis omnibus eodem ſuffragio referretur. At enim ſi quem innocentem interfeceritis, cuius deinde vos poeniteat; velim in mentem vobis veniat, quam id triſte futurum ſit, et inutile: ac praeterea, ſi, capitis ſententia tot in homines lata, recto a iudicio aberraueritis.

Indignum vero fuerit Ariſtarcho, qui antehac ſtatum popularem euertere voluit, ac deinde Thebanis hoſtibus noſtris Oenoen prodidit, diem ad defendendum ſe

* Al. ἀδικοῦντες. ** Al. περὶ θανάτυ ἀνθρώπυς etc.

σαθαι, ἢ ἐβούλετο, καὶ τἄλλα κατὰ τὸν νόμον πρᾶξαι· τοὺς δὲ στρατηγοὺς τοὺς πάντα ὑμῖν κατὰ γνώμην πράξαντας, νικήσαντας δὲ τοὺς πολεμίους, τῶν αὐτῶν τούτων ἀποστερήσετε. μὴ ὑμεῖς γε, ὦ Ἀθηναῖοι, ἀλλ' ἑαυτῶν ὄντας τοὺς νόμους, δι' οὓς μάλιστα μέγιστοι ἐστέ, φυλάττοντες, ἄνευ τούτων μηδὲν πράττειν πειρᾶσθε.

Ἐπανέλθετε δὲ καὶ ἐπ' αὐτὰ τὰ πράγματα, καθ' ἃ καὶ αἱ ἁμαρτίαι δοκοῦσι γεγενῆσθαι τοῖς στρατηγοῖς. ἐπεὶ γὰρ κρατήσαντες τῇ ναυμαχίᾳ ἐς τὴν γῆν κατέπλευσαν, Διομέδων μὲν ἐκέλευεν ἀναχθέντας ἐπὶ κέρως ἅπαντας ἀναιρεῖσθαι τὰ ναυάγια καὶ τοὺς ναυαγούς· Ἐρασινίδης δὲ, ἐπὶ τοὺς ἐς Μιτυλήνην πολεμίους τὴν ταχίστην πλεῖν ἅπαντας· Θρασύλος δ' ἀμφότερα ἔφη γενέσθαι, ἂν τὰς μὲν αὐτοῦ καταλίπωσι, ταῖς δὲ ἐπὶ τοὺς πολεμίους πλέωσι.

Καὶ δοξάντων τούτων, καταλιπεῖν τρεῖς ναῦς ἕκαστον ἐκ τῆς αὐτοῦ ξυμμορίας, τῶν στρατηγῶν ὀκτὼ ὄντων, καὶ τὰς τῶν ταξιάρχων δέκα, καὶ τὰς τῶν Σαμίων δέκα, καὶ τὰς

arbitratu ſuo conceſſum a vobis fuiſſe, atque alia ſecundum legem permiſſa: nunc ducibus illis ea denegari, qui omnia ex ſententia veſtra geſſerunt, ac victoria de hoſte potiti ſunt. Ne hoc feceritis, cives, ſed legibus veſtris obſervatis, per quas imprimis ad maximam hanc potentiam perveniſtis; nihil abſque his faciundum exiſtimate.

Ad res ipſas vos conuertite, in quibus deliquiſſe duces videantur. Poſteaquam nauali proelio victores ad litus claſſem ſubduxere, cenſuit Diomedon, vt, vniuerſis copiis in cornu ductis, nauium fragmina cum naufragis tollerentur: Eraſinides autem, vt vniuerſa cum claſſe quam celerrime aduerſus illos hoſtes, qui erant apud Mitylenen, nauigarent: tertius Thraſylus aiebat, vtrumque fieri poſſe, ſi naues partim iſtic relinquerent, partim in hoſtem ducerent.

Hac ſententia comprobata viſum, vt, quoniam VIII eſſent duces, quiſque de claſſe ſua naues tres relinqueret, vna cum decem tribunorum nauibus, decem Samiorum, tribus nauar-

τὰς τῶν ναυάρχων τρεῖς. αὗται ἅπασαι γίγνονται ἑπτὰ καὶ τετταράκοντα· τέτταρες περὶ ἑκάστην ναῦν, τῶν ἀπολωλυιῶν δώδεκα ὄσῶν.

Τῶν δὲ καταλειφθέντων ταξιάρχων ἦσαν Θρασύβυλος καὶ Θηραμένης, ὃς ἐν τῇ προτέρᾳ ἐκκλησίᾳ κατηγόρει τῶν στρατηγῶν. ταῖς δὲ ἄλλαις ναυσὶν ἔπλεον ἐπὶ τὰς πολεμίας. τί τούτων οὐχ ἱκανῶς καὶ καλῶς ἔπραξαν; οὐκοῦν δίκαιον, τὰ μὲν πρὸς τοὺς πολεμίους μὴ καλῶς πραχθέντα, τοὺς πρὸς τούτοις ταχθέντας ὑπέχειν λόγον· τοὺς δὲ πρὸς τὴν ἀναίρεσιν, μὴ ποιήσαντας ἃ οἱ στρατηγοὶ ἐκέλευσαν, διότι οὐκ ἀνείλοντο, κρίνεσθαι.

Τοσοῦτον δ' ἔχω εἰπεῖν ὑπὲρ ἀμφοτέρων, ὅτι ὁ χειμὼν διεκώλυσε μηδὲν πρᾶξαι ὧν οἱ στρατηγοὶ παρεκελεύσαντο. τούτων δὲ μάρτυρες οἱ σωθέντες ἀπὸ τοῦ αὐτομάτου, ὧν εἷς τῶν ἡμετέρων στρατηγῶν ἐπὶ καταδύσης νεὼς σωθεὶς, ὃν κελεύουσι τῇ αὐτῇ ψήφῳ κρίνεσθαι, καὶ αὐτὸν

nauarchorum. Hae omnes XLVII nauium numerum explent. Ita vt naues quatuor circa vnam ex iis, quae naufragium fecerant, occuparentur. Erant enim illae omnino duodecim.

Ex iis autem praefectis, qui relicti fuere, Thrasybulus et Theramenes erant, is qui concione proxima duces accusavit. Cum reliquis nauibus duces aduersus classem hostilem perrexere. Quid horum non recte atque ordine gestum? Quamobrem aequum est, vt eorum, quae aduersus hostem non satis bene gesta sunt, ii rationem reddant, qui hostibus oppositi fuerunt: itidemque de illis, qui imperata ducum de tollendis naufragis non fecerunt, iudicium institui, cur id facere neglexerint.

Equidem pro vtrisque tantum dicere possum, impediuisse tempestatem, quo minus ea facerent, quae duces mandarent. Atque huius rei testes sunt illi, qui fortuito salui euaserunt: quorum e numero est vnus ex ducibus nostris, in naui demersa conseruatus: de quo nunc eosdem calculos ferri volunt,

αὐτὸν τότε δεόμενον ἀναιρέσεως, ἥπερ τοὺς ἀ πράξαντας τὰ προσαχθέντα.

Μὴ τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, ἀντὶ μὲν τῆς νίκης καὶ τῆς εὐτυχίας ὅμοια ποιήσητε τοῖς ἡτ]ημένοις τε καὶ ἀτυχοῦσιν· ἀντὶ δὲ τῶν ἐκ Θεοῦ ἀναγκαίων ἀγνωμονεῖν δόξητε, προδοσίαν καταγνόντες ἀντὶ τῆς ἀδυναμίας, ἀχ ἱκανοὺς γενομένους διὰ τὸν χειμῶνα πρᾶξαι τὰ προσταχθέντα. ἀλλὰ πολὺ δικαιότερον, σεφάνοις γεραίρειν τοὺς νικῶντας, ἢ θανάτῳ ζημιοῦν, πονηροῖς ἀνθρώποις πειθομένους.»

ια'. Ταῦτ' εἰπὼν Εὐρυπ]όλεμος, ἔγραψε γνώμην, κατὰ τὸ Κανόνος ψήφισμα κρίνεσθαι τοὺς ἄνδρας, δίχα ἕκαστον· ἡ δὲ τῆς Βουλῆς ἦν, μιᾷ ψήφῳ ἅπαντας κρίνειν. τούτων δὲ διαχειροτονουμένων, τὸ μὲν πρῶτον ἔκριναν τὴν Εὐρυπ]ολέμου. ὑπομοσαμένου δὲ Μενεκλέους, καὶ πάλιν διαχειροτονίας γενομένης, ἔκριναν τὴν τῆς Βουλῆς. καὶ μετὰ ταῦτα κατεψηφίσαντο τῶν ναυμαχησάντων

lunt, quos de iis, qui imperata non fecerunt: quum tamen id temporis etiam ipſe tollentium ope indiguerit.

Quamobrem nolite, ciues, in victoria ſecundoque rerum ſucceſſu ita voſmet gerere, quemadmodum victi et aduerſa vſi fortuna ſolent. Nolite committere, vt iniqui rerum aeſtimatores videamini, quum haec diuinitus profecta neceſſitate quadam acciderint: neque proditionis eos condemnate, qui per tempeſtatem imperata facere non potuerunt, quum fuerit ea potius quaedam facultatis inopia. Multo agetis aequius, ſi hos victoria potitos coronis ornabitis, quam ſi quorundam improborum in gratiam eos morte multaueritis.

11. Hac oratione habita, Euryptolemus rogationem tulit, vt ex Canoni decreto ſeorſum de quolibet ducum cognoſceretur. Senatus ſententia erat, vt vno ſuffragio de omnibus iudicaretur. De his quum calculi ferrentur, primum in Euryptolemi ſententiam itum eſt. Verum petente dilationem Menecle, quum iterum ſuffragia colligerentur, ſenatus eſt probata ſententia.

σάντων στρατηγῶν, ὀκτὼ ὄντων. ἀπέθανον δὲ οἱ παρόντες ἕξ.

ιβ'. Καὶ ὀ πολλῷ χρόνῳ ὕστερον μετέμελε τοῖς Ἀθηναίοις, καὶ ἐψηφίσαντο, οἵτινες τὸν δῆμον ἐξηπάτησαν, προβολὰς αὐτῶν εἶναι, καὶ ἐγγυητὰς καταστῆσαι, ἐὰν κριθῶσιν· εἶναι δὲ καὶ Καλλίξενον τούτων. προβλήθησαν δὲ καὶ ἄλλοι τέτταρες, καὶ ἐδέθησαν ὑπὸ τῶν ἐγγυησαμένων. ὕστερον δὲ στάσεώς τινος γενομένης, ἐν ᾗ Κλεοφῶν ἀπέθανεν, ἀπέδρασαν ἤτοι πρὶν κριθῆναι· Καλλίξενος δὲ κατελθὼν, ὅτε καὶ οἱ ἐκ Πειραιῶς, ἐς τὸ ἄστυ, μισθμενος ὑπὸ πάντων, λιμῷ ἀπέθανεν.

ΞΕΝΟ-

tentia. Secundum haec duces octo damnati sunt. Ex iis VI qui aderant interemti.

12. Neque multo post, quum Athenienses facti poeniteret, decretum est promulgatum, vt eos de calumnia liceret accusare, qui populum decepissent: atque vt iidem in ius vocati, dum cognitio facta esset, vadimonium praestarent. Ex his vnum esse Callixenum. Sunt et alii quatuor delati, et ab iis vincti, qui nomine ipsorum satisdederant. Sed quum deinceps seditio quaedam coorta esset, in qua Cleophon est interfectus: hi quatuor aufugere prius, quam iudicium de ipsis factum esset. Callixenus id temporis in vrbem quum rediisset, quo et alii de Piraeeo; exosus vniuersis, fame periit.

ΧΕΝΟ-

ΞΕΝΟΦΩΝΤΟΣ

ΕΛΛΗΝΙΚΩΝ ΙΣΤΟΡΙΩΝ

ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ.

ΚΕΦ. α'.

Οἱ δὲ ἐν τῇ Χίῳ μετὰ τοῦ Ετεονίκου στρατιῶται ὄντες, ἕως μὲν θέρος ἦν, ἀπό τε τῆς ὥρας ἐτρέφοντο, καὶ ἐργαζόμενοι μισθοῦ κατὰ τὴν χώραν. ἐπεὶ δὲ χειμὼν ἐγένετο, καὶ τροφὴν οὐκ εἶχον, γυμνοί τε ἦσαν καὶ ἀνυπόδητοι, ξυνίσαντο ἀλλήλοις, καὶ ξυνετίθεντο ὡς τῇ Χίῳ ἐπιθησόμενοι. οἷς δὲ ταῦτα ἀρέσκοι, κάλαμον φέρειν ἐδόκει, ἵνα ἀλλήλους μάθοιεν ὁπόσοι εἶησαν.

β'. Πυθό-

XENOPHONTIS

HISTORIARVM GRAECARVM

LIBER SECVNDVS.

CAP. I.

Milites autem, qui cum Eteonico in Chio degebant, quam quidem diu erat aestas, partim maturis fructibus vitam sustentabant, partim per agros insulae mercenarias operas faciendo victum parabant. Verum posteaquam aduenisset hyems, nec vnde se alerent, restaret quidquam; atque etiam nudi essent, ac discalceati: coeunt inter se, deque occupanda Chio conspirant. Id consilii quibus placuisset, hi vt calamum gestarent, visum fuit: quo se mutuo, quot essent ipsorum, nossent.

2. Hanc

β'. Πυθόμενος δὲ τὸ ξύνθημα ὁ Ετεόνικος, ἀπόρως μὲν εἶχε, τί χρῷτο τῷ πράγματι, διὰ τὸ πλῆθος τῶν καλαμοφόρων. τό, τε γὰρ ἐκ τῦ ἐμφανῦς ἐπιχειρῆσαι, σφαλερὸν ἐδόκει εἶναι, μὴ ἐς τὰ ὅπλα ὁρμήσωσι, καὶ τὴν πόλιν κατασχόντες, καὶ πολέμιοι γενόμενοι, ἀπολέσωσι πάντα τὰ πράγματα, ἂν κρατήσωσι· τό, τ' αὖ ἀπολλύναι ἀνθρώπυς ξυμμάχυς πολλῦς, δεινὸν ἐφαίνετο εἶναι, μή τινα καὶ ἐς τὺς ἄλλυς Ελληνας διαβολὴν σχοῖεν, καὶ οἱ στρατιῶται δύσνοοι ἐς τὰ πράγματα ὦσιν.

γ'. Αναλαβὼν δὲ μεθ' ἑαυτῦ ἄνδρας πεντεκαίδεκα, ἐγχειρίδια ἔχοντας, ἐπορεύετο κατὰ τὴν πόλιν· καὶ ἐντυχών τινι ἀνθρώπῳ ὀφθαλμιῶντι, ἀπιόντι ἐξ ἰατρείυ, κάλαμον ἔχοντι, ἀπέκ[τ]ειν[ε]. θορύβυ δὲ γενομένυ, καὶ ἐρωτώντων τινῶν, διὰ τί ἀπέθανεν ὁ ἄνθρωπος, παραγγέλλειν ἐκέλευεν ὁ Ετεόνικος, ὅτι τὸν κάλαμον εἶχε. κατὰ δὲ τὴν παραγγελίαν ἐρ[ρ]ίπ[τ]ων πάντες, ὅσοι εἶχον, τὺς καλάμυς, ἀεὶ ὁ ἀκούων δεδιὼς μὴ ὀφθείη ἔχων.

δ'. Μετὰ

2. Hanc vbi teſſeram comperit Eteonicus, quo pacto ſe in huiuſmodi negotio gereret, anceps animi erat; praeſertim quum tanta eſſet calamiferorum copia. Nam aperta vi obviam illis ire, periculoſum eſſe videbatur; ne, correptis armis, ciuitate occupata, hoſtes facti, victoria denique potiti, cuncta euerterent. Ab altera parte dirum putabat eſſe facinus, ſi tot interimerentur ſocii: ne forte ſui caeterorum Graecorum odiis exponerentur, ac militum animi ad res gerendas hebetes redderentur.

3. Quamobrem xv alios adiungit ſibi, pugionibus inſtructos, ac per oppidum obambulans, quum in hominem ex lippitudine laborantem, qui de medici officina exibat, et calamum goſtabat, incidiſſet, eum interficit. Oborto tumultu, et quaerentibus nonnullis, cur is interemtus eſſet; nuntiari Eteonicus iubet, eo factum, quod calamum habuiſſet. Id vbi fuiſſet denuntiatum, calamos vniuerſi abiiciunt; ſemperque metuebat is, qui haec audiebat, ne et ipſe calamum geſtare animaduerteretur.

4. Deinde

δ'. Μετὰ δὲ ταῦτα ὁ Ετεόνικος ξυγκαλέσας τὰς Χίας, χρήματα ἐκέλευσε ξυνεισενεγκεῖν, ὅπως οἱ ναῦται λάβωσι μισθὸν, καὶ μὴ νεωτερίσωσί τι. οἱ δὲ εἰσήνεγκαν· ἅμα δὲ ἐς τὰς ναῦς ἐσήμανεν ἐμβαίνειν. προσιὼν δὲ ἐν μέρει παρ' ἑκάστην ναῦν, παρεθάρρυνέ τε, καὶ παρῄνει πολλὰ, ὡς τῷ γεγενημένῳ ἁδὲν εἰδώς· καὶ μισθὸν ἑκάστῳ μηνὸς δέδωκε.

ε'. Μετὰ δὲ ταῦτα οἱ Χῖοι καὶ οἱ ἄλλοι ξύμμαχοι, συλλεγέντες ἐς Εφεσον, ἐβουλεύσαντο περὶ τῶν ἐνεσηκότων πραγμάτων πρέσβεις ἐς Λακεδαίμονα πέμπειν, ταῦτά τε ἐροῦντας, καὶ Λύσανδρον αἰτήσοντας ἐπὶ τὰς ναῦς, εὖ φερόμενον· παρὰ τοῖς ξυμμάχοις κατὰ τὴν προτέραν ναυαρχίαν, ὅτε καὶ τὴν ἐν Νοτίῳ ἐνίκησε ναυμαχίαν. καὶ ἀπεπέμφθησαν πρέσβεις, ξὺν αὐτοῖς δὲ καὶ παρὰ Κύρου ταυτὰ λέγοντες ἄγγελοι. οἱ δὲ Λακεδαιμόνιοι ἔδοσαν τὸν Λύσανδρον ὡς ἐπιστολέα, ναύαρχον δὲ Αρακον. ἁ γὰρ νόμος αὐτοῖς δὶς τὸν αὐτὸν ναυαρ-

4. Deinde conuocatis Chiis, Eteonicus, pecunias vti conferrent, edixit: vt, accepto ſtipendio, res nouas nautae non molirentur. Illi quum eas contuliſſent, imperat ſuis Eteonicus, vti naues conſcenderent: ac viciſſim modo hanc, modo illam nauem ſingillatim adiens, animum eis addebat, et quaſi nihil eius ſciret, quod acciderat, multis eos verbis cohortabatur, menſtruo ſingulis ſtipendio numerato.

5. Secundum haec Chii, reliquique ſocii, quum Epheſi conveniſſent; de mittendis Lacedaemonem legatis conſultant, qui praeſentem rerum ſtatum exponerent, Lyſandrumque navibus praefectum poſcerent: quod is in praefectura ſuperiore magna fuiſſet vſus ſociorum gratia, quo etiam tempore, in commiſſo ad Notium nauali proelio, victor extitiſſet. Itaque miſſi ſunt legati, et eis adiuncti a Cyro nuntii, qui eadem dicerent. Lacedaemonii Lyſandrum eis concedunt, ſed vt legatum, Araco claſſi praefecto. Nec enim apud ipſos in more eſt, vt idem claſſis praefecturam

ναυαρχεῖν. τὰς μέντοι ναῦς παρέδοσαν Λυσάνδρῳ, ἐτῶν ἤδη * πέντε καὶ εἴκοσι παρεληλυθότων.

ς'. Τούτῳ δὲ τῷ ἐνιαυτῷ καὶ Κῦρος ἀπέκτεινεν Αὐτοβοισάκην καὶ Μιτραῖον, υἱεῖς ὄντας τῆς ** Δαρειαίου ἀδελφῆς, τῆς τοῦ *** Ξέρξου τοῦ Δαρείου πατρὸς, ὅτι αὐτῷ ἁπάντων ἀδιέζωσαν διὰ τῆς κόρης τὰς χεῖρας· ὃ ποιοῦσι βασιλεῖ μόνῳ. ἡ δὲ † κόρη ἐστὶ μακρότερόν τι ἢ χειρὶς, ἐν ᾗ τὴν χεῖρα ἔχων ἂδὲν ἂν δύναιτο ποιῆσαι. Ἱεραμένης μὲν οὖν καὶ ἡ γυνὴ ἔλεγον πρὸς Δαρειαῖον, δεινὸν εἶναι, εἰ περιόψεται τὴν λίαν ὕβριν τούτου. ὁ δὲ αὐτὸν μεταπέμπεται ὡς ἀῤῥωστῶν, πέμψας ἀγγέλους.

ζ'. Τῷ δ' ἐπιόντι ἔτει, ἐπὶ Ἀρχύτου μὲν ἐφορεύοντος, ἄρχοντος δ' ἐν Ἀθήναις Ἀλεξίου, Λύσανδρος ἀφικόμενος ἐς Ἔφεσον, μετεπέμψατο Ἐτεόνικον ἐκ Χίου ξὺν ταῖς ναυσὶ, καὶ τὰς ἄλλας πάσας ξυνήθροισεν, εἴ που τὶς ἦν. καὶ ταύτας τε ἐπεσκεύαζε, καὶ ἄλλας ἐν Ἀνταάνδρῳ ἐναυπηγεῖτο.

ram bis obtineat. Sunt autem ei naues traditae, quum iam anni (ex quo bellum coeperat) xxv elapsi essent.

6. Eodem anno Cyrus Autoboesacem ac Mitraeum interfecit, sororis Darii filios; quae itidem, vt Darius, Xerxe patre nata fuerat. Eius caedis caussa fuit, quod quum occurrissent ei, manus per coren cinctas non inuoluissent, id quod soli regi Persae deferunt. Est autem core quiddam manica longius, intra quam si manum quis contineat, nihil omnino facere possit. Monuere tunc Hieramenes et ipsius vxor Darium, indignum esse, ad tantam Cyri petulantiam ipsum conniuere. Quapropter eum Darius, aegritudinem praetexens, missis nuntiis ad se arcessit.

7. Anno sequente, quum Ephori munere fungeretur Archytas, et Archon Athenis esset Alexius: Lysander Ephesum venit, et e Chio cum nauibus Eteonicum arcessit; coactis etiam aliunde nauibus vniuersis, vbicunque essent. Ac non solum has reficiebat, sed etiam alias apud Antandrum aedificabat.

* Al. ἤδη τῷ πολέμῳ ἐπῆσαν. ** Lege Δαρείου. *** Al. Ἀρταξέρξου.
† *Leunclauius* suspicatur κόρην esse vocem Persicam, quae manicam significet.

πηγεῖτο. ἐλθὼν δὲ παρὰ Κύρον, χρήματα ᾔτει. ὁ δ' αὐτῷ εἶπεν, ὅτι τὰ μὲν παρὰ βασιλέως ἀνηλωμένα εἴη, καὶ ἔτι πλείω πολλῷ, δεικνύων ὅσα ἕκαστος τῶν ναυάρχων ἔχοι. ὅμως δ' ἔδωκε.

η'. Λαβὼν δὲ ὁ Λύσανδρος ταῤγύριον, ἐπὶ τὰς τριήρεις τριηράρχας ἐπέστησε, καὶ τοῖς ναύταις τὸν ὀφειλόμενον μισθὸν ἀπέδωκε. παρεσκευάζοντο δὲ καὶ οἱ τῶν Αθηναίων στρατηγοὶ πρὸς τὸ ναυτικὸν ἐν τῇ Σάμῳ. Κῦρος δ' ἐπὶ τούτοις μετεπέμψατο Λύσανδρον, ἐπεὶ αὐτῷ παρὰ τοῦ πατρὸς ἦκεν ἄγγελος, λέγων ὅτι ἀῤῥωστῶν ἐκεῖνον καλοίη, ὢν ἐν Θαμνηρίοις τῆς Μηδείας, ἐγγὺς Καδουσίων, ἐφ' οὓς ἐστράτευσεν ἀφεστῶτας.

θ'. Ηκοντα δὲ Λύσανδρον ἀκ εἶα ναυμαχεῖν πρὸς Αθηναίους, ἐὰν μὴ πολλῷ πλείους ναῦς ἔχῃ. εἶναι γὰρ χρήματα πολλὰ καὶ βασιλεῖ καὶ ἑαυτῷ, ὥστε τούτου ἕνεκεν πολλὰς πληροῦν. παρέδειξε δ' αὐτῷ πάντας τοὺς φόρους

ficabat. Deinde profectus ad Cyrum, pecuniam ab eo petebat. Is vero tametsi iam expensas esse pecunias a rege sibi datas diceret, ac praeter has etiam longe plures, indicatis iis, quas singuli classis praefecti acceperant: nihilo tamen minus ei, quod petebat, largiebatur.

8. Hoc argentum Lysander quum accepisset, triremium praefectos constituit, ac nautis stipendium debitum persolvit. Itidem et duces Atheniensium classem apud Samum instruebant. Secundum haec Lysandrum ad se Cyrus arcessit, posteaquam nuntius ad ipsum a patre venisset, qui narrabat, eum ab aegro patre vocari; qui apud Thamneria Medorum ageret, haud procul a Cadusiis, aduersus quos defectionem molitos bellum suscepisset.

9. Quum venisset Lysander, ne cum Athenienſibus proelio nauali decerneret, vetuit; nisi multo maiorem nauium numerum haberet. Satis esse tum regi, tum sibi pecuniarum; quibus expleri magnus hoc nomine nauium numerus possit. Deinde tributa ei de vrbibus

ostendit

φόρους τοὺς ἐκ τῶν πόλεων, οἱ αὐτῷ ἴδιοι ἦσαν, καὶ τὰ περιτὰ χρήματα ἔδωκε. καὶ ἀναμνήσας ὡς εἶχε φιλίας πρός τε τὴν τῶν Λακεδαιμονίων πόλιν καὶ πρὸς Λύσανδρον ἰδίᾳ, ἀνέβαινε παρὰ τὸν πατέρα.

ί. Λύσανδρος δ', ἐπεὶ αὐτῷ Κῦρος πάντα παραδοὺς τὰ αὑτοῦ, πρὸς τὸν πατέρα ἀρρωστοῦντα μεταπεμπτος ἀνέβαινε, μισθὸν διαδοὺς τῇ στρατιᾷ, ἀνήχθη τῆς Καρίας ἐς τὸν Κεραμεικὸν κόλπον· καὶ προσβαλὼν πόλει τῶν Αθηναίων ξυμμάχῳ, ἔνομα Κεδρείαις, τῇ ὑστεραίᾳ προσβολῇ κατὰ κράτος αἱρεῖ, καὶ ἐξηνδραπόδισεν· ἦσαν δὲ μιξοβάρβαροι οἱ ἐνοικοῦντες. ἐκεῖθεν δ' ἀπέπλευσεν ἐς Ρόδον.

ια'. Οἱ δὲ Αθηναῖοι ἐκ τῆς Σάμου ὁρμώμενοι, τὴν βασιλέως χακῶς ἐποίων, καὶ ἐπὶ τὴν Χίον καὶ τὴν Εφεσον ἐπέπλεον, καὶ παρεσκευάζοντο πρὸς ναυμαχίαν· καὶ στρατηγοὺς πρὸς τοῖς ὑπάρχουσιν εἵλοντο Μένανδρον, Τυδέα, Κηφισόδοτον. Λύσανδρος δ' ἐκ τῆς Ρόδου παρὰ τὴν Ιωνίαν ἐκπλεῖ πρὸς τὸν Ελλήσποντον, πρός

ostendit omnia, quae ipsi peculiariter pendebantur; et pecuniam ingentem ei donat. Quumque commemorasset, quo et Lacedaemoniorum rempublicam, et priuatim Lysandrum ipsum amore complecteretur; ad patrem ascendit.

10. Lysander, quum Cyrus, traditis ipsi suis omnibus, ad patrem aduersa valetudine laborantem profectus esset, qui eum arcessiuerat: diuiso in militem stipendio, in Cerameum Cariae sinum cum classe pergit: et admotis ad Cedreas (nomen hoc oppidi, quod erat in Athenienſium foedere) castris, postridie captas expugnando diripit. Et erant ii, qui oppidum inhabitabant, semibarbari. Hinc Rhodum nauigat.

11. Athenienses autem, quum e Samo soluissent, regis fines depopulari, Chium et Ephesum versus nauigabant, et ad nauale proelium sese parabant. Lecti etiam duces ab eis praeter priores, Menander, Tydeus, Cephisodotus. Interim Lysander e Rhodo propter Ioniam versus Hellespontum, ad

πρός τε τῶν πλοίων τὸν ἔκπλουν, καὶ ἐπὶ τὰς ἀφεστηκυίας αὐτῶν πόλεις. ἀνήγοντο δὲ καὶ οἱ Αθηναῖοι ἐπὶ τῆς Χίου πελάγιοι. ἡ γὰρ Ασία πολεμία αὐτοῖς ἦν.

ιβ'. Λύσανδρος δ' ἐξ Αβύδου παρέπλει ἐς Λάμψακον, ξύμμαχον ὄσαν Αθηναίων· καὶ οἱ Αβυδηνοὶ καὶ οἱ ἄλλοι παρῆσαν πεζῇ· ἡγεῖτο δὲ Θώραξ Λακεδαιμόνιος. προσβαλόντες δὲ τῇ πόλει, αἱροῦσι κατὰ κράτος, καὶ διήρπασαν οἱ στρατιῶται, ὅσαν πλουσίαν, καὶ οἶνου καὶ σίτου καὶ τῶν ἄλλων ἐπιτηδείων πλήρη· τὰ δὲ ἐλεύθερα σώματα πάντα ἀφῆκε Λύσανδρος.

ιγ'. Οἱ δὲ Αθηναῖοι κατὰ πόδας πλέοντες, ὡρμίσαντο τῆς Χερρονήσου ἐν Ελεοῦντι, ναυσὶν ὀγδοήκοντα καὶ ἑκατόν. ἐνταῦθα δὴ ἀριστοποιουμένοις αὐτοῖς ἀγγέλλεται τὰ περὶ Λάμψακον, καὶ εὐθὺς ἀνήχθησαν ἐς Σηστόν. ἐκεῖθεν δ' εὐθὺς ἐπιστιτισάμενοι ἔπλευσαν ἐς Αἰγὸς ποταμούς, ἀντίον τῆς Λαμψάκου· διεῖχε δὲ ὁ Ελλήσποντος * ταύτῃ σταδίους

obſeruandum nauium per Helleſpontum iter, et ad oppida, quae ab ipſis defecerant, pergit. Itidem Athenienſes in alto Chium verſus prouehuntur. Etenim Aſiam infeſtam ſibi habebant.

12. Lyſander, Abydo relicta, Lampſacum contendit, quod erat Athenienſium in ſocietate oppidum. Aderant ei cum aliis Abydeni, terreſtri eo profecti itinere, quorum dux erat Thorax Lacedaemonius. Adorti ciuitatem, vi eam capiunt, captamque diripiunt milites: quum quidem et opulenta eſſet, et vino, frumento, commeatu reliquo referta. Ingenuorum hominum corpora Lyſander omnia libera dimiſit.

13. Sequuti Athenienſes eius veſtigia, apud Eleuntem in Cherroneſo portum cum CLXXX nauibus ingrediuntur. Heic eis, quum pranderent, quid accidiſſet Lampſaco, narratur. Itaque ſtatim Seſtum pergunt. Inde commeatu ſecum ſumto, recta nauigant ad Aegoſpotamos, qui locus eſt e regione Lampſaci. Erat heic in Helleſponto ſtadiorum quindecim

* Al. ταύτης.

σαδίας ὡς πεντεκαίδεκα. ἐνταῦθα δὴ ἐδειπνοποιοῦντο.

ιδ'. Λύσανδρος δὲ τῇ ἐπιούσῃ νυκτὶ, ἐπεὶ ὄρθρος ἦν, ἐσήμηνεν ἐς τὰς ναῦς ἀριστοποιησαμένους ἐσβαίνειν. πάντα δὲ παρασκευασάμενος ὡς ἐς ναυμαχίαν, καὶ τὰ παραβλήματα παραβάλλων, προεῖπεν ὡς μηδεὶς κινήσοιτο ἐκ τῆς τάξεως, μηδὲ ἀνάξοιτο. οἱ δὲ Αθηναῖοι ἅμα τῷ ἡλίῳ ἀνίσχοντι ἐπὶ τῷ λιμένι παρετάξαντο ἐν μετώπῳ ὡς ἐς ναυμαχίαν. ἐπεὶ δ' οὐκ ἀντανήγαγε Λύσανδρος, καὶ τῆς ἡμέρας ὀψὲ ἦν, ἀπέπλευσαν πάλιν ἐς τοὺς Αἰγὸς ποταμούς.

ιέ. Λύσανδρος δὲ τὰς ταχίστας τῶν νεῶν ἐκέλευσεν ἕπεσθαι τοῖς Αθηναίοις· ἐπειδὰν δὲ ἐκβῶσι, κατιδόντας ὅ, τι ποιοῦσιν, ἀποπλεῖν καὶ αὐτῷ ἐξαγγεῖλαι. καὶ ὃ πρότερον ἐξεβίβασεν ἐκ τῶν νεῶν, πρὶν αὗται ἦκον. ταῦτα δ' ἐποίει τέτταρας ἡμέρας· καὶ οἱ Αθηναῖοι ἐπανήγοντο.

ιϛ'. Αλκιβιάδης δὲ, κατιδὼν ἀπὸ τῶν τειχῶν τοὺς μὲν Αθηναίους

decim interuallum. Atque heic illi tum coenabant.

14. Lysander nocte proxima, quamprimum illuxisset, imperat suis, vt pransi naues conscenderent. Simul ad pugnam naualem instructis rebus omnibus, et adhibitis vtrinque ad naues pluteis; ne quis suo se loco moueret, vel in altum proueheretur, edixit. Athenienses vt primum sol exortus fuit, ad portum aciei suae frontem obuertunt, quasi qui proelio congredi vellent. Verum vbi classem suam Lysander aduersus eos non duxit, iamque aduesperascceret, ad Aegospotamos redeunt.

15. Tum Lysander naues omnium expeditissimas subsequi eos iussit, ac posteaquam speculatae essent, quid rerum hostes in littus egressi agerent, recta discedere, vt id sibi renuntiarent. Prius quam hae adueniissent, militem suum e nauibus egredi non patiebatur. Atque haec per dies quatuor agebat, quum interim Athenienses aduersus eum in altum proueherentur.

16. Alcibiades autem, qui de castellis suis conspexisset, Athe-

Ο ταῦτ' ἂν νουθετῶν ἐν τῷ φανερῷ, πότερα εὐμενὴς ἂν δικαίως, ἢ προδότης νομίζοιτο; οὐχ οἱ ἐχθροὺς, ὦ Κριτία, κωλύοντες πολλοὺς ποιεῖσθαι, οὐδὲ οἱ ξυμμάχους πλείους διδάσκοντες κτᾶσθαι, ὅτοι τοὺς πολεμίους ἰσχυροὺς ποιοῦσιν· ἀλλὰ πολὺ μᾶλλον οἱ ἀδίκως τε χρήματα ἀφαιρούμενοι, καὶ τοὺς οὐδὲν ἀδικοῦντας ἀποκτείνοντες, ὅτοί εἰσιν οἱ καὶ πολλοὺς τοὺς ἐναντίους ποιοῦντες, καὶ προδιδόντες οὐ μόνον τοὺς φίλους, ἀλλὰ καὶ ἑαυτοὺς, δι' αἰσχροκέρδειαν.

Εἰ δὲ μὴ ἄλλως γνωστὸν, ὅτι ἀληθῆ λέγω, ὧδε ἐπισκέψασθε· πότερον οἴεσθε Θρασύβουλον, καὶ Ανυτον, καὶ τοὺς ἄλλους

Enimuero quum multos in vrbe viderem imperio noſtro infeſtos, multos in exilium eiici: nequaquam arbitrabar vel Thraſybulum, vel Anytum, vel Alcibiadem proſcribendum eſſe. Noram enim, hoc pacto vires aduerſariis noſtris accedere: ſi multitudo duces idoneos nacta eſſet, ac ducum munere fungi volentibus magnae ſe copiae ſociorum offerrent.

Haec qui aperte monebat, eumne pro beneuolo duci aequius eſt, an proditore? Non illi, Critia, qui, ne multos nobis hoſtes reddamus, prohibent; neque qui nos monent, vt ſocios nobis multos adiungamus, hoſtium vires adaugent: ſed multo magis, qui pecunias per iniuriam ciuibus auferunt, ac nihil delinquentes occidunt: hi, inquam, multo magis illi ſunt, qui et aduerſariorum numerum maiorem efficiunt, et non ſolum amicos turpis lucri cauſſa, ſed etiam ſeipſos produnt.

Quod ſi non aliunde verum me dicere animaduertitis, ſic rem conſiderate: Vtrum exiſtimatis Thraſybulum, Anytum, exules

ἄλλως φυγάδας, ἃ ἐγὼ λέγω μᾶλλον ἂν ἐνθάδε βέλεσθαι γίγνεσθαι, ἢ ἃ ἔτοι πράττουσιν; ἐγὼ μὲν γὰρ οἶμαι, νῦν μὲν αὐτὰς νομίζειν ξυμμάχων πάντα μεστὰ εἶναι. εἰ δὲ τὸ κράτιστον τῆς πόλεως προσφιλῶς ἡμῖν εἶχε, χαλεπὸν ἂν ἡγεῖσθαι εἶναι καὶ τὸ ἐπιβαίνειν ποι τῆς χώρας.

Ἃ δ' αὖ εἶπεν, ὡς ἐγώ εἰμι οἷος ἀεί ποτε μεταβάλλεσθαι, κατανοήσατε καὶ ταῦτα. τὴν μὲν γὰρ τῶν τετρακοσίων πολιτείαν καὶ αὐτὸς δῆπου ὁ δῆμος ἐψηφίσατο, διδασκόμενος, ὡς οἱ Λακεδαιμόνιοι πάσῃ πολιτείᾳ μᾶλλον ἂν, ἢ δημοκρατίᾳ πιστεύσειαν. ἐπεὶ δέ γε ἐκεῖνοι μὲν ᾠδὲν ἀνίεσαν, οἱ δὲ ἀμφὶ Ἀριστοτέλην, καὶ Μελάνθιον, καὶ Ἀρίσαρχον στρατηγοῦντες, φανεροὶ ἐγένοντο ἐπὶ τῷ χώματι ἔρυμα τειχίζοντες, ἐς ὃ ἐβούλοντο τὰς πολεμίους δεξάμενοι, ὑφ' αὑτοῖς καὶ τοῖς ἑτέροις τὴν πόλιν ποιήσασθαι· εἰ ταῦτ' αἰσθανόμενος ἐγὼ διεκώλυσα, τοῦτ' ἔστι προδότην εἶναι τῶν φίλων;

Ἀποκαλεῖ δὲ Κόθορνόν με, ὡς ἀμφοτέροις πειρώμενον ἁρμόττειν. ὅστις δὲ μηδ' ἑτέροις ἀρέσκει, τοῦτον, ὦ πρὸς τῶν Θεῶν,

exules caeteros malle heic ea fieri, quae ego dico, quam quae hi perpetrant? Equidem arbitror, illos hoc ſibi tempore ſociorum omnia plena eſſe putare. Verum ſi pars optima reipublicae animi beneuolentia coniuncta nobis eſſet, difficulter ſe vel agrum noſtrum alicubi ingreſſuros exiſtimarent.

Quod vero talem me dixit eſſe, qui ſemper mutetur: de eo velim hoc animaduertatis: Quadringentorum adminiſtrationem populus ipſe ſciuit, quum edoctus eſſet, cuiuis potius reipublicae formae Lacedaemonios fidere, quam populari. Quum autem illi nihil remitterent, et Ariſtoteles, Melanthius, Ariſtarchus, duces, palam ad aggerem munitionem extruerent, in quam receptis hoſtibus, ſibi atque aliis vrbem ſubiicere volebant: id me ſentientem prohibuiſſe, hoccine vero amicorum eſt proditorem eſſe?

Appellat etiam me Cothurnum, vt qui vtriſque congruere nitatur. At qui neutris placet, eum, per Deos immortales, quo

Θεῶν, τί ποτε καὶ καλέσαι χρή; σὺ γὰρ δὴ ἐν μὲν τῇ δημοκρατίᾳ, πάντων μισοδημότατος ἐνομίζου. ἐν δὲ τῇ ἀριστοκρατίᾳ, πάντων μισοχρηστότατος γεγένησαι. ἐγὼ δ', ὦ Κριτία, κείνοις μὲν ἀεί ποτε πολεμῶ, τοῖς δ' πρόσθεν οἰομένοις καλὴν ἂν δημοκρατίαν εἶναι, πρὶν ἂν καὶ οἱ ἄλλοι, καὶ οἱ δι' ἀπορίαν δραχμῆς ἂν ἀποδόμενοι τὴν πόλιν, δραχμῆς μετέχωσιν· καὶ τοῖς δέ γ' αὖ ἀεὶ ἐναντίος εἰμὶ, οἳ οὐκ οἴονται καλὴν ἂν ἐγγενέσθαι ὀλιγαρχίαν, πρὶν ἂν ἐς τὸ ὑπ' ὀλίγων τυραννεῖσθαι τὴν πόλιν κατασήσειαν. *τὸ μέντοι σὺν τοῖς δυναμένοις καὶ μεθ' ἵππων καὶ μετ' ἀσπίδων ὠφελεῖν, διὰ τοῦτο τὴν πολιτείαν πρόσθεν ἄριστον ἡγούμην εἶναι, καὶ νῦν δὲ μεταβάλλομαι. εἰ δ' ἔχεις εἰπεῖν, ὦ Κριτία, ὅπως ἐγὼ ξὺν τοῖς δημοτικοῖς ἢ τυραννικοῖς τοὺς καλούς τε κἀγαθοὺς ἀποσερεῖν πολιτείας ἐπεχείρησα, λέγε. ἐὰν γὰρ ἐλεγχθῶ ἢ νῦν ταῦτα πράττων, ἢ πρότερον πώποτε πεποιηκὼς, ὁμολογῶ τὰ πάντων ἐσχατώτατα παθὼν ἂν δικαίως ἀποθνήσκειν."

ιθ'. Ως

tandem nomine appellabimus? Tu nimirum in populari ſtatu, acerrimus populi hoſtis habitus es: et in optimatum dominatu, nemo te optimates odio magis capitali proſequebatur. Ego vero, Critia, quemadmodum illis ſemper aduerſor, qui prius popularem ſtatum recte ſe habere poſſe negant, quam et ſerui, et alii, qui ob inopiam drachma ciuitatem venderent, ob vnam drachmam participes eius fiant: ita me ſemper iis etiam oppono, qui prius recte conſtitui poſſe dominatum paucorum haud putant, quam eo res deducta ſit, vt a paucis reſpublica per tyrannidem opprimatur. Quod ſane ſtatum reipublicae prius optimum idcirco fuiſſe putauerim, quod eſſent, qui et cum equis, et cum ſcutis eam iuuare poſſent: in hoc ego ſententiam meam minime muto. Tu ſi dicere potes, Critia, me vel popularibus, vel tyrannicis factionibus homines probos et honeſtos a republica depellere conatum fuiſſe; idipſum profer. Nam ſi conuictus fuero vel nunc illud moliri, vel vnquam antea feciſſe; fatebor, me extrema perferentem merito interfici.

19. Hoc

* Al. Ὅτι μέντοι.

ιθ'. Ὡς δ' εἰπὼν ταῦτα ἐπαύσατο, καὶ ἡ βουλὴ ἐγένετο εὐμενῶς ἐπιθορυβήσασα, γνοὺς ὁ Κριτίας, ὅτι, εἰ ἐπιτρέψει τῇ βουλῇ διαψηφίζεσθαι περὶ αὐτοῦ, ἀποφεύξοιτο· καὶ τοῦτο δὲ βιωτὸν ἡγησάμενος, προσελθὼν, καὶ διαλεχθείς τι τοῖς τριάκοντα, ἐξῆλθε, καὶ ἐπισῆναι ἐκέλευσε τοὺς τὰ ἐγχειρίδια ἔχοντας φανερῶς τῇ βουλῇ ἐπὶ τοῖς *δρυφράκτοις. πάλιν δ' εἰσελθὼν, εἶπεν·

κ'. "Ἐγὼ, ὦ βουλὴ, νομίζω προσάτου ἔργον εἶναι οἵου δεῖ, ὃς ἂν ὁρῶν τοὺς φίλους ἐξαπατωμένους, μὴ ἐπιτρέπῃ. καὶ ἐγὼ ἂν τοῦτο ποιήσω. καὶ γὰρ οἵδε οἱ ἐφεσηκότες ἃ φασιν ἡμῖν ἐπιτρέψειν, εἰ ἀνήσομεν ἄνδρα τὸν φανερῶς τὴν ὀλιγαρχίαν λυμαινόμενον. ἔστι δὲ ἐν τοῖς καινοῖς νόμοις, τῶν μὲν ἐν τοῖς τρισχιλίοις ὄντων μηδένα ἀποθνήσκειν ἄνευ τῆς ὑμετέρας ψήφου, τῶν δ' ἔξω τοῦ καταλόγου κυρίους εἶναι τοὺς τριάκοντα θανατοῦν. ἐγὼ οὖν, ἔφη, Θηραμένην τουτονὶ ἐξαλείφω ἐκ τοῦ καταλόγου, ξυνδοκοῦν ἅπασιν ὑμῖν. καὶ τοῦτον, ἔφη, ἡμεῖς θανατοῦμεν."

κα'. Ἀκούσας

19. Hoc modo quum peroraſſet, ac ſenatus quadam cum indicatione beneuolentiae admurmuraſſet: intelligens Critias, hominem euaſurum, ſi ſenatui de ipſo iudicandi poteſtatem concederet: (quod quidem ſi eueniret, vitam ſibi acerbam fore ducebat) accedit, et cum triginta nonnihil colloquutus exit, ac palam eos adſiſtere ſenatui ad cancellos iubet, qui pugiones geſtabant. Deinde rurſus ingreſſus, ait:

20. Equidem, Senatores, eum praeſidis optimi munere fungi arbitror, qui, ſe vidente, circumueniri amicos non patitur. Quamobrem et ipſe hoc munere fungar. Nam qui heic nobis adſtant, permiſſuros ſe nobis negant, vt hominem, palam hanc noſtrum paucorum poteſtatem euertentem, dimittamus. Eſt autem perſcriptum nouis in legibus, ne quis ex IIICIↃ numero, ſine decreto veſtro, interficiatur. Eos vero, qui hoc numero non contineantur, morte multandi poteſtatem Trigintauiris ſummam eſſe. Quapropter hunc ego Theramenem cum veſtrum omnium conſenſu ex hoc catalogo deleo, et eum nos morte multabimus.

21. His

* Al. δρυφάκτοις.

κα'. Ακούσας ταῦτα ὁ Θηραμένης, ἀνεπήδησεν ἐπὶ τὴν ἑστίαν, καὶ εἶπεν· "Εγὼ δ', ἔφη, ὦ ἄνδρες, ἱκετεύω τὰ πάντων ἐννομώτατα, μὴ ἐπὶ Κριτίᾳ εἶναι ἐξαλείφειν μήτε ἐμὲ, μήτε ὑμῶν, ὃν ἂν βούληται, ἀλλ' ὅπερ νόμον ἔτοι ἔγραψαν περὶ τῶν ἐν τῷ καταλόγῳ, κατὰ τοῦτον καὶ ὑμῖν καὶ ἐμοὶ τὴν κρίσιν εἶναι. καὶ τοῦτο μέν, ἔφη, μὰ τοὺς Θεούς, οὐκ ἀγνοῶ, ὅτι οὐδέν μοι ἀρκέσει ὅδε ὁ βωμός· ἀλλὰ βούλομαι καὶ τοῦτο ἐπιδεῖξαι, ὅτι ἔτοι οὐ μόνον εἰσὶ περὶ ἀνθρώπους ἀδικώτατοι, ἀλλὰ καὶ περὶ Θεοὺς ἀσεβέστατοι. ὑμῶν μέντοι, ἔφη, ὦ ἄνδρες καλοὶ κἀγαθοὶ, θαυμάζω, εἰ μὴ βοηθήσετε ὑμῖν αὐτοῖς· καὶ ταῦτα, γιγνώσκοντες, ὅτι οὐδὲν τὸ ἐμὸν ὄνομα εὐεξαλειπτότερον, ἢ τὸ ὑμῶν ἑκάστου."

κβ'. Ἐκ δὲ τούτου *ἐκάλεσε μὲν ὁ τῶν τριάκοντα κήρυξ τοὺς ἕνδεκα ἐπὶ τὸν Θηραμένην. ἐκεῖνοι δὲ εἰσελθόντες σὺν τοῖς ὑπηρέταις, ἡγουμένου αὐτῶν Σατύρου τοῦ θρασυτάτου αὐτῶν καὶ ἀναιδεστάτου, εἶπε μὲν ὁ Κριτίας· παραδίδομεν ὑμῖν, ἔφη, Θηραμένην τουτονὶ κατακεκριμένον κατὰ τὸν νόμον·

21. His auditis, in aram Theramenes insiliens; Ego vero, ait, rem omnium aequissimam suppliciter postulo, ne sit in potestate Critiae, vt vel me, vel aliquem vestrum, quem quidem ipse velit, deleat: sed vt secundum eam legem, quae lex ab his Trigintauiris lata de illis est, qui catalogo continentur, tam de vobis, quam de me cognoscatur. Nec profecto equidem ignoro, nihil admodum aram hanc mihi profuturam. Nihilominus ostendere volo, non hos tantum erga homines iniustissimos esse: sed etiam erga Deos maxime impios. De vobis quidem certe, viri optimi, non potest non mirum mihi videri, nolle vos opem vobismet ipsis ferre: praesertim quum intelligatis, nihilo magis esse meum delebile, quam vnius cuiusque vestrum nomen.

22. Secundum haec Trigintauirum praeco ad Theramenem Vndecimuiros arcessiuit. Qui posteaquam ingressi cum apparitoribus duce Satyro fuissent, homine inter ipsos longe tum audacissimo, tum impudentissimo: Tradimus vobis, ait Critias, Theramenem hunc, secundum legem damnatum. Eum

* Al. ἐκέλευσε.

μον· ὑμεῖς δὲ λαβόντες, καὶ ἀπαγαγόντες οἱ ἕνδεκα, ἃ δεῖ, τὰ ἐκ τούτων πράσσετε.

κγ'. Ὡς δὲ ταῦτα εἶπεν, εἵλκε μὲν ἀπὸ τῦ βωμῦ ὁ Σάτυρος, εἵλκον δὲ οἱ ὑπηρέται. ὁ δὲ Θηραμένης, ὥσπερ εἰκὸς, καὶ θεὺς ἐπεκαλεῖτο καὶ ἀνθρώπυς καθορᾶν τὰ γιγνόμενα. ἡ δὲ βυλὴ ἡσυχίαν εἶχεν, ὁρῶσα καὶ τὺς ἐπὶ τοῖς δρυφάκτοις ὁμοίυς Σατύρῳ, καὶ τὸ ἔμπροσθεν τῦ βυλευτηρίυ πλῆρες τῶν φυρῶν, καὶ ὐκ ἀγνοῦντες, ὅτι ἐγχειρίδια ἔχοντες παρῆσαν.

κδ'. Οἱ δ' ἀπήγαγον τὸν ἄνδρα διὰ τῆς ἀγορᾶς, μάλα μεγάλῃ τῇ φωνῇ δηλῦντα οἷα ἔπασχε. λέγεται δὲ ἓν ῥῆμα καὶ τῦτο αὐτῦ, ὡς εἶπεν ὁ Σάτυρος, ὅτι οἰμώξοιτο, εἰ μὴ σιωπήσειεν, ἐπήρετο· ἂν δὲ σιωπῶ, ὐκ ἄρα, ἔφη, οἰμώξομαι; καὶ ἐπεί γε ἀποθνήσκειν ἀναγκαζόμενος τὸ κώνειον ἔπιε, τὸ λειπόμενον ἔφασαν ἀποκοτ]αβίσαντα εἰπεῖν αὐτόν· Κριτίᾳ τῦτ' ἔγω τῷ καλῷ. καὶ τῦτο μὲν ὐκ ἀγνοῶ, ὅτι ταῦτα ἀποφθέγματα

Eum vos Vndecemuiri arreptum, quo oportet, abducite; ac porro cum illo, quod agendum erit, facite.

23. Haec quum dicta fuiſſent, non ſolum Satyrus, ſed lictores etiam reliqui ab ara ipſum auellebant. At Theramenes, vti par erat, Deos et homines implorabat, vt, quae ſecum agerentur, adſpicerent. Senatus vero tacitus nihil moliri, qui ſtantes ad cancellos homines Satyri ſimiles, et ante curiam praeſidiariis omnia plena conſpiceret, nec ignoraret eos ſicis inſtructos adeſſe.

24. Theramenes quum per forum duceretur, voce admodum contenta, quo pacto ſecum ageretur, indicabat. Aiuntque tum hoc quoque verbum ab illo fuiſſe prolatum: Quum Satyrus diceret, daturum poenas, ni taceret, interrogabat: Quod ſi ergo tacuero, poenas non dabo? Tandem quum mortem obire cogeretur, et cicutam biberet; proditum eſt id, quod reliquum erat in poculo, ſic ipſum eieciſſe, vt reſonaret, ſimulque dixiſſe: Hoc pulchro illi Critiae propinatum eſto. Nec ignoro equidem, pretium

ἀποφθέγματα οὐκ ἀξιόλογα· ἐκεῖνο δὲ κρίνω τοῦ ἀνδρὸς ἀγαθὸν, τὸ, τοῦ θανάτου παρεστηκότος, μήτε τὸ φρόνιμον, μήτε τὸ παιγνιῶδες, ἀπολιπεῖν ἐκ τῆς ψυχῆς.

ΚΕΦ. δ'.

Θηραμένης μὲν δὴ οὕτως ἀπέθανεν· οἱ δὲ τριάκοντα, ὡς ἐξὸν ἤδη αὐτοῖς τυραννεῖν ἀδεῶς, προεῖπον μὲν τοῖς ἔξω τοῦ καταλόγου μὴ εἰσιέναι ἐς τὸ ἄστυ, ἦγον δὲ ἐκ τῶν χωρίων, ἵνα αὐτοὶ καὶ οἱ φίλοι τοὺς τούτων ἀγροὺς ἔχοιεν. Φευγόντων δὲ ἐς τὸν Πειραιᾶ, καὶ ἐντεῦθεν πολλοὺς ἄγοντες, ἐνέπλησαν καὶ τὰ Μέγαρα καὶ τὰς Θήβας τῶν ὑποχωρούντων.

β'. Ἐκ δὲ τούτου Θρασύβουλος ὁρμηθεὶς ἐκ Θηβῶν ὡς σὺν ἑβδομήκοντα, φυλὴν χωρίον καταλαμβάνει ἰσχυρόν. οἱ δὲ τριάκοντα ἐβοήθουν ἐκ τοῦ ἄστεος σύν τε τοῖς τρισχιλίοις καὶ σὺν τοῖς ἱππεῦσι, καὶ μάλ' εὐημερίας ὕσης. ἐπεὶ δὲ

operae non esse, haec ipsius dicta commemorari: sed illud tamen in eo dignum esse admiratione iudico, quod imminente morte, nihil ipsius animus neque de prudentia, neque de iocandi consuetudine remiserit.

CAP. IV.

Hic vitae Theramenis exitus fuit. Caeterum Triginta viri, quasi iam metu soluti facultatem exercendae tyrannidis haberent: partim iis, qui catalogo non continebantur, denuntiabant, ne vrbem ingrederentur; partim eos e fundis suis abducebant, vt ipsi cum amicis agros illorum possiderent. Hi quum fuga se in Piraeeum recepissent, atque etiam inde magno numero a Triginta viris abducerentur: tum Megara, tum Thebae cedentium turba repletae sunt.

2. Secundum haec quum Thrasybulus Thebis, cum aliis plus minus LXX, mouisset; Phylam occupat, locum munitum. Aduersus hos Triginta viri ex vrbe cum suis illis IIICIO, et cum equitatu die perquam sereno

δὲ ἀφίκοντο, εὐθὺς μὲν θρασυνόμενοί τινες τῶν νέων προσέβαλον πρὸς τὸ χωρίον, καὶ ἐποίησαν μὲν οὐδέν, τραύματα δὲ λαβόντες ἀπῆλθον.

γ'. Βουλομένων δὲ τῶν τριάκοντα ἀποτειχίζειν, ὅπως ἐκπολιορκήσειαν αὐτούς, ἀποκλείσαντες αὐτοῖς τὰς ἐφόδους τῶν ἐπιτηδείων, ἐπιγίγνεται τῆς νυκτὸς χιὼν παμπληθὴς καὶ τῇ ὑστεραίᾳ οἴδε νιφόμενοι ἀπῆλθον ἐς τὰ ἄνω, μάλα συχνὰς τῶν σκευοφόρων ἀπὸ τῶν ἐκ φυλῆς ἀποβαλόντες. γιγνώσκοντες δὲ, ὅτι καὶ ἐκ τῶν ἀγρῶν λεηλατήσοιεν, εἰ μή τις φυλακὴ ἔσοιτο, διαπέμπουσιν ἐς τὰς ἐσχατιὰς, ὅσον πεντεκαίδεκα στάδια ἀπὸ φυλῆς, τούς τε Λακωνικοὺς πλὴν ὀλίγων ψιλοὺς, καὶ τῶν ἱππέων δύο φυλάς· οἵτοι δὲ στρατοπεδευσάμενοι ἐν χωρίῳ λασίῳ, ἐφύλαττον.

δ'. Ὁ δὲ Θρασύβουλος, ἤδη συνειλεγμένων ἐς τὴν φυλὴν περὶ ἑπτακοσίους, λαβὼν αὐτούς, καταβαίνει τῆς νυκτός. θέμενος δὲ τὰ ὅπλα ὅσον τρία ἢ τέτταρα στάδια ἀπὸ τῶν ψιλῶν, ἡσυχίαν εἶχεν. ἐπεὶ δὲ πρὸς ἡμέραν ἐγίγνετο, καὶ ἤδη ἀνίσαντο ὅποι ἐδεῖτο ἕκαστος ἀπὸ

reno pergunt. Phylam vbi ventum esset, mox audaculi quidam iuuenes locum adoriuntur, et re infecta vulnerati discedunt.

3. Quum autem Trigintauiri muro eos cingere vellent, vt, occlusis itineribus, per quae commeatus deportaretur, tandem eos expugnarent; accidit, vt noctu vis ingens niuis decideret. Quamobrem postridie niuibus obruti ad vrbem redeunt, magna calonum parte ab iis, qui extra Phylam eruperant, nudati. Quumque futurum intelligerent, vt illi de agris quoque praedas agerent, si nulli excubitores constituerentur; ad extremos limites, plus minus quindecim stadiis a Phyla distantes, concessos a Lacedaemoniis praesidiarios, paucis exceptis, omnes, cum duabus equitum turmis, mittunt. Hi castris loco arboribus denso metatis, excubias agebant.

4. At Thrasybulus, collectis iam ad oppidum Phylam plus minus 1000, eisque secum sumtis, noctu descendit. Quumque trium vel quatuor fere stadiorum interuallo a praesidiariis subsistere suos in armis iussisset, quiescebat. Posteaquam propius iam dies adesse coepisset, et hostium quilibet a castris,

ἀπὸ τῶν ὅπλων, καὶ οἱ ἱπποκόμοι ψήχοντες τὰς ἵππους ψόφον ἐποίουν, ἐν τούτῳ ἀναλαβόντες οἱ περὶ Θρασύβυλον τὰ ὅπλα, δρόμῳ προσέπιπτον· καὶ ἔστι μὲν ὃς αὐτῶν κατέλαβον, πάντας δὲ τρεψάμενοι ἐδίωξαν ἐξ ἧς ἐπλαὶ σάδια· καὶ ἀπέκτειναν τῶν μὲν ὁπλιτῶν πλέον ἢ εἴκοσι καὶ ἑκατόν, τῶν δὲ ἱππέων Νικόστρατόν τε τὸν Καλὸν ἐπικαλούμενον, καὶ ἄλλους δὲ δύο, ἐπικαταλαβόντες ἐν ταῖς εὐναῖς. ἐπαναχωρήσαντες δὲ, καὶ τρόπαιον στησάμενοι, συσκευασάμενοι ὅπλα τε ὅσα ἔλαβον καὶ σκεύη, ἀπῆλθον ἐπὶ Φυλῆς. οἱ δὲ ἐξ ἄστεος ἱππεῖς βοηθήσαντες, τῶν μὲν πολεμίων οὐδένα ἔτι εἶδον· προσμείναντες δὲ ἕως τοὺς νεκροὺς ἀνείλοντο οἱ προσήκοντες, ἀνεχώρησαν ἐς τὸ ἄστυ.

ε'. Ἐκ δὲ τούτου οἱ τριάκοντα, οὐκέτι νομίζοντες ἀσφαλῆ σφίσι τὰ πράγματα, ἐβουλήθησαν Ἐλευσῖνα ἐξιδιώσασθαι, ὥστε εἶναι σφίσι καταφυγὴν εἰ δέοι. καὶ παραγγείλαντες τοῖς ἱππεῦσιν, ἦλθον ἐς Ἐλευσῖνα, Κριτίας τε καὶ

stris, quo forte cuique opus eſſet, diſcederet; equiſones etiam tergendis equis ſtrepitum excitarent: tum vero Thraſybuli milites, ſumtis armis, curſu in hoſtes feruntur, eorumque nonnullos aſſequuntur, vniuerſis autem in fugam coniectis a tergo ad ſtadia ſex aut ſeptem inhaerent. E grauis armaturae peditum numero, ſupra cxx occidunt: ex equitibus Nicoſtratum cognomento Pulchrum, et alios duos, quos adhuc in cubilibus deprehenderant. Poſtea recedentes, conſtituto tropaeo, et armis ac ſarcinis, quibus potiti erant, collectis; Phylam redeunt. Interim qui in vrbe erant equites, quum opis ferendae cauſſa excurriſſent; nemine hoſtium conſpecto, tantiſper manent, donec interfecti a propinquis tollerentur: ac deinde in vrbem ſe recipiunt.

5. Poſt haec Trigintauiri, qui rerum ſuarum ſtatum non amplius in tuto eſſe arbitrarentur: Eleuſinem ſuam priuatim in poteſtatem redigere cogitant, vt illam refugii loco haberent, ſi quidem ita neceſſitas poſceret. Quamobrem et Critias et caeteri Trigintauiri, iuſſis equitibus ſecum ire, Eleuſinem

καὶ οἱ ἄλλοι τῶν τριάκοντα· ἐξέτασίν τε ποιήσαντες ἐν τοῖς ἱππεῦσι, φάσκοντες εἰδέναι βέλεσθαι πόσοι εἶεν, καὶ πόσης φυλακῆς προσδεήσοιντο, ἐκέλευον ἀπογράφεσθαι πάντας· τὸν δὲ ἀπογραψάμενον ἀεὶ διὰ τῆς πυλίδος ἐπὶ τὴν θάλατταν ἐξιέναι. ἐπὶ δὲ τῷ αἰγιαλῷ τὰς μὲν ἱππέας ἔνθεν καὶ ἔνθεν κατέσησαν, τὸν δ' ἐξιόντα ἀεὶ οἱ ὑπηρέται ξυνέδουν. ἐπεὶ δὲ πάντες ξυνειλημμένοι ἦσαν, Λυσίμαχον τὸν ἵππαρχον ἐκέλευσαν ἀναγαγόντα παραδῶναι αὐτοὺς τοῖς ἕνδεκα.

ς'. Τῇ δὲ ὑστεραίᾳ ἐς τὸ † Ωιδεῖον παρεκάλεσαν τοὺς ἐν τῷ καταλόγῳ ὁπλίτας καὶ τοὺς ἄλλους ἱππέας. ἀναστὰς δὲ Κριτίας ἔλεξεν· "Ημεῖς, ἔφη, ὦ ἄνδρες, οὐδὲν ἧττον ὑμῖν κατασκευάζομεν τὴν πολιτείαν ἢ ἡμῖν αὐτοῖς. δεῖ δὴν ὑμᾶς, ὥσπερ καὶ τιμῶν μεθέξετε, οὕτω καὶ τῶν κινδύνων μετέχειν. τῶν δὴν ξυνειλεγμένων Ελευσινίων καταψηφιστέον ἐστὶν, ἵνα ταυτὰ ἡμῖν καὶ θαρρῆτε καὶ φοβῆσθε. δείξας δέ τι χωρίον, ἐς τοῦτο ἐκέλευσε φανερὰν φέρειν τὴν ψῆφον.

nem proficiſcuntur. Quumque luſtrationem inter equites inſtituiſſent, quod ſcire ſe velle dicerent, quantus eſſet Eleuſiniorum numerus, et quanto eis praeſidio foret opus; vniuerſos nomina ſua profiteri iubent. Qui profeſſus eſſet, eum per oſtiolum egredi ad mare iubent. At in litore collocati ex vtraque parte equites erant, et lictores quemlibet exeuntem vinculis conſtringebant. Poſteaquam omnes comprehenſi fuiſſent, dant hoc Lyſimacho equitum praefecto negotii, vt abductos Vndecimviris traderet.

6. Poſtridie quotquot erant in catalogo grauis armaturae milites, et equeſtres item copias, in Odeum conuocant. Tum Critias ſurgens: Nos, inquit, non minus vobis quam nobis ipſis hac republica conſtituenda conſulimus. Quamobrem aequum eſt vos itidem, vt honorum participes eritis, ſic etiam in periculorum ſocietatem venire. Vt igitur eadem vtamini fiducia, qua nos, et eadem metuatis; damnandi nobis erunt Eleuſinii, quos collectos habemus. Quumque locum quendam demonſtraſſet, in eo iuſſit, vt palam calculi ferrentur.

Interea

† Locus, in quo Poëmata recitabantur, priuſquam in Theatrum producerentur.

φον. οἱ δὲ Λακωνικοὶ φρουροὶ ἐν τῷ ἡμίσει τῆ Ωιδείῳ ἐξωπλισμένοι ἦσαν· ἦν δὲ ταῦτα ἀρεσκὰ καὶ τῶν πολιτῶν, ὅσοις τὸ πλεονεκτεῖν μόνον ἔμελεν.

ζ'. Ἐκ δὲ τούτου λαβὼν ὁ Θρασύβουλος τοὺς ἀπὸ Φυλῆς, περὶ χιλίους ἤδη ξυνειλεγμένους, ἀφικνεῖται τῆς νυκτὸς ἐς τὸν Πειραιᾶ. οἱ δὲ τριάκοντα, ἐπεὶ ἤθοντο ταῦτα, ἐβοήθουν εὐθὺς αὐτοῖς ξύν τε τοῖς Λακωνικοῖς, καὶ ξὺν τοῖς ἱππεῦσι καὶ τοῖς ὁπλίταις· ἔπειτα ἐχώρουν κατὰ τὴν ἐς τὸν Πειραιᾶ ἀμαξιτὸν ἀναφέρουσαν. οἱ δὲ ἀπὸ Φυλῆς ἔτι μὲν ἐπεχείρησαν μὴ ἀνιέναι αὐτούς· ἐπεὶ δὲ μέγας ὁ κύκλος ὢν πολλῆς φυλακῆς ἐδόκει δεῖσθαι, ὅπου πολλοῖς ὦσι, ξυνεσπειράθησαν ἐπὶ τὴν Μουνυχίαν.

η'. Οἱ δὲ ἐκ τοῦ ἄστεος ἐς τὴν Ἱπποδάμειον ἀγορὰν ἐλθόντες, πρῶτον μὲν ξυνετάξαντο, ὥστε ἐμπλῆσαι τὴν ὁδὸν, ἣ φέρει πρός τε τὸ ἱερὸν τῆς Μουνυχίας Ἀρτέμιδος, καὶ τὸ Βενδίδειον· καὶ ἐγένοντο βάθος οὐκ ἔλαττον, ἢ ἐπὶ πεντήκοντα ἀσπίδων.

Interea praeſidiarii Laconici dimidiam Odei partem armati occupauerant. Atque haec nonnulli etiam ciues, quotquot commodorum priuatim ſuorum duntaxat rationem habebant.

7. Secundum haec Thraſibulus, ſumtis ſecum illis, qui apud Phylam prope iam CIↃ numero conuenerant, noctu in Piraeeum venit. Id poſteaquam Triginta uiri animaduertiſſent, ſtatim cum praeſidiariis Laconicis, et equitum peditumque grauis armaturae copiis, ad ferendum ſuis opem concurrunt. Deinde via, qua Piraeeum verſus agi plauſtra poſſunt, progrediuntur. At qui Phylà venerant, primum eos impedire conantur. Verum quia ingens eſſet ambitus, magnaque praeſidiariorum copia requiri videretur, quum ipſi necdum multi eſſent; in Munychiam per cohortes ſe conferti recipiunt.

8. Vrbani vero quum in forum Hippodameum veniſſent, primum ſic inſtruunt aciem, vt viam omnem complerent, quae ad Munychiae Dianae templum, et ad Bendideum ducit. Aciei denſitas non pauciores quinquaginta ſcutatis continebat.

ἀσπίδων. ὕτω δὲ ξυντεταγμένοι ἐχώρων ἄνω. οἱ δὲ ἀπὸ φυλῆς ἀντανέπλησαν· μὲν τὴν ὁδὸν, βάθος δὲ ὃ πλέον ἢ ἐς δέκα ὁπλίτας ἐγένοντο. ἐτάχθησαν μέντοι ἐπ' αὐτὺς πελτοφόροι τε καὶ ψιλοὶ ἀκοντισταὶ, ἐπὶ δὲ τύτοις οἱ πετροβόλοι. ὕτοι μέντοι συχνοὶ ἦσαν· καὶ γὰρ αὐτόθεν προσεγένοντο.

θ'. Ἐν ᾧ δὲ προσήεσαν οἱ ἐναντίοι, Θρασύβυλος τὺς μετ' αὐτῦ θέσθαι κελεύσας τὰς ἀσπίδας, καὶ αὐτὸς θέμενος, τὰ δ' ἄλλα ὅπλα ἔχων, κατὰ μέσον τὰς, ἔλεξεν·

ί. "Ανδρες πολῖται, τὺς μὲν διδάξαι, τὺς δὲ ἀναμνῆσαι ὑμῶν βύλομαι, ὅτι εἰσὶ τῶν προσιόντων οἱ μὲν τὸ δεξιὸν ἔχοντες, ὃς ὑμεῖς ἡμέρᾳ πέμπτῃ τρεψάμενοι ἐδιώξατε· οἱ δ' ἐπὶ τῦ εὐωνύμυ ἔσχατοι, ὕτοι δὲ οἱ τριάκοντα, οἳ ἡμᾶς καὶ πόλεως ἀπεστέρυν ὐδὲν ἀδικῦντας, καὶ οἰκιῶν ἐξήλαυνον, καὶ τὺς φιλτάτυς τῶν ἡμετέρων ἀπεσημαίνοντο. ἀλλὰ νῦν τοι παρα-

bat. Ita illi, acie ſua inſtructa, ſurſum pergebant. At qui Phyla eruperant, et ipſi viam complebant; ita tamen, vt aciei denſitas vltra pedites armaturae grauis decem non haberet. Poſt eos et cetrati, et iaculatores inermes collocati erant, quibus illi ſuccedebant, qui ſaxa in hoſtem contorquerent, et eorum ſane magna erat copia. Nam horum numerus per ciues ex illo ipſo loco ad eos accedentes augebatur.

9. Interea dum ad hos progrediuntur aduerſarii; Thraſybulus ſuis imperat, vt ſcuta ponerent. Ipſe etiam, ſcuto ſuo poſito, cum armis caeteris ſtans in agmine medio, hanc orationem habuit:

10. Volo ego, ciues, partim vos docere, partim commonefacere, ex hoſtibus aduerſum nos contendentibus, illos, qui cornu dextrum obtinent, eoſdem eſſe, quos die ab hoc quinto in fugam actos perſequuti ſitis: alios vero, qui ad laeuam vltimi ſunt, Trigintauiros eſſe, qui nos per iniuriam patria ſpoliarunt, aedibus noſtris eiecerunt, amiciſſimos nobis eorum in numerum retulerunt, quorum bona publicarentur. Enimuero nunc

eo

παραγεγένηνται, ἃ ἔτοι μὲν ἔποτε ᾤοντο, ἡμεῖς δὲ ἀεὶ εὐχόμεθα. ἔχοντες γὰρ ὅπλα μὲν ἐναντίοι αὐτοῖς καθέσαμεν· οἱ δὲ Θεοὶ εἰδότες ὅτι ποτὲ καὶ δειπνοῦντες ξυνελαμβανόμεθα, καὶ καθεύδοντες καὶ ἀγοράζοντες· οἱ δὲ, καὶ οὐχ ὅπως ἀδικοῦντες, ἀλλ' οὐδ' ἐπιδημοῦντες ἐφυγαδευόμεθα, νῦν φανερῶς ἡμῖν ξυμμαχοῦσι. καὶ γὰρ ἐν εὐδίᾳ χειμῶνα ποιοῦσιν, ὅταν ἡμῖν ξυμφέρῃ· καὶ ὅταν ἐπιχειρῶμεν, πολλῶν ὄντων ἐναντίων, ὀλίγοις ἔσι τρόπαια ἵσασθαι διδόασι.

Καὶ νῦν δὲ κεκομίκασιν ἡμᾶς ἐς χωρίον, ἐν ᾧ ἔτοι μὲν ἔτε βάλλειν ἔτε ἀκοντίζειν ὑπὲρ τῶν προτεταγμένων, διὰ τὸ πρὸς ὄρθιον ἰέναι, δύναιντ' ἄν· ἡμεῖς δὲ, ἐς τὸ κάταντες καὶ δόρατα ἀφιέντες, καὶ ἀκόντια, καὶ πέτρας, ἐξιξόμεθά τε αὐτῶν, καὶ πολλοὺς κατατρώσομεν. καὶ ᾤετο μὲν ἄν τις δεήσειν τοῖς γε προσάταις ἐκ τοῦ ἴσου μάχεσθαι· νῦν δὲ,

eo loci peruenere, quo illi nunquam se peruenturos existimabant; nos autem semper, vt deuenirent, optabamus. Nam et aduersus eos heic armati consistimus, et Dii modo nobis palam opitulantur, qui norunt, quod et inter coenandum aliquando comprehendebamur, et inter dormiendum, ac mercandum: immo nonnulli nostrûm non dicam nihil delinquentes, sed etiam peregre domo profecti, exilio multabamur. Nimirum Dii coelo sereno tempestatem nuper concitabant, quum ita nobis expediret: et quum hostes aggrederemur, tametsi aduersus nos magnis illi cum copiis consisterent, nihilo minus nobis numero paucis hoc tribuerunt, vt tropaea constitueremus.

Nunc quoque nos in eum locum deduxerunt, in quo illi neque telis neque iaculis, supra suos ante se collocatos emissis, petere nos possunt, quod necesse sit, vt locum accliuem subeant: nos contra, deiectis per decliuia saxis, iaculis, hastis, et pertingemus ad ipsos, et multos vulnerabimus. Etiam existimasset aliquis, nobis praesertim primipilis pugnandum fuisse ex aequo loco. Nunc vero,

δὲ, ἂν ὑμεῖς, ὥσπερ προσήκει, προθύμως ἀφῆτε τὰ βέλη, ἁμαρτήσεται μὲν οὐδεὶς ὧν γε μετὴ ἡ ὁδὸς, φυλατ/ό-μενοι δὲ, δεαπετεύσουσιν ἀεὶ ὑπὸ ταῖς ἀσπίσιν· ὥστε ἐξέσται ὥσπερ τυφλοὺς καὶ τύπτειν ὅπου ἂν βουλώμεθα, καὶ ἐναλλομένους ἀνατρέπειν.

Αλλ', ὦ ἄνδρες, ὕτω χρὴ ποιεῖν, ὅπως ἕκαστός τις ἑαυτῷ ξυνείσεται τῆς νίκης αἰτιώτατος ὤν. αὕτη γὰρ ἡμῖν, ἂν Θεὸς θέλῃ, νῦν ἀποδώσει καὶ πατρίδα, καὶ οἴκους, καὶ ἐλευθερίαν, καὶ τιμὰς, καὶ παῖδας, οἷς εἰσι, καὶ γυναῖκας. ὦ μακάριοι δῆτα, οἳ ἂν ἡμῶν νικήσαντες ἐπίδωσι τὴν πασῶν ἡδίστην ἡμέραν. εὐδαίμων δὲ, καὶ ἄν τις ἀποθάνῃ. μνημεῖα γὰρ οὐδεὶς ὕτω πλούσιος ὢν καλὰ τεύξεται. ἐξάρξομαι ὧν ἐγὼ, ἡνίκ' ἂν καιρὸς ᾖ, παιᾶνα· ὅταν δὲ τὸν Ενυάλιον παρακαλέσωμεν, τότε πάντες ὁμοθυμαδὸν ἀνθ' ὧν ὑβρίσθημεν, τιμωρώμεθα τοὺς ἄνδρας.»

ια'. Ταῦτα δ' εἰπὼν, καὶ μεταστραφεὶς πρὸς τοὺς ἐναντίους,

ro, ſi quidem vos, vti conuenit, alacriter in hoſtem tela conieceritis, nemo ab iis aberrabit, quibus via tota referta eſt: et ſi cauere ſibi voluerint, perpetuo ſub clypeis latitabunt: quo quidem fiet, vt facultatem habituri ſimus feriendi eos tanquam caecos, vbi libitum fuerit, et irruentes aduerſum nos in fugam vertendi.

Nimirum ſic gerenda res erit, ciues, vt vnuſquiſque noſtrum non aliter ſibi conſcius ſit, ac ſi auctor imprimis ipſe victoriae partae foret: quae quidem nobis, Deo propitio, nunc et patriam, et domos, et libertatem, et honores, et liberos, quibus quidem liberi ſunt, et vxores reſtituet. Felices illos, qui e nobis victoria parta diem hunc vnum omnium iucundiſſimum adſpicient. Nec minus beatus erit, quicunque hoc in proelio cadet. Nemo enim, quantumuis opulentus, tam praeclarum monumentum conſequetur. Equidem vbi opportunum fuerit, paeanem exordiar: quumque Martem implorauerimus, omnes vno animo iniurias ab hoſtibus acceptas vindicemus.

11. Haec vbi dixiſſet, in hoſtem conuerſus, ſe tamen a proe-

lio

τίας, ἡσυχίαν εἶχε. καὶ γὰρ ὁ μάντις παρήγγειλεν αὐτοῖς μὴ πρότερον ἐπιτίθεσθαι, πρὶν ἂν τῶν σφετέρων ἢ πέσοι τις, ἢ τρωθείη. ἐπειδὰν μέντοι τοῦτο γένηται, ἡγησόμεθα μὲν, ἔφη, ἡμεῖς· νίκη δὲ ἡμῖν ἔσται ἑπομένη, ἐμοὶ μέντοι θάνατος, ὡς γε μοὶ δοκεῖ.

ιβ'. Καὶ οὐκ ἐψεύσατο, ἀλλ' ἐπεὶ ἀνέλαβον τὰ ὅπλα, αὐτὸς μὲν, ὥσπερ ὑπὸ μοίρας τινὸς ἀγόμενος, ἐκπηδήσας πρῶτος, ἐμπεσὼν τοῖς πολεμίοις ἀποθνήσκει, καὶ τέθαπται ἐν τῇ διαβάσει τοῦ Κηφισσοῦ. οἱ δ' ἄλλοι ἐνίκων, καὶ κατεδίωξαν μέχρι τοῦ ὁμαλοῦ. ἀπέθανον δ' ἐνταῦθα τῶν μὲν τριάκοντα Κριτίας τε καὶ Ἱππόμαχος, τῶν δ' ἐν Πειραιεῖ δέκα ἀρχόντων Χαρμίδης ὁ Γλαύκωνος, τῶν δ' ἄλλων περὶ ἑβδομήκοντα. καὶ τὰ μὲν ὅπλα ἔλαβον, τοὺς δὲ χιτῶνας οὐδενὸς τῶν πολιτῶν ἐσκύλευσαν. ἐπεὶ δὲ τοῦτο ἐγένετο, καὶ τοὺς νεκροὺς ὑποσπόνδους ἀπεδίδοσαν, προσιόντες ἀλλήλοις πολλοὶ διελέγοντο.

ιγ'. Κλεόκριτος δὲ ὁ τῶν Μυστῶν κήρυξ, μάλ' ἔμφωνος ὢν, κατασιωπησάμενος ἔλεξεν· "Ανδρες πολῖται, τί ἡμᾶς ἐξελαύνετε;

lio continebat. Edixerat enim hariolus, ne prius hoſtem inuaderent, quam aliquis ex ipſorum acie vel caderet, vel vulneraretur. Id vbi euenerit, inquit, nos praeibimus: ſequetur victoria: me quidem mors, vt arbitror.

12. Neque falſum hoc vaticinium fuit, ſed quamprimum arma cepiſſent, ipſe tanquam fato quodam ductus, primus in aduerſos inſiliit, et medios inter hoſtes occiſus eſt: ſepultus eo loci, vbi Cephiſſus amnis vado tranſitur. Caeteri victoria potiebantur, et hoſtem in planiciem vſque perſequebantur. Occiſi ſunt hoc in proelio de Trigintauirum numero Critias et Hippomachus, ex decem in Piraeeo primoribus Charmides Glauconis filius: caeterorum plus minus LXX. Interfecti ciues non veſtibus, ſed armis ſpoliati ſunt. Quo facto, per inducias mortuorum cadavera reddita: multi quoque congreſſi inter ſe colloquebantur.

13. Et Cleocritus Myſtarum praeco, cui vox erat admodum clara, indicto ſilentio, in hanc ſententiam loquutus eſt: Quamobrem nos expellitis, ciues? quamobrem

ἐξελαύνετε; τί ἀποκτεῖναι βούλεσθε; ἡμεῖς γὰρ ὑμᾶς κακὸν μὲν οὐδεπώποτε ἐποιήσαμεν, μετεσχήκαμεν δὲ ὑμῖν καὶ ἱερῶν τῶν σεμνοτάτων, καὶ θυσιῶν, καὶ ἑορτῶν τῶν καλλίστων, καὶ ξυγχορευταὶ, καὶ ξυμφοιτηταὶ γεγενήμεθα, καὶ συστρατιῶται, καὶ πολλὰ μεθ' ὑμῶν κεκινδυνεύκαμεν κατὰ γῆν καὶ κατὰ θάλατταν ὑπὲρ τῆς κοινῆς ἀμφοτέρων ἡμῶν σωτηρίας τε καὶ ἐλευθερίας. πρὸς θεῶν πατρῴων, καὶ μητρῴων, καὶ ξυγγενείας, καὶ κηδεστίας, καὶ ἑταιρίας, (πάντων γὰρ τούτων πολλοὶ κοινωνοῦμεν ἀλλήλοις) αἰδούμενοι καὶ θεοὺς καὶ ἀνθρώπους, παύσασθε ἁμαρτάνοντες εἰς τὴν πατρίδα, καὶ μὴ πείθεσθε τοῖς ἀνοσιωτάτοις τριάκοντα, οἳ ἰδίων κερδέων ἕνεκα ὀλίγου δεῖν πλείους ἀπεκτόνασιν Ἀθηναίων ἐν ὀκτὼ μησὶν, ἢ πάντες Πελοποννήσιοι δέκα ἔτη πολεμοῦντες. ἐξὸν δὲ ἡμῖν ἐν εἰρήνῃ πολιτεύεσθαι, ὅτου τῶν πάντων αἴσχιστόν τε, καὶ χαλεπώτατον, καὶ ἀνοσιώτατον, καὶ ἔχθιστον καὶ θεοῖς καὶ ἀνθρώποις πόλεμον ἡμῖν πρὸς ἀλλήλους παρέχουσιν. ἀλλ' εὖγε μέντοι ἐπίσασθε, ὅτι καὶ τῶν νῦν ὑφ' ἡμῶν ἀποθανόντων οὐ μόνον

rem nos interficere vultis? Nihil nos damni vobis vnquam intulimus, ſed eorundem vobiſcum longe auguſtiſſimorum ſacrorum, victimarum, feriarum pulcherrimarum participes fuimus: eoſdem choros celebrauimus, condiſcipuli fuimus, et commilitones, et multa vobiſcum terra marique pro communi vtrorumque ſalute ac libertate, pericula adiuimus. Per Deos patrios ac maternos, per cognationem, affinitatem, ſodalitatem, quae quidem vniuerſa inter nos pleroſque communia ſunt, Deos et homines reueriti, tandem in ipſam patriam delinquendi finem facite, nec ſceleſtiſſimis Trigintauiris obtemperate, qui ſui priuati lucri gratia, prope plures Athenienſes ſuſtulerunt, octo menſium ſpatio; quam vniuerſi Peloponneſii, totos decem annos bellum adverſus nos gerentes, interfeciſſent. Quumque liceret nobis in republica pacate viuere, bellum hi longe omnium foediſſimum, grauiſſimum, maxime neſarium, denique Diis et hominibus plane deteſtandum inter nos excitarunt. Scire quidem certe debetis, nonnullos eorum, qui modo interfecti a

μόνον ὑμεῖς, ἀλλὰ καὶ ἡμεῖς ἔστιν ὃς κατεδακρύσαμεν.»

ιδ'. Ὁ μὲν τοιαῦτα ἔλεγεν. οἱ δὲ λοιποὶ ἄρχοντες καὶ διὰ τὸ τοιαῦτα προσακούειν, τὰς μεθ' ἑαυτῶν ἀπήγαγον ἐς τὸ ἄστυ. τῇ δὲ ὑστεραίᾳ οἱ μὲν τριάκοντα πάνυ δὴ ταπεινοὶ, καὶ ἔρημοι ξυνεκάθηντο ἐν τῷ ξυνεδρίῳ· τῶν δὲ τρισχιλίων ὅπῃ ἕκαστοι τεταγμένοι ἦσαν, πανταχῇ διεφέροντο πρὸς ἀλλήλους. ὅσοι μὲν γὰρ ἐπεποιήκεσάν τι βιαιότερον, καὶ ἐφοβοῦντο, ἐντόνως ἔλεγον, ὡς ἀνάγκη καθυφίεσθαι τοῖς ἐν Πειραιεῖ· ὅσοι δὲ ἐπίστευον μηδὲν ἠδικηκέναι, αὐτοί τε ἀνελογίζοντο, καὶ τοὺς ἄλλους ἐδίδασκον, ὡς οὐδὲν δέοιντο τούτων τῶν κακῶν, καὶ τοῖς τριάκοντα οὐκ ἔφασαν χρῆναι πείθεσθαι, οὐδ' ἐπιτρέπειν ἀπολλύναι τὴν πόλιν.

ιε'. Καὶ τὸ τελευταῖον, ἐψηφίσαντο ἐκείνους μὲν καταπαῦσαι, ἄλλους δὲ ἑλέσθαι. καὶ εἵλοντο δέκα, ἕνα ἀπὸ φυλῆς. καὶ οἱ μὲν τριάκοντα Ἐλευσίναδε ἀπῆλθον· οἱ δὲ δέκα; τῶν ἐν ἄστει καὶ μάλα τεταραγμένων καὶ

nobis ſunt, non tam a vobis, quam nobis ipſis deploratos eſſe.

14. Haec ille quum dixiſſet, magiſtratus caeteri etiam hanc ipſam ob cauſſam, quod verba huiuſmodi poſt cladem acceptam audirent, ſuos in vrbem abducunt. Poſtridie Trigintaviri deiectis admodum animis, ac deſerti, in concilio ſedebant; et ciues illi numero ter mille, vbicunque collocati fuerant, nuſquam non inter ſe diſſentiebant. Nam qui violentius aliquid deſignauerant, ac ſibi metuebant; enixe negabant, quidquam iis cedendum eſſe, qui eſſent in Piraeeo. Quotquot autem nihil ſe iniuſte perpetraſſe confidebant, non ſolum ſanam ad mentem redibant; ſed alios etiam docebant, nihil eſſe, quamobrem his malis premerentur. Negabant etiam Trigintauiris parendum eſſe, minimeque committendum aiebant, vt patria periret.

15. Tandem decretum, vt Trigintauiris imperium abrogaretur, et alii eorum loco legerentur. Itaque decem lecti, unus ex quauis tribu. Tunc et Trigintauiri Eleuſinem ſe recipiebant, et Decemuiri plebis vrbanae curam, omnihus

καὶ ἀπιστούντων ἀλλήλοις, ξὺν τοῖς ἱππάρχοις ἐπεμέλοντο. ἐξεκάθευδον δὲ καὶ οἱ ἱππεῖς ἐν τῷ Ωιδείῳ, τάς τε ἵππους καὶ τὰς ἀσπίδας ἔχοντες· καὶ δι' ἀπιστίαν ἐφωδεύοντο μὲν ἀφ' ἑσπέρας ξὺν ταῖς ἀσπίσι κατὰ τὰ τείχη, τὸ δὲ πρὸς ἕῤθρον, ξὺν τοῖς ἵπποις, ἀεὶ φοβούμενοι, μὴ ἐπεισπέσοιέν τινες αὐτοῖς τῶν ἐκ τῦ Πειραιέως.

ις'. Οἱ δὲ, πολλοὶ ὄντες καὶ παντοδαποὶ, ὅπλα ἐποιοῦντο, οἱ μὲν, ξύλινα, οἱ δὲ, οἰσυΐνα, καὶ ταῦτα ἐλευκοῦντο. πρὶν δὲ ἡμέρας δέκα γενέσθαι, πιστὰ δόντες, οἵτινες ξυμπολεμήσειαν, καὶ εἰ ξένοι εἶεν, ἰσοτέλειαν ἔσεσθαι, ἐξῆσαν πολλοὶ μὲν ὁπλῖται, πολλοὶ δὲ γυμνῆτες. ἐγένοντο δὲ αὐτοῖς καὶ ἱππεῖς ὡσεὶ ἑβδομήκοντα. προνομὰς δὲ ποιούμενοι, καὶ λαμβάνοντες ξύλα καὶ ὀπώραν, ἐκάθευδον πάλιν ἐν Πειραιεῖ.

ιζ'. Τῶν δ' ἐκ τοῦ ἄστεος ἄλλος μὲν οὐδεὶς ξὺν ὅπλοις ἐξῄει, οἱ δὲ ἱππεῖς ἦσιν ὅτε καὶ λῃστὰς ἐχειρώσαντο τῶν ἐκ τοῦ Πειραιῶς, καὶ τὴν φάλαγγα αὐτῶν ἐκακούργουν. περιέτυχον δὲ

bus maxime perturbatis, ac ſibi inuicem diffidentibus, vna cum equitum praefectis gerebant. Equites ipſi cum equis et ſcutis in Odeo pernoctabant. Et quia nemini fidebant, a veſpera cum ſcutis propter muros vigilias obibant: matutino autem tempore conſcendebant equos, ſemper ſolliciti, ne qui e Piraeeo ipſos inuaderent.

16. Illi contra, quod et multos, et omnis generis homines ſecum haberent, arma partim lignea, partim viminea fabricabant, eaque dealbabant. Prius vero quam dies decem praeteriiſſent, fide omnibus data, qui hoc ipſis in bello ſe vellent adiungere, promiſſaque rerum omnium aequalitate iis etiam, qui peregrini eſſent: multi tum grauis armaturae, tum expediti milites exibant. Accedebant praeterea plus minus ſeptuaginta equites. Quoties pabulatum ibant, lignis ac fructibus acceptis, rurſum in Piraeeo pernoctabant.

17. At eorum, qui erant in vrbe, armatus prodibat nemo: tantum vrbani equites interdum praedatum egreſſos e Piraeeo capiebant, et phalangem ipſorum infeſtabant. Accidit autem aliquan-

δὲ καὶ τῶν ἔξω νέων τισὶν ἐς τὰς αὐτῶν ἀγορὰς ἐπὶ τὰ ἐπιτήδεια πορευομένοις· καὶ τούτους Λυσίμαχος ὁ ἵππαρχος ἀπέσφαξε, πολλὰ λιτανεύοντας, καὶ πολλῶν χαλεπῶς φερόντων ἱππέων.

ιή. Ανταπέκτειναν δὲ καὶ οἱ ἐν Πειραιεῖ τῶν ἱππέων ἐπ' ἀγορᾷ λαβόντες Καλλίστρατον, φυλῆς Λεοντίδος. καὶ γὰρ ἤδη μέγα ἐφρόνουν, ὥστε καὶ πρὸς τὸ τεῖχος τῆς ἄσεως προσέβαλον. εἰ δὲ καὶ τοῦτο δεῖ εἰπεῖν τῆ μηχανοποιῷ τῆ ἐν τῷ ἄσει, ὃς ἐπεὶ ἔγνω, ὅτι κατὰ τὸν ἐκ Λυκείου δρόμον μέλλοιεν τὰς μηχανὰς προσάγειν, τὰ ζεύγη ἐκέλευσε πάντα ἁμαξιαίους λίθους ἄγειν, καὶ καταβάλλειν, ὅπου ἕκαστος βούλοιτο τῆ δρόμου. ὡς δὲ τοῦτο ἐγένετο, πολλὰ εἷς ἕκαστος τῶν λίθων πράγματα παρεῖχε.

ιθ'. Πεμπόντων δὲ πρέσβεις ἐς Λακεδαίμονα, τῶν μὲν τριάκοντα, ἐξ Ελευσῖνος, τῶν δ' ἐν καταλόγῳ, ἐξ ἄσεως, καὶ βοηθεῖν κελευόντων, ὡς ἀφεστηκότος τῆ

do, vt in quoſdam iuuenes, ex iis qui extra vrbem erant, et commeatus cauſſa ſuos in agros exierant, inciderent; quos Lyſimachus equitum praefectus multum deprecantes, atque etiam non paucis equitibus moleſte ferentibus, iugulauit.

18. Contra qui erant in Piraeeo, quum ex equitum numero Calliſtratum de Leontide tribu in agro cepiſſent, viciſſim occiderunt. Nam ita magnos iam gerebant animos, vt ipſum quoque murum vrbis aggrederentur. Quod ſi hoc quoque narrandum, erat in vrbe quidam machinarum artifex; qui vbi futurum intellexiſſet, vt hoſtes iuxta curriculi locum, qui ſe porrigit e Lyceo, machinas admouerent; iuſſit, vt omnibus iumentorum iugis ſaxa, quae vel ſingula plauſtris onerandis ſufficerent, comportarentur; atque in curriculo, vbicunque viſum alicui eſſet, abiicerentur. Id vbi fieret, ſaxum quodlibet multum negotii exhibebat.

19. Quum autem legati Lacedaemonem mitterentur a Trigintauiris, Eleuſine; ab aliis, qui erant in catalogo, ex vrbe; qui Lacedaemonios ad ferendum ſuppetias hortarentur,

τῷ δήμῳ ἀπὸ Λακεδαιμονίων, Λύσανδρος λογισάμενος, ὅτι οἷόν τε εἴη ταχὺ ἐκπολιορκῆσαι τὰς ἐν τῷ Πειραιεῖ κατά τε γῆν καὶ κατὰ θάλατταν, εἰ τῶν ἐπιτηδείων ἀποκλεισθείησαν, ξυνέπραξεν ἑκατόν τε τάλαντα αὐτοῖς δανεισθῆναι, καὶ αὐτὸν μὲν, κατὰ γῆν ἀρμοστὴν, Λίβυν δὲ τὸν ἀδελφὸν, ναυαρχοῦντα ἐκπεμφθῆναι. καὶ ἐξελθὼν αὐτὸς μὲν Ελευσίναδε, ξυνέλεγεν ὁπλίτας πολλοὺς Πελοποννησίων· ὁ δὲ ναύαρχος κατὰ θάλατταν ἐφύλαττεν, ὅπως μηδὲν ἐσπλέοι αὐτοῖς τῶν ἐπιτηδείων· ὥστε ταχὺ πάλιν ἐν ἀπορίᾳ ἦσαν οἱ ἐν Πειραιεῖ, οἱ δ' ἐν τῷ ἄστει πάλιν αὖ μέγα ἐφρόνουν ἐπὶ τῷ Λυσάνδρῳ.

κ'. Οὕτω δὲ προχωρούντων, Παυσανίας ὁ βασιλεὺς φθονήσας Λυσάνδρῳ, εἰ κατειργασμένος ταῦτα ἅμα μὲν εὐδοκιμήσοι, ἅμα δὲ ἰδίας ποιήσαιτο τὰς Αθήνας, πείσας τῶν Εφόρων τρεῖς, ἐξάγει στρατιάν. ξυνείποντο δὲ καὶ οἱ ξύμμαχοι πάντες, πλὴν Βοιωτῶν καὶ Κορινθίων. οὗτοι δ' ἔλεγον μὲν, ὅτι οὐ νομίζοιεν εὐορκεῖν ἂν στρατευόμενοι ἐπ' Αθηναίους,

tarentur, quaſi iam populus a Lacedaemoniis defeciſſet; Lyſander ſecum ipſe cogitans, fieri poſſe, vt, qui erant in Piraeeo, terra et mari celeriter expugnarentur, ſi commeatu prohibiti fuiſſent, impetrat a ſuis, vt talenta centum illis mutuo darentur, et vt ipſe copiarum terreſtrium praetor, Libys frater praefectus claſſis ad hoc bellum ablegaretur. Ipſe profectus Eleuſinem verſus, Peloponneſios multos cogebat: claſſis vero praefectus in mari obſeruabat, ne quid commeatus ad hoſtes nauigiis importaretur. Quo factum, vt rurſus breui momento magna rerum eſſet apud illos difficultas, qui erant in Piraceo: vrbani contra propter Lyſandrum animos ſumerent.

20. Quum hic rerum ſucceſſus eſſet, rex Pauſanias, qui Lyſandro inuideret, quod partim re bene geſta gloriam conſequuturus eſſet, partim Athenas ſuas effecturus; tribus Ephoris in ſententiam ſuam traductis, praeſidiarios educit. Enm ſocii vniuerſi ſequebantur, Boeotis et Corinthiis exceptis. Nam illi ſe aiebant exiſtimare, contra iurisiurandi religionem futurum, ſi aduerſus Athenienſes bellum

Αθηναίους, μηδὲν παράσπονδον ποιοῦντας. ἔπραττον δὲ ταῦτα, ὅτι ἐγίγνωσκον Λακεδαιμονίους βουλομένους τὴν τῶν Αθηναίων χώραν οἰκείαν καὶ πιστὴν ποιήσασθαι.

κά. Ο δὲ Παυσανίας ἐστρατοπεδεύσατο μὲν ἐν τῷ Αλιπέδῳ καλουμένῳ, πρὸς τῷ Πειραιεῖ, δεξιὸν ἔχων κέρας, Λύσανδρος δὲ ξὺν τοῖς μισθοφόροις, τὸ εὐώνυμον. πέμπων δὲ πρέσβεις ὁ Παυσανίας πρὸς τοὺς ἐν Πειραιεῖ, ἐκέλευεν ἀπιέναι ἐπὶ τὰ ἑαυτῶν. ἐπεὶ δ' οὐκ ἐπείθοντο, προσέβαλλεν ὅσον ἄρα βοῆς ἕνεκεν, ὅπως μὴ δῆλος εἴη εὐμενὴς αὐτοῖς ὤν.

κβ'. Επεὶ δ' ἐδόκει ἀπὸ τῆς προσβολῆς πράξας ἀπῆλθε, τῇ ὑστεραίᾳ λαβὼν τῶν μὲν Λακεδαιμονίων δύο μόρας, τῶν δὲ Αθηναίων ἱππέων τρεῖς φυλὰς, παρῆλθεν ἐπὶ τὸν κωφὸν λιμένα, σκοπῶν πῇ εὐαποτείχιστος εἴη ὁ Πειραιεύς. ἐπεὶ δὲ ἀπιόντος αὐτοῦ προσέθεόν τινες, καὶ πράγματα αὐτῷ παρεῖχον, ἀχθεσθεὶς παρήγγειλε τοὺς μὲν ἱππέας ἐλαύνειν ἐς αὐτοὺς ἀνέντας, καὶ τοὺς τὰ δέκα ἀφ' ἥβης ξυνέπεσθαι·

fuſciperent, qui contra formulam foederis nihil admiſiſſent. Atque hoc propterea faciebant, quod putarent, velle Lacedaemonios agrum Athenienſem ſuam in poteſtatem et obedientiam redigere.

21. Habebat caſtra Pauſanias in loco, cui nomen Halipedi, non procul a Piraeeo, ac dextrum cornu ipſe obtinebat: Lyſander cum ſtipendiariis copiis laeuum. Quumque Pauſanias ad obſeſſos mitteret, qui eos ad ſua diſcedere iuberent, atque illi non parerent; militem muris admovit rumoris cauſſa, ne palam fieret, ipſum obſeſſis fauere.

22. Poſteaquam ab hac oppugnatione, nulla re effecta, diſceſſiſſet, poſtridie ſumtis ſecum duabus Lacedaemoniorum cohortibus, et turmis equitum Athienienſium tribus, ad portum Mutum ſe confert, vt, quo loco Piraeeus munitione obuallari commode poſſet, conſideraret. Hinc eo diſcedente, quia nonnulli accurrebant, et negotium ipſi faceſſebant: commotus imper[illegible] vt equites pleno curſu in eos impetum facerent, quibus ſe illi adiungerent, quotquot annis decem pubertatem exceſſiſſent: cum reliquis

ἑπεσθαι· ξὺν δὲ τοῖς ἄλλοις αὐτὸς ἐπηκολούθει. καὶ ἀπέκλεισαν μὲν ἐγγὺς τριάκοντα τῶν ψιλῶν, τοὺς δ' ἄλλους κατεδίωξαν πρὸς τὸ ἐν Πειραιεῖ θέατρον.

κγ'. Ἐκεῖ δὲ ἔτυχον ἐξοπλιζόμενοι οἵ τε πελτασταὶ πάντες, καὶ οἱ ὁπλῖται τῶν ἐκ Πειραιέως. καὶ οἱ μὲν ψιλοὶ εὐθὺς ἐκδραμόντες ἠκόντιζον, ἔβαλλον, ἐτόξευον, ἐσφενδόνων· οἱ δὲ Λακεδαιμόνιοι, ἐπεὶ αὐτῶν πολλοὶ ἐτιτρώσκοντο, μάλα πιεζόμενοι, ἀνεχώρησαν ἐπὶ πόδα· οἱ δ' ἐν τούτῳ πολὺ μᾶλλον ἐπέκειντο. ἐνταῦθα δὲ ἀποθνήσκει Χαίρων τε καὶ Θίβραχος, ἄμφω πολεμάρχω, καὶ Λακράτης ὁ ὀλυμπιονίκης, καὶ ἄλλοι οἱ τεθαμμένοι Λακεδαιμονίων πρὸ τῶν πυλῶν ἐν Κεραμεικῷ.

κδ'. Ὁρῶν δὲ ταῦτα ὁ Θρασύβυλος καὶ οἱ ἄλλοι ὁπλῖται, ἐβοήθουν· καὶ ταχὺ παρετάξαντο πρὸ τῶν ἄλλων ἐπ' ὀκτώ. ὁ δὲ Παυσανίας, μάλα πιεσθεὶς, καὶ ἀναχωρήσας ὅσον στάδια τέτταρα ἢ πέντε πρὸς λόφον τινά, παρήγγειλε τοῖς Λακεδαιμονίοις, καὶ τοῖς ἄλλοις ξυμμάχοις

reliquis ipſe ſubſequebatur. Ab his prope triginta velites ſunt occiſi, reliqui terga dabant, quos Pauſaniae milites ad Theatrum vſque, quod eſt in Piraeeo, perſequuti ſunt.

23. Ibi ſe tum forte cetrati omnes, ac grauis armaturae pedites eorum, qui erant in Piraeeo, armabant: ſtatimque velites, facta excurſione, iacula vibrabant, feriebant, ſagittis et fundis vtebantur. Lacedaemonii, quorum permulti vulnerabantur, grauiter preſſi pedem paullatim referebant. Tum illi multo magis eos vrgere: quo quidem factum, vt iſtic occumberent Chaeron et Thibrachus, ambo Polemarchi, cum Lacrate certaminis Olympici victore, atque aliis Lacedaemoniis, qui ante portas in Ceramico ſepulti ſunt.

24. Haec quum Thraſybulus, aliique grauis armaturae milites cernerent; ſuis opem ferebant, et celeriter ante alios aciem in octonos inſtruebant. Pauſanias quum admodum vrgeretur, ac ſtadia quatuor aut quinque verſus tumulum quendam ceſſiſſet; Lacedaemoniis reliquiſque ſociis mandat, vt ad ſe concederent. Atque

χοις ἐπιχωρεῖν πρὸς ἑαυτόν. ἐκεῖ δὲ ξυνταξάμενος βαθεῖαν παντελῶς τὴν φάλαγγα, ἦγεν ἐπὶ τοὺς Αθηναίους. οἱ δ' ἐς χεῖρας μὲν ἐδέξαντο, ἔπειτα δὲ οἱ μὲν ἐξεώθησαν ἐς τὸν ἐν ταῖς Αλαῖς πηλὸν, οἱ δὲ ἐνέκλιναν· καὶ ἀποθνήσκουσιν αὐτῶν ὡς πεντήκοντα καὶ ἑκατόν.

κέ. Ο δὲ Παυσανίας τρόπαιον στησάμενος, ἀνεχώρησε· καὶ ὐδὲ ὡς ὠργίζετο αὐτοῖς, ἀλλὰ λάθρα πέμπων, ἐδίδασκε τοὺς ἐν Πειραιεῖ, οἷα χρὴ λέγοντας πρέσβεις πέμπειν πρὸς ἑαυτὸν καὶ τοὺς παρόντας Εφόρους. οἱ δ' ἐπείθοντο. διίστησι δὲ καὶ τοὺς ἐν τῷ ἄστει· καὶ ἐκέλευε πρὸς σφᾶς προσιέναι ὡς πλείστους ξυλλεγομένους, λέγοντας, ὅτι ὐδὲν δέονται τοῖς ἐν τῷ Πειραιεῖ πολεμεῖν, ἀλλὰ διαλυθέντες, κοινῇ ἀμφότεροι Λακεδαιμονίοις φίλοι εἶναι.

κϛ'. Ηδέως ταῦτα καὶ Ναυκλείδας Εφορος ὢν ξυνήκουεν. ὥσπερ γὰρ νομίζεται ξὺν βασιλεῖ δύο τῶν Εφόρων συστρατεύεσθαι, καὶ τότε παρῆν ὅτός τε καὶ ἄλλος, ἀμφότεροι τῆς μετὰ Παυσανίου γνώμης ὄντες μᾶλλον, ἢ τῆς μετὰ Λυσάνδρου.

heic phalange inſtructa, eaque perquam denſa, aduerſus Athenienſes ducit. Excipiunt illi primo Lacedaemonios comminus, deinde partim in lutum, quod eſt propter Halas, protruduntur; partim fugam arripiunt. Interfecti ex eis plus minus CL.

25. Pauſanias, excitato tropaeo, diſceſſit, ac ne tum quidem offenſus, clam ad ipſos mittit, qui Piraeenſes docerent, quibus cum mandatis ad ſe, atque ad Ephoros praeſentes, mittere legatos deberent. Parent illi Pauſaniae, qui quidem et vrbanos a ſe inuicem dirimit, eiſque mandat, vt collecti quamplurimi ſe atque Ephoros adirent, ac nihil eſſe cauſſae dicerent, quamobrem Piraeenſes oppugnarent. Malle ſe, vt, pace facta, pariter vtrique Lacedaemoniis amici ſint.

26. Erant haec etiam Nauclidae Ephoro perquam auditu iucunda. Nam vti poſitum eſt in more atque inſtituto Lacedaemoniorum, Ephoros regi duos in expeditionibus adiungi; ita tum quoque Nauclidas, et alius quidam, aderant; quorum vterque magis Pauſaniae, quam Lyſandro aſſentiebatur.

Λυσάνδρῳ. διὰ ταῦτα ἦν καὶ ἐς τὴν Λακεδαίμονα προθύμως ἔπεμπον τάς τ' ἐκ Πειραιέως, ἔχοντας τὰς πρὸς Λακεδαιμονίους σπονδὰς, καὶ τὰς ἀπὸ τῶν ἐν τῷ ἄστει ἰδιώτας, καὶ Κηφισοφῶντά τε καὶ Μέλιτον.

κζ'. Ἐπεὶ μέντοι ἅπαντες ἦλθον ἐς Λακεδαίμονα, ἔπεμπον δὴ καὶ οἱ ἀπὸ τοῦ κοινοῦ ἐκ τοῦ ἄστεως, λέγοντας, ὅτι αὐτοὶ μὲν παραδιδόασι καὶ τὰ τείχη, ἃ ἔχουσι, καὶ σφᾶς αὐτοὺς Λακεδαιμονίοις, χρῆσθαί ὅ, τι βούλονται. ἀξιοῦν δ' ἔφασαν καὶ τοὺς ἐν Πειραιεῖ, εἰ φίλοι φασὶν εἶναι Λακεδαιμονίοις, παραδιδόναι τόν τε Πειραιᾶ καὶ τὴν Μουνυχίαν.

κη'. Ἀκούσαντες δὲ πάντων αὐτῶν οἱ Ἔφοροι καὶ οἱ ἔκκλητοι, ἐξέπεμψαν πεντεκαίδεκα ἄνδρας ἐς τὰς Ἀθήνας, καὶ ἐπέταξαν ξὺν Παυσανίᾳ διαλλάξαι, ὅπη δύναιντο κάλλιστα. οἱ δὲ διήλλαξαν, ἐφ' ᾧ τε εἰρήνην μὲν ἔχειν ὡς πρὸς ἀλλήλους, ἀπιέναι δὲ ἐπὶ τὰ ἑαυτῶν ἑκάστους, πλὴν τῶν τριάκοντα, καὶ τῶν ἕνδεκα, καὶ τῶν ἐν τῷ Πειραιεῖ ἀρξάντων δέκα. εἰ δέ τινες φοβοῖντο τῶν ἐξ ἄστεως,

tiebatur. Quapropter cupide Lacedaemonem, non ſolum miſſos e Piraeeo nuntios, qui ſecum foederis ineundi cum Lacedaemoniis formulam ferrent; verum etiam nonnullos ex vrbe priuatos homines, vna cum Cephiſophonte ac Melito, ablegant.

27. Hi poſteaquam Lacedaemonem abire coepiſſent, etiam publico nomine miſſi ſunt ex vrbe, qui dicerent; ſe et muros ſuos, et ſeipſos Lacedaemoniorum arbitrio permiſiſſe: ac propterea aequum cenſere, vt etiam illi, qui ſe in Piraeeo continerent, ſi quidem Lacedaemoniis amicos ſe profiterentur, Piraeei ac Munychiae deditionem facerent.

28. Quum auditi ab Ephoris et euocatis omnes eſſent, miſſi ſunt Athenas viri quindecim; eiſque mandatum, vt vna cum Pauſania, quam poſſent aequiſſime, rem componerent. Facta conditionibus huiuſmodi tranſactio, vt pacem inter ſe mutuo colerent, et ſinguli ad ſua ſe conferrent, exceptis Triginrauiris, et Vndecimuiris, et Decemviris, qui imperium in Piraeeo obtinuiſſent. Quod ſi qui ciues vrbani ſibi metue-

ἄστεος, ἔδοξεν αὐτοῖς Ελευσῖνα κατοικεῖν. τούτων δὲ περαιωθέντων, Παυσανίας μὲν διῆκε τὸ στράτευμα· οἱ δὲ ἐκ τοῦ Πειραιέως, ἀνελθόντες ξὺν τοῖς ὅπλοις ἐς τὴν ἀκρόπολιν, ἔθυσαν τῇ Αθηνᾷ. ἐπεὶ δὲ κατέβησαν οἱ στρατηγοὶ, ἔνθα δὴ ὁ Θρασύβουλος ἔλεξεν·

κθ'. "Υμῖν, ἔφη, ὦ ἐκ τοῦ ἄστεος ἄνδρες, ξυμβουλεύω ἐγὼ γνῶναι ὑμᾶς αὐτούς. μάλιστα δ' ἂν γνοίητε, εἰ ἀναλογίσαισθε, ἐπὶ τίνι ὑμῖν μέγα φρονητέον ἐστὶν, ὥστε ἡμῶν ἄρχειν ἐπιχειρεῖν. πότερον δικαιότεροι ἐστέ; ἀλλ' ὁ μὲν δῆμος, πενέστερος ὑμῶν ὤν, οὐδὲν πώποτε ἕνεκα χρημάτων ὑμᾶς ἠδίκησεν. ὑμεῖς δὲ, πλουσιώτεροι πάντων ὄντες, πολλὰ καὶ αἰσχρὰ ἕνεκα κερδέων πεποιήκατε. ἐπεὶ δὲ δικαιοσύνης οὐδὲν ὑμῖν προσήκει, σκέψασθε, εἰ ἄρα ἐπ' ἀνδρείᾳ ὑμῖν μέγα φρονητέον. καὶ τίς ἂν καλλίων κρίσις τούτου γένοιτο, ἢ ὡς ἐπολεμήσαμεν πρὸς ἀλλήλους; ἀλλὰ γνώμη φαίητ' ἂν προέχειν, οἳ ἔχοντες καὶ τεῖχος, καὶ ὅπλα, καὶ χρήματα, καὶ ξυμμάχους Πελοποννησίους, ὑπὸ τῶν οὐδὲν τούτων

rent, iis esse migrandum Eleusinem statuunt. His ita transactis, Pausanias ad suos exercitum traducit. At vero qui erant in Piraeeo, cum armis in arcem ascendentes, Mineruae sacrum faciunt. Post, vbi duces descendissent, Thrasybulus hac oratione vsus est:

29. Equidem vobis, ciues in vrbe qui mansistis, hoc do consilii; vt vosmetipsos noscatis. Egregie vero vosmet noscetis, si vobiscum ipsis perpendere volueritis; quamobrem tanti vobis animi gerendi sint, vt in nos imperium ipsi vsurpetis. An iustiores nobis estis? At qui populus longe, quam vos, pauperior, opum caussa nihil in vos vnquam iniqui designavit: quum vos ditissimi omnium, multa, eaque foeda, lucri caussa perpetraueritis. Iam quum nomine iustitiae, quamobrem vosmet efferatis, caussa nulla sit; considereretis velim, sintne propter fortitudinem vobis sumendi animi. At quinam de hoc fieri iudicium rectius posset, quam ex eo, quod inter nos gestum est, bello? Num consilio praestare vos dicetis, quum instructi a muris, armis, opibus, Peloponnesiis etiam societate deuincti, nihilominus

τούτων ἐχόντων* ἐς τοῦτο περιελήλυθατε; ἀλλ' ἐπὶ Λακεδαιμονίοις δὴ οἴεσθε μέγα φρονητέον εἶναι; πῶς; οἵ γε ὥσπερ τοὺς δάκνοντας κύνας κλοιῷ δήσαντες παραδιδόασιν, ὕτω κἀκεῖνοι ὑμᾶς παραδόντες τῷ ἠδικημένῳ τούτῳ δήμῳ, οἴχονται ἀπιόντες. ὑ μέντοι γε ὑμᾶς, ὦ ἄνδρες, ἀξιῶ ἐγὼ ὧν ὁμωμόκατε παραβῆναι ὑδὲν, ἀλλὰ καὶ τοῦτο πρὸς τοῖς ἄλλοις καλοῖς ἐπιδείξαι, ὅτι καὶ εὔορκοι καὶ ὅσιοι ἐστέ.„

λ'. Εἰπὼν δὲ ταῦτα καὶ ἄλλα τοιαῦτα, καὶ ὅτι ὑδὲν δέοι ταράττεσθαι, ἀλλὰ τοῖς νόμοις τοῖς ἀρχαίοις χρῆσθαι, ἀνέσησε τὴν ἐκκλησίαν, καὶ τότε μὲν ἀρχὰς καταστησάμενοι, ἐπολιτεύοντο. ὑστέρῳ δὲ χρόνῳ ἀκούσαντες ξένους μισθοῦσθαι τοὺς ἐν Ελευσῖνι, στρατευσάμενοι παυδημεὶ ἐπ' αὐτοὺς, τοὺς μὲν στρατηγοὺς αὐτῶν ἐς λόγους ἐλθόντας ἀπέκτειναν, τοῖς δὲ ἄλλοις ἐσπέμψαντες τοὺς φίλους καὶ ἀναγκαίους, ἔπεισαν

minus per eos ad hunc ſtatum rerum veſtrarum peruueneritis, qui ab his omnibus imparati erant? Num Lacedaemoniis fretos efferri vos animis aequum putatis? At quomodo? quum vos illi, quemadmodum ſolent, qui canes mordaces numella conſtrictos admorſis tradunt, huic populo tradiderint, quem vos iniuriis aſſeciſtis, ac deinde diſcedentes nuſquam appareant. Enimuero nolim vos, ciues, quidquam eorum violare, quae ſacramento ſunt confirmata: ſed auctor ſum, vt praeter reliqua decora veſtra demonſtretis, etiam praeſtiti iurisiurandi, ac pietatis laudem vobis deberi.

30. His atque aliis talibus in medium prolatis, nimirum non eſſe, cur perturbentur, ſed priſcis tantum legibus viuendum eſſe: concionem dimiſit. Ac tum quidem creatis magiſtratibus, rempublicam adminiſtrabant. Caeterum aliquanto poſt, quum ab iis, qui Eleuſine agebant, externum militem ſtipendio conduci accepiſſent; ſuſcepta totius concurſu populi aduerſus eos expeditione, duces ipſorum in colloquium venientes interfecerunt: miſſiſque amicis ac ne-

* Al. ἐχόντων περιελήλυθατε.

ἔπεισαν ξυναλλαγῆναι· καὶ ὀμόσαντες ὅρκους ἢ μὴν μὴ μνησικακήσειν, ἔτι καὶ νῦν ὁμῷ γε πολιτεύονται, καὶ τοῖς ὅρκοις ἐμμένει ὁ δῆμος.

ΞΕΝΟ-

neceſſariis ad reliquos, vti ſecum in gratiam redirent, perſuaſerunt. Quumque ſacramenta ſancte praeſtitiſſent, iniuriarum ſe nequaquam fore memores; etiam adhuc populo iis inhaerente, quae tunc iureiurando ſancita ſunt, in eadem coniuncti republica viuunt.

ΞΕΝΟΦΩΝΤΟΣ

ΕΛΛΗΝΙΚΩΝ ΙΣΤΟΡΙΩΝ

ΒΙΒΛΙΟΝ ΤΡΙΤΟΝ.

ΚΕΦ. α'.

Ἡ μὲν δὴ Ἀθήνησι στάσις ὧδε ἐτελεύτησεν. ἐκ δὲ τούτου πέμψας Κῦρος ἀγγέλους εἰς Λακεδαίμονα, ἠξίου, οἵους περ αὐτὸς Λακεδαιμονίοις ἦν ἐν τῷ πρὸς Ἀθηναίους πολέμῳ, τοιούτους καὶ Λακεδαιμονίους αὐτῷ γίγνεσθαι. οἱ δ' Ἔφοροι, δίκαια νομίσαντες λέγειν αὐτὸν, Σαμίῳ τῷ τότε ναυάρχῳ ἐπέστειλαν ὑπηρετεῖν Κύρῳ, εἴ τι δέοιτο. κἀκεῖνος μέντοι προθύμως, ὅπερ ἐδεήθη ὁ Κῦρος, ἔπραξεν. ἔχων γὰρ τὸ ἑαυτῶ ναυτικὸν

XENOPHONTIS

HISTORIARVM GRAECARVM

LIBER TERTIVS.

CAP. I.

Hic ſeditionis Athenienſis exitus fuit. Secundum ea miſſis Cyrus Lacedaemonem nuntiis, petebat; vt Lacedaemonii non aliter ſe erga ipſum gererent, atque ipſe in bello aduerſus Athenienſes ſe geſſiſſet. Haec poſtulata quod aequa cenſerent Ephori, Samio claſſis praefecto denuntiant, vt, vbicunque requireretur ipſius opera, Cyro eam deeſſe ne pateretur. Atque is perlubenter, quidquid Cyrus peteret, faciebat. Nam cum

τικὸν σὺν τῷ Κύρῳ, περιέπλευσεν ἐς Κιλικίαν, καὶ ἐποίησε τὸν τῆς Κιλικίας ἄρχοντα Συέννεσιν μὴ δύνασθαι κατὰ γῆν ἐναντιοῦσθαι Κύρῳ πορευομένῳ ἐπὶ βασιλέα. ὡς μὲν οὖν Κῦρος στράτευμά τε συνέλεξε, καὶ τοῦτ' ἔχων ἀνέβη ἐπὶ τὸν ἀδελφὸν, καὶ ὡς ἡ μάχη ἐγένετο, καὶ ὡς ἀπέθανε, καὶ ὡς ἐκ τούτου ἀπεσώθησαν οἱ Ἕλληνες ἐπὶ θάλατταν, Θεμιστογένει τῷ Συρακουσίῳ γέγραπται.

β'. Ἐπεὶ μέντοι Τισσαφέρνης, πολλοῦ ἄξιος βασιλεῖ δόξας γεγενῆσθαι ἐν τῷ πρὸς τὸν ἀδελφὸν πολέμῳ, σατράπης κατεπέμφθη ὧν τε αὐτὸς πρόσθεν ἦρχε, καὶ ὧν Κῦρος· εὐθὺς ἠξίου τὰς Ἰωνικὰς πόλεις ἁπάσας ἑαυτῷ ὑπηκόους εἶναι. αἱ δὲ, ἅμα μὲν ἐλεύθεραι βουλόμεναι εἶναι, ἅμα δὲ φοβούμεναι τὸν Τισσαφέρνην, ὅτι Κῦρον, ὅτ' ἔζη, ἀντ' ἐκείνου ἠρημέναι ἦσαν, ἐς μὲν τὰς πόλεις οὐκ ἐδέχοντο αὐτόν· ἐς Λακεδαίμονα δὲ πέμπουσι πρέσβεις, καὶ ἠξίουν, ἐπεὶ πάσης τῆς Ἑλλάδος προστάται εἰσὶν, ἐπιμεληθῆναι καὶ σφῶν τῶν ἐν τῇ Ἀσίᾳ Ἑλλήνων, ὅπως ἥ τε

cum ſuis Cyrique naualibus copiis in Ciliciam circumuectus, perfecit; vt Syenneſis, qui cum imperio Ciliciam obtinebat, impedire Cyrum terra non poſſet, quum aduerſus regem is pergeret. Caeterum quo pacto copias Cyrus collegerit, et cum eis aduerſus fratrem aſcenderit: tum qui pugna commiſſa fuerit, perierit ipſe, Graeci deinde ſalui ad mare peruenerint: Themiſtogenes Syracuſanus memoriae prodidit.

2. Poſt vbi Tiſſaphernes, qui viſus eſſet regi plurimum in gerendo aduerſus fratrem bello profuiſſe, non ſolum eius, quam ipſe prius obtinuiſſet, verum etiam Cyri ditionis ſatrapa factus eſſet: mox ciuitates Ionicas omnes imperio ſuo parere volebat. Illae vero, quod partim in libertatem ſe vindicare cuperent, partim Tiſſaphernem metuerent, quia Cyrum, dum is adhuc eſſet in vivis, Tiſſapherni praetulerant: nequaquam eum in vrbes ſuas admittebant, ſed miſſis Lacedaemonem legatis petebant, vt quando totius ipſi Graeciae praeſides ac duces eſſent; ſe, natione Graecos, habitantes in Aſia, non negligerent; ſed darent

ἥ τε χώρα μὴ δηοῖτο αὐτῶν, καὶ αὐτοὶ ἐλεύθεροι εἶεν.

γ'. Οἱ ἂν Λακεδαιμόνιοι πέμπουσιν αὐτοῖς Θίμβρωνα ἁρμοστὴν, δόντες στρατιώτας τῶν μὲν νεοδαμωδῶν ἐς χιλίους, τῶν δὲ ἄλλων Πελοποννησίων ἐς τετρακισχιλίους. ἠτήσατο δὲ ὁ Θίμβρων καὶ παρ' Ἀθηναίων τριακοσίους ἱππέας, εἰπὼν ὅτι αὐτὸς μισθὸν παρέξει. οἱ δ' ἔπεμψαν τῶν ἐπὶ τῶν τριάκοντα ἱππευσάντων, νομίζοντες κέρδος τῷ δήμῳ, εἰ ἀποδημοῖεν, καὶ ἐναπόλοιντο. ἐπεὶ δ' ἐς τὴν Ασίαν ἀφίκοντο, συνήγαγε μὲν στρατιώτας καὶ ἐκ τῶν ἐν τῇ ἠπείρῳ Ελληνίδων πόλεων. πᾶσαι γὰρ τότε αἱ πόλεις ἐπείθοντο, ὅ, τι Λακεδαιμόνιος ἀνὴρ ἐπιτάττοι.

δ'. Καὶ σὺν μὲν ταύτῃ τῇ στρατιᾷ ὁρῶν Θίμβρων τὸ ἱππικὸν, ἐς τὸ πεδίον οὐ κατέβαινεν· ἠγάπα δὲ εἰ, ὅπως τυγχάνοι ὢν, δύναιτο ταύτην τὴν χώραν ἀδήωτον διαφυλάττειν. ἐπεὶ δὲ σωθέντες οἱ ἀναβάντες μετὰ Κύρου συνέμιξαν αὐτῷ, ἐκ τούτου ἤδη καὶ ἐν τοῖς πεδίοις ἀντε-

rent operam, vt ipſorum ager a populationibus immunis eſſet, atque ipſi libertate fruerentur.

3. Lacedaemonii Thimbronem praefectum ad eos cum copiis mittunt, nimirum ex nouorum popularium numero CIↃ, ex reliquis Peloponneſiis plus minus IIIICIↃ. Praeter hos ab Athenienſibus Thimbron CCC equites poſtulauit, quibus ipſe ſtipendium ſe numeraturum aiebat. Mittunt illi equitatum, quo Trigintauiri vſi fuerant. Arbitrabantur enim, populo expedire; ſi peregre illi profecti, perirent. Poſteaquam perventum in Aſiam eſſet, militem alium quoque de iis Graeci nominis vrbibus colligebat, quae erant in Aſiae continente terra ſitae. Nam parebant tunc vrbes vniuerſae in iis, quae Lacedaemonius aliquis imperaſſet.

4. Cum his copiis Thymbron in planiciem non deſcendebat, quod ad hoſtium equitatum reſpiceret: ſatis eſſe ſibi ducens, ſi populationes iis in regionibus prohibere poſſet, in quibus ipſe degeret. Verum poſtea quam eae copiae, quae Cyro militauerant, reuerſae ad ſuos incolumes cum Thimbronis ſe copiis coniunxiſſent: tum deinde adverſus

ἀντετάττετο τῷ Τισσαφέρνει· καὶ πόλεις, Πέργαμον μὲν ἐκοῦσαν προσέλαβε, καὶ Τευθρανίαν, καὶ * Ἀλισαρνίαν· ὧν Εὐρυσθένης τε καὶ Προκλῆς ἦρχον, οἱ ἀπὸ Δημαράτου τοῦ Λακεδαιμονίου. ἐκείνῳ δὲ αὕτη ἡ χώρα δῶρον ἐκ βασιλέως ἐδόθη, ἀντὶ τῆς ἐπὶ τὴν Ἑλλάδα συστρατείας. προσεχώρησαν δ' αὐτῷ καὶ Γοργίων καὶ Γογγύλος, ἀδελφοὶ ὄντες, ἔχοντες, ὁ μὲν, Γάμβριον καὶ Παλαιγάμβριον, ὁ δὲ, Μυρίναν καὶ Γρύνιον. δῶρον δὲ καὶ αὗται αἱ πόλεις ἦσαν παρὰ βασιλέως Γογγύλῳ, ὅτι μόνος Ἐρετριέων μηδίσας ἔφυγεν.

ε'. Ἦν δὲ ὰς ἀσθενεῖς ὄσας καὶ κατὰ κράτος ὁ Θίμβρων ἑλάμβανε. Λάρισσαν γεμὴν τὴν Αἰγυπτίαν καλουμένην, ἐπεὶ οὐκ ἐπείθετο, περισρατοπεδευσάμενος ἐπολιόρκει. ἐπεὶ δὲ ἄλλως οὐκ ἐδύνατο ἑλεῖν, φρεατίαν τεμόμενος, ὑπόνομον ὤρυττεν, ὡς ἀφαιρησόμενος τὸ ὕδωρ αὐτῶν. ὡς δ' ἐκ τοῦ τείχους ἐκθέοντες πολλάκις ἐνέβαλλον ἐς τὸ ὄρυγμα καὶ ξύλα καὶ λίθους, ποιησάμενος αὖ χελώνην ξυλίνην,

versus Tissaphernem etiam in planicie struebat aciem, oppidaque partim sponte dedita, suam in potestatem accepit, nimirum Pergamum, itemque Teuthraniam, et Halisarniam, quibus Eurysthenes ac Procles, orti a Demarato Lacedaemonio, cum potestate praeerant. Is a rege dono datam sibi regionem hanc acceperat, quod signa regis aduersus Graeciam sequutus fuisset. Etiam Gorgion et Gongylus, fratres, ad ipsius partes transiuere; quorum alter Gambrium cum Palaegambrio, Myrinam et Grynium alter possidebat. Haec quoque oppida Gongylo a rege donata fuerant, quod is solus ex Eretriensibus exulauerat, quia Medorum partes sequutus esset.

5. Nonnulla oppida Thimbron non satis munita vi cepit. Larissam quidem certe, quam vocant Aegyptiam, imperata facere detrectantem, castris circum eam locatis obsedit. Quumque capi alia ratione non posset, vt puteum auerteret, cuniculum agebat, aquam oppidanis ademturus. At vero quum illi, extra muros eruptione facta, saepenumero ligna et lapides in fossam coniecissent: testudinem ligneam

* Al. Ἐλισάρνην.

ξυλίνην, ἐπέσησεν ἐπὶ τῇ Φρεατίᾳ. καὶ ταύτην μέντοι ἐκδραμόντες οἱ Λαρισσαῖοι νύκτωρ κατέκαυσαν. δοκοῦντος δ' αὐτῷ ἄδεν ποιεῖν, πέμπουσιν οἱ Ἔφοροι, ἀπολιπόντα Λάρισσαν στρατεύεσθαι ἐπὶ Καρίαν.

ς'. Ἐν Ἐφέσῳ δὲ ἤδη ὄντος αὐτοῦ, ὡς ἐπὶ Καρίαν πορευομένῳ, Δερκυλλίδας ἄρξων ἀφίκετο ἐπὶ τὸ στράτευμα, ἀνὴρ δοκῶν εἶναι μάλα μηχανικὸς, καὶ ἐπεκαλεῖτο δὲ Σίσυφος. ὁ μὲν οὖν Θίμβρων ἀπῆλθεν οἴκαδε, καὶ ζημιωθεὶς ἔφυγε. κατηγόρουν γὰρ αὐτοῦ οἱ σύμμαχοι, ὡς ἐφίει ἁρπάζειν τῷ στρατεύματι τοὺς φίλους.

ζ'. Ὁ δὲ Δερκυλλίδας, ἐπεὶ παρέλαβε τὸ στράτευμα, γνοὺς ὑποπτους ὄντας ἀλλήλοις τὸν Τισσαφέρνην καὶ τὸν Φαρνάβαζον, κοινολογησάμενος τῷ Τισσαφέρνει, ἀπήγαγεν ἐς τὴν Φαρναβάζου χώραν τὸ στράτευμα, ἑλόμενος θατέρῳ μᾶλλον, ἢ ἅμα ἀμφοτέροις πολεμεῖν. ἦν δὲ καὶ πρόσθεν ὁ Δερκυλλίδας πολέμιος τῷ Φαρναβάζῳ. ἀρμοστὴς γὰρ γενόμενος ἐν Ἀβύδῳ ἐπὶ Λυσάνδρου ναυαρχοῦντος,

ligneam ſupra foſſam ſtatuit. Hanc quoque Lariſſaei noctu excurrentes incendunt. Itaque quum nihil agere videretur, mittunt ad eum Ephori, qui denuntiarent, vt, relicta Lariſſa, in Cariam militem transferret.

6. Erat iam Epheſi, profecturus in Cariam, quum Dercyllidas ad exercitum venit, qui Thimbroni in imperio ſuccederet. Exiſtimabatur is vir eſſe ingenio maxime ſolerti, eaque de cauſſa Siſyphi cognomentum habebat. Quamobrem domum Thimbron revertitur, ac damnatus exulatum abiit. Nam a ſociis accuſabatur, quod exercitui licentiam ſpoliandi foederatos conceſſiſſet.

7. Dercyllidas, acceptis copiis, quum Tiſſaphernem ac Pharnabazum inuicem ſibi ſuſpectos eſſe non ignoraret; habito cum Tiſſapherne colloquio, militem in Pharnabazi ditionem abduxit, quod bellum cum alterutro, quam ſimul cum ambobus, gerere mallet. Praeterea veteres etiam inimicitiae inter Dercyllidam ac Pharnabazum intercedebant. Nam quo tempore Dercyllidas Abydi praetor erat, tenente claſſis im-

χῶντος, διαβληθεὶς ὑπὸ Φαρναβάζου, ἐσάθη τὴν ἀσπίδα ἔχων· ὃ δοκεῖ κηλὶς εἶναι τοῖς σπαρτιάταις τῶν Λακεδαιμονίων. ἀταξίας γὰρ ζημίωμά ἐστι. καὶ διὰ ταῦτα δὴ πολὺ ἥδιον ἐπὶ τὸν Φαρνάβαζον ἦει.

η'. Καὶ εὐθὺς μὲν τοσούτῳ διέφερεν ἐς τὸ ἄρχειν τοῦ Θίμβρωνος, ὥστε παρήγαγε τὸ στράτευμα διὰ τῆς φιλίας χώρας μέχρι τῆς Φαρναβάζου Αἰολίδος, μηδὲν βλάψας τοὺς ξυμμάχους. ἡ δὲ Αἰολὶς αὕτη ἦν μὲν Φαρναβάζου, ἐσατράπευε δὲ αὐτῷ ταύτης τῆς χώρας, ἕως μὲν ἔζη, Ζῆνις Δαρδανεύς. ἐπεὶ δὲ ἐκεῖνος νόσῳ ἀπέθανε, παρασκευαζομένου τοῦ Φαρναβάζου ἄλλῳ δοῦναι τὴν σατραπείαν, Μανία ἡ τοῦ Ζήνιος γυνὴ, Δαρδανὶς καὶ αὕτη, ἀναζεύξασα στόλον, καὶ χρήματα λαβοῦσα, ὥστε καὶ αὐτῷ Φαρναβάζῳ δοῦναι, καὶ παλλακίσιν αὐτοῦ χαρίσασθαι, καὶ τοῖς δυναμένοις μάλιστα παρὰ Φαρναβάζῳ, ἐπορεύετο.

θ'. Ἐλθοῦσα δ' ἐς λόγους, εἶπεν· Ω Φαρνάβαζε,

perium Lyſandro; criminationibus Pharnabazi grauatus, cum ſcuto ſtare iuſſus fuerat. Ducunt autem hoc Lacedaemonii virtutis ſtudioſi pro quadam ignominiae macula, quod ordinis non ſeruati poena ſit. Quamobrem hac quoque de cauſſa multo lubentius aduerſus Pharnabazum copias ducebat.

8. Tantum vero vel primo belli initio Thimbrone praeſtabat imperandi ſcientia, vt copias per amicorum fines, vſque in Aeolidem Pharnabazo ſubiectam, ſociis nullo detrimento affectis, duceret. Caeterum haec Aeolum regio parebat illa quidem Pharnabazo, ſed obtinuerat eam cum titulo ſatrapae ab ipſo Zenis Dardanenſis, quamdiu viueret. Is poſteaquam morbo extinctus eſſet, et Pharnabazus iam alii praefecturam tradere pararet; Mania Zenis vxor, et ipſa Dardanenſis, cum comitatu copiarum profecta, ſumtiſque ſecum pecuniis, quibus et ipſum Pharnabazum donaret, et concubinis eius, atque aliis, qui plurimum apud eum poſſent, gratificaretur; ad Pharnabazum iter faciebat.

9. Hinc ad colloquium admiſſa, ſic eum compellat: Maritus meus.

ὁ ἀνὴρ σοι ὁ ἐμὸς καὶ τἄλλα φίλος ἦν, καὶ τὰς φόρους ἀπεδίδυ· ὥστε σὺ ἐπαινῶν αὐτὸν, ἐτίμας. ἢν δ' ἐγώ σοι μηδὲν χεῖρον ἐκείνυ ὑπηρετῶ, τί σε δεῖ ἄλλον σατράπην καθιστάναι; ἢν δέ τι σοὶ μὴ ἀρέσκω, ἐπί σοι δήπυ ἔσαι ἀφελομένῳ ἐμὲ, ἄλλῳ δῦναι τὴν ἀρχήν.

ι. Ακύσας ταῦτα ὁ Φαρνάβαζος, ἔγνω δεῖν τὴν γυναῖκα σατραπεύειν. ἡ δ' ἐπεὶ κυρία τῆς χώρας ἐγένετο, τάς τε φόρους ἀδὲν ἧσσον ἀνδρὸς ἀπεδίδυ, καὶ πρὸς τύτοις, ὁπότε ἀφικνοῖτο πρὸς Φαρνάβαζον, ἀεὶ ἦγε δῶρα αὐτῷ. καὶ ὁπότε ἐκεῖνος ἐς τὴν χώραν καταβαίνοι, πολὺ πάντων τῶν ὑπάρχων κάλλιστα καὶ ἥδιστα ἐδέχετο αὐτόν. καὶ ἃς τε παρέλαβε πόλεις, διεφύλαττεν αὐτῷ, καὶ τῶν ἀχ ὑπηκόων προσέλαβεν ἐπιθαλαττιδίας, Λάρισσάν τε, καὶ Αμαξιτὸν, καὶ Κολωνάς· ξενικῷ μὲν Ελληνικῷ προσβαλοῦσα τοῖς τείχεσιν, αὐτὴ δ' ἐφ' ἁρμαμάξης θεωμένη, ὃν δ' ἐπαινέσειε, τύτῳ δῶρα ἀμέμπτως

meus, Pharnabaze, et amicus erat tuus, et tributa ſic pendebat, vt tu illum collaudares, atque etiam honore proſequereris. Quapropter ſi nihilo minus ego tibi operam, quam ille, praeſtitero; quid cauſſae fuerit, cur alium ſatrapam conſtituas? Quod ſi tibi non placuero, tua erit in poteſtate, vt ademtum mihi imperium alii tribuas.

10. Auditis his Pharnabazus, mandandam feminae praefecturam ſtatuit. Illa poſtquam rerum in ea ditione potita fuit, non ſolum tributa pendebat, itidem vt maritus fecerat: ſed etiam praeterea, quoties ad Pharnabazum iret, munera ſecum afferebat. Quod ſi ad ipſius ditionem Pharnabazus deſcenderet, inter alios pro-praetores longe ipſum elegantiſſime et lautiſſime accipiebat. Neque tantum eas vrbes Pharnabazo cuſtodiebat, quas acceperat; verum etiam maritimas quaſdam dicto non audientes adiiciebat imperio ſuo, nimirum Lariſſam, et Hamaxitum, et Colonas: quum copias Graecas ſtipendio conductas muris admoueret, atque ipſa militem pugnantem de carpento ſpectaret. Quod ſi quem praedicaret, eum muneribus donabat

ἀμέμπτως ἐδίδου, ὥστε λαμπρότατον τὸ ξενικὸν κατεσκευάσατο. συνεστρατεύετο δὲ τῷ Φαρναβάζῳ καὶ ὁπότε ἐς Μυσοὺς ἢ Πισίδας ἐμβάλοι, ὅτι τὴν βασιλέως χώραν κακουργοῦσιν· ὥσε καὶ ἀντετίμα αὐτὴν μεγαλοπρεπῶς ὁ Φαρνάβαζος, καὶ ξύμβουλον ἔσιν ὅτε παρεκάλει.

ια'. Ηδη δ' ὅσης αὐτῆς ἐτῶν πλέον ἢ τεττεράκοντα, Μειδίας, θυγατρὸς ἀνὴρ αὐτῆς ὢν, ἀναπεφωβεὶς ὑπό τινων, ὡς αἰσχρὸν εἴη, γυναῖκα μὲν ἄρχειν, αὐτὸν δὲ ἰδιώτην εἶναι, τὰς μὲν ἄλλας φυλαττομένης αὐτῆς, ὥσπερ ἐν τυραννίδι προσῆκεν, ἐκείνῳ δὲ πιστευούσης καὶ ἀσπαζομένης, ὥσπερ ἂν γυνὴ γαμβρὸν ἀσπάζοιτο, εἰσελθὼν ἀποπνίξαι αὐτὴν λέγεται. ἀπέκτεινε δὲ καὶ τὸν υἱὸν αὐτῆς, τό, τε εἶδος ὄντα πάγκαλον, καὶ ἐτῶν ὄντα ὡς ἑπτακαίδεκα.

ιβ'. Ταῦτα δὲ ποιήσας, Σκῆψιν καὶ Γέργιθα, ἐχυρὰς πόλεις, κατέσχεν, ἔνθα καὶ τὰ χρήματα μάλιστα ἦν τῇ Μανίᾳ. αἱ δὲ ἄλλαι πόλεις οὐκ ἐδέχοντο αὐτὸν, ἀλλὰ

largiter. Quo factum, vt conductitias copias longe omnium splendidissimas redderet. Etiam Pharnabazi signa sequebatur, quoties ille vel in Mysorum vel Pisidarum fines irrueret, qui tum regis ditionem infestabant. Itaque Pharnabazus eam vicissim magnifice colebat, et nonnunquam in consilium vocabat.

11. Quum autem annos iam XL. excessisset, gener ipsius Midias, partim sumtis alis ex quorundam sermonibus, qui turpe dicerent esse, quod imperio femina potiretur, ipso priuati hominis vitam agente; partim quod haberi sibi fidem ab ea videret, quae vt ab aliis, perinde ac in tyrannide fieri oportet, sibi cauebat, ita ipsum non aliter complectebatur, ac generum complecti socrus solet; ingressus ad eam, suffocando mortem attulisse mulieri proditur. Praeterea filium ipsius, adolescentem longe formosissimum, ac plus minus XVII natum annos, interemit.

12. His perpetratis, Scepsim et Gergithem occupat, munita sane oppida, et in quibus imprimis opes suas Mania reconditas habebat. Oppidis reliquis excluditur, praesidiariis

ἀλλὰ Φαρναβάζῳ ἔσωζον αὐτὰς οἱ ἐνόντες Φερσοί. ἐκ δὲ τούτου ὁ Μειδίας πέμψας δῶρα τῷ Φαρναβάζῳ, ἠξίου ἔχειν τὴν χώραν ὥσπερ ἡ Μανία. ὁ δ' ἀπεκρίνατο, φυλάττειν αὐτὰ, ἕως ἂν αὐτὸς ἐλθὼν σὺν αὐτῷ ἐκείνῳ λάβῃ τὰ δῶρα. ἀ γὰρ ἂν ἔφη ζῆν βέλεσθαι, μὴ τιμωρήσας Μανίᾳ.

ιγ'. Ο δὲ Δερκυλλίδας ἐν τούτῳ τῷ καιρῷ ἀφικνεῖται, καὶ εὐθὺς μὲν ἐν μιᾷ ἡμέρᾳ Λάρισσαν, καὶ Αμαξιτὸν καὶ Κολωνὰς, τὰς ἐπιθαλατ[ί]ους πόλεις, ἐκοῦσας παρέλαβε· πέμπων δὲ καὶ πρὸς τὰς Αἰολίδας πόλεις, ἠξίου ἐλευθερῶσθαί τε αὐτὰς, καὶ πρὸς τὰ τείχη δέχεσθαι, καὶ ξυμμάχους γίγνεσθαι. οἱ μὲν οὖν Νεανδρεῖς, καὶ Ιλιεῖς, καὶ Κοκυλῖται ἐπείθοντο. καὶ γὰρ οἱ φερσῶντες Ελληνες ἐν αὐταῖς, ἐπεὶ ἡ Μανία ἀπέθανεν, ἀ πάνυ τι καλῶς περιείποντο.

ιδ'. Ο δ' ἐν Κέβρηνι, μάλα ἰσχυρῷ χωρίῳ τὴν φυλακὴν ἔχων, νομίσας, εἰ διαφυλάξειε Φαρναβάζῳ τὴν πόλιν, τιμηθῆναι ἂν ὑπ' ἐκείνου, οὐκ ἐδέχετο τὸν Δερκυλλίδαν. ὁ δὲ

diariis militibus ea Pharnabazo integra ſeruantibus. Secundum haec miſſis ille muneribus ad Pharnabazum, vt agrum eum legibus illis, quibus habuerat Mania, ſibi obtinere liceret, poſtulat. Reſpondet is, ſeruare Midiam haec munera debere, donec ipſe veniret, eumque vna cum muneribus caperet. Etenim vitam ſibi acerbam fore, non vindicata Maniae morte.

13. Haec inter, aderat Dercyllidas, ac ſtatim vno die Lariſſam, Hamaxitum, Colonas, oppida maritima, per deditionem ſponteneam capit. Deinde miſſis ad vrbes Aeolicas nuntiis, vt libertatem recuperarent, ſeque intra muros admitterent, et ſocietatem quoque coirent, poſtulabat. Erant dicto audientes Neandrenſes, et Ilienſes, et Cocylitae: quia poſt mortem Maniae praeſidiarii Graeci non admodum erga eos recte ſe geſſerant.

14. At qui Cebrenem, munitiſſimum oppidum, cum praeſidio tenebat, quia ſe praemiis ornatum iri a Pharnabazo putabat, ſi oppidum in eius fide ſeruaſſet, Dercyllidam non admittebat. Tum ille excandeſcens, ad oppugnationem

ὁ δὲ, ὀργιζόμενος παρεσκευάζετο προσβάλλειν. ἐπεὶ δὲ θυομένῳ αὐτῷ οὐκ ἐγίγνετο τὰ ἱερὰ τῇ πρώτῃ, τῇ ὑστεραίᾳ πάλιν ἐθύετο. ὡς δὲ οὐδὲ ταῦτα ἐκαλλιερεῖτο, πάλιν τῇ τρίτῃ· καὶ μέχρι τεττάρων ἡμερῶν ἐκαρτέρει θυόμενος, μάλα χαλεπῶς φέρων. ἔσπευδε γὰρ, πρὶν Φαρνάβαζον βοηθῆσαι, ἐγκρατὴς γενέσθαι πάσης τῆς Αἰολίδος.

ιέ. Ἀθηνάδας δέ τις, Σικυώνιος λοχαγὸς, νομίσας τὸν μὲν Δερκυλλίδαν φλυαρεῖν διατρίβοντα, αὐτὸς δὲ ἱκανὸς εἶναι τὸ ὕδωρ ἀφελέσθαι τοὺς Κεβρηνίους, προσδραμὼν σὺν τῇ ἑαυτοῦ τάξει, ἐπειρᾶτο τὴν κρήνην συγχῶν. οἱ δὲ ἔνδοθεν, ἐπεξελθόντες αὐτόν τε συνέτρωσαν, καὶ δύο ἀπέκτειναν, καὶ τοὺς ἄλλους παίοντες καὶ βάλλοντες ἀπήλασαν. ἀχθομένου δὲ τοῦ Δερκυλλίδου, καὶ νομίζοντος ἀθυμοτέραν καὶ τὴν προσβολὴν ἔσεσθαι, ἔρχονται ἐκ τοῦ τείχους παρὰ τῶν Ἑλλήνων κήρυκες, οἳ καὶ εἶπον, ὅτι ἃ μὲν ὁ ἄρχων ποιοίη, οὐκ ἀρέσκει σφίσιν, αὐτοὶ δὲ βούλοιντο σὺν τοῖς Ἕλλησι μᾶλλον, ἢ σὺν τῷ βαρβάρῳ εἶναι.

ις'. Ἔτι δὲ διαλεγομένων αὐτῶν ταῦτα, παρὰ τοῦ ἄρχοντος

se parabat. Sed quum primo die, facta re sacra, perlitatum non esset: postridie sacrificia iterabat. Quum exta ne tum quidem addicerent, idem die tertio faciebat: adeoque totos quatuor dies exta consulere non cessabat, grauiter eam rem ferens, propterea quod totam Aeolidem in potestatem suam redigere maturaret, prius quam Pharnabazus opem laturus aduentaret.

15. Tum Athenadas quidam Sicyonius, cohortis ductor, quod inepte Dercyllidam istic desidere, ac se Cebreniis aquam adimere posse existima-

ret; accurrens cum cohorte sua fontem obturare conabatur. At oppidani in eos irruentes Athenadam vulnerant, milites duos occidunt, caeteros partim comminus partim eminus adorti repellunt. Ea res quum molesta Dercyllidae accidisset, iamque suos minus alacriter oppugnaturos oppidum existimaret: caduceatores a Graecis ex oppido missi veniunt, ac minime sibi probari aiunt, quae a praefecto gererentur: malle se a Graecorum, quam barbari partibus stare.

16. Dum inter se huiusmodi colloquium habent, aduenit etiam

χοντος αὐτῶν ἦκε λέγων, ὅτι ὅσα λέγοιεν οἱ πρόσθεν, καὶ αὐτῷ δοκοῦντα λέγοιεν. ὁ μὲν Δερκυλλίδας εὐθὺς, ὥσπερ ἔτυχε κεκαλλιερηκὼς, ταύτῃ τῇ ἡμέρᾳ ἀναλαβὼν τὰ ὅπλα, ἡγεῖτο πρὸς τὰς πύλας. οἱ δ' ἀναπετάσαντες ἐδέξαντο. κατασήσας δὲ καὶ ἐνταῦθα φρουρὰς, εὐθὺς ἦει ἐπὶ τὴν Σκῆψιν καὶ τὴν Γέργιθα.

ιζ'. Ο δὲ Μειδίας, προσδοκῶν μὲν τὸν Φαρνάβαζον, ἐκνεῖν δ' ἤδη τὰς πολίτας, πέμψας πρὸς τὸν Δερκυλλίδαν, εἶπεν, ὅτι ἔλθοι ἂν ἐς λόγους, εἰ ὁμήρους λάβοι. ὁ δὲ, πέμψας αὐτῷ ἀπὸ πόλεως ἑκάστης τῶν ξυμμάχων ἕνα, ἐκέλευσε λαβεῖν τούτων ὁπόσους τε καὶ ἐποίους βούλοιτο. ὁ δὲ, λαβὼν δέκα, ἐξῆλθε· καὶ ξυμμίξας τῷ Δερκυλλίδᾳ, ἠρώτα, ἐπὶ τίσιν ἂν ξύμμαχος γένοιτο. ὁ δ' ἀπεκρίνατο, ἐφ' ᾧ τε τὰς πολίτας ἐλευθέρους τε καὶ αὐτονόμους ἐᾷν. καὶ ἅμα ταῦτα λέγων, ἦει πρὸς τὴν Σκῆψιν.

ιή. Γνοὺς δὲ ὁ Μειδίας, ὅτι μὴ ἂν δύναιτο κωλύειν βίᾳ τῶν πολιτῶν, εἴασεν αὐτὸν εἰσιέναι. ὁ δὲ Δερκυλλίδας

etiam a praefecto quidam, qui diceret, omnia primis a caduceatoribus expoſita, ſibi quoque probari. Quamobrem Dercyllidas ſtatim, vti tum forte perlitauerat, eodem die ſumtis armis ad portas ducebat: quibus apertis oppidani eum admiſerunt. Quumque praeſidium impoſuiſſet, recta Scepſim ac Gergithen verſus contendit.

17. Tum Midias, qui Pharnabazum aliquando venturum vereretur, et ciues metueret, miſſis ad Dercyllidam nuntiis, cupere ſe cum ipſo colloqui ſignificat, ſi obſides accepiſſet. Ille miſſis ad ipſum ex quauis vrbe ſocia ſingulis, iuſſit vt ex his quam multos, et quos vellet, acciperet. Midias quum decem ex eis retinuiſſet, oppido eſt egreſſus: quumque in caſtra Dercyllidae veniſſet, quibus conditionibus ineunda ſocietas eſſet, interrogabat. Reſpondebat is, vnam eſſe conditionem, vt ciues liberos ſuis vti legibus permitteret. Simul haec loquutus, Scepſim pergebat.

18. Midias vero, qui intelligeret, inuitis ciuibus ſe prohibere non poſſe: vt oppidum ingrederetur, permittebat. Tum Dercyllidas

λίδας θύσας τῇ Ἀθηνᾷ ἐν τῇ τῶν Σκήψεων ἀκροπόλει, τὰς μὲν Μειδίου φρουρὰς ἐξήγαγε, παραδοὺς τοῖς πολίταις τὴν πόλιν, καὶ παρακελευσάμενος, ὥσπερ Ἕλληνας καὶ ἐλευθέρους χρὴ, ὅτω πολιτεύειν, ἐξελθὼν ἦει ἐπὶ τὴν Γέργιθα. ξυμπροέπεμπον δὲ πολλοὶ αὐτὸν καὶ τῶν Σκήψεων, τιμῶντές τε καὶ ἡδόμενοι τοῖς πεπραγμένοις.

ιθ'. Ὁ δὲ Μειδίας παρεπόμενος αὐτῷ ἠξίου τὴν τῶν Γεργιθίων πόλιν παραδοῦναι αὐτῷ. καὶ ὁ Δερκυλλίδας μέντοι ἔλεγεν, ὡς τῶν δικαίων ἀδενὸς ἀτυχήσει. ἅμα δὲ ταῦτα λέγων, ἦει πρὸς τὰς πύλας σὺν τῷ Μειδίᾳ, καὶ τὸ στράτευμα ἠκολούθει αὐτῷ ἐς δύο εἰρηνικῶς. οἱ δ' ἀπὸ τῶν πύργων, καὶ μάλα ὑψηλῶν ὄντων, ὁρῶντες τὸν Μειδίαν σὺν αὐτῷ, οὐκ ἔβαλλον. εἰπόντος δὲ τῷ Δερκυλλίδᾳ, κέλευσον, ὦ Μειδία, ἀνοῖξαι τὰς πύλας, ἵνα ἡγῇ μὲν σὺ, ἐγὼ δὲ ἐς τὸ ἱερὸν σύν σοι ἔλθω, κἀνταῦθα θύσω τῇ Ἀθηνᾷ· ὁ Μειδίας ὤκνει μὲν ἀνοίγειν τὰς πύλας, φοβούμενος δὲ, μὴ παραχρῆμα συλληφθῇ, ἐκέλευσεν ἀνοῖξαι.

κ'. Ὁ

dyllidas, facto Mineruae ſacro in arce Scepſiorum, Midiae praeſidiarios eduxit: et oppido cuibus reſtituto, hortatus eſt omnes, vt tanquam Graeci ac liberi homines rempublicam adminiſtrarent. Poſt egreſſus, Gergithem verſus pergebat, multis eum Scepſiis deducentibus, partim honoris cauſſa, partim ob laetitiam, quam ex iis rebus, quae tum geſtae erant, percipiebant.

19. Etiam Midias ipſum comitatus, vt ſibi Gergithiorum oppidum traderetur, rogabat. Cui reſpondebat Dercyllidas, nihil non impetraturum eſſe, quod aequum foret. Atque his dictis, vna cum Midia ad portas accedebat, vniuerſis copiis in binos inſtructis, pacateque ſubſequentibus. At qui erant in turribus, eiſque admodum excelſis, quum Midiam ipſi adeſſe viderent, tela nulla emittebant. Quumque Dercyllidas his eum verbis compellaret: Iube portas aperiri, Midia, vt te praeeunte fanum vna ingrediar, ac Mineruae ſacrificem: cunctabatur is quidem, ſed quia metuebat, ne confeſtim comprehenderetur, aperiri eas mandabat.

20. Itaque

κ΄. Ο δ' ἐπεὶ εἰσῆλθεν, ἔχων αὐτὸν Μειδίαν, ἐπορεύετο πρὸς τὴν ἀκρόπολιν· καὶ τοὺς μὲν ἄλλους στρατιώτας ἐκέλευσε θέσθαι περὶ τὰ τείχη τὰ ὅπλα, αὐτὸς δὲ σὺν τοῖς περὶ αὐτὸν ἔθυε τῇ Ἀθηνᾷ. ἐπεὶ δὲ ἐτέθυτο, ἀνεῖπε καὶ τοὺς Μειδίου δορυφόρους θέσθαι τὰ ὅπλα ἐπὶ τῷ σώματι τῷ ἑαυτῶν στρατεύματος, ὡς μισθοφορήσοντας. Μειδίᾳ γὰρ οὐδὲν ἔτι δεινὸν εἶναι.

κα΄. Ο μέντοι Μειδίας, ἀπορῶν ὅ, τι ποιοίη, εἶπεν· ἐγὼ μέντοι νῦν ἄπειμι, ἔφη, ξένιά σοι παρασκευάσων. ἃ δὲ, ὦ μὰ Δί', ἔφη. ἐπεὶ αἰσχρὸν ἐμὲ τεθυκότα ξενίζεσθαι ὑπὸ σοῦ, ἀλλὰ μὴ ξενίζειν σέ. μένε ὦν παρ' ἡμῖν· ἐν ᾧ δ' ἂν τὸ δεῖπνον παρασκευάζηται, ἐγὼ καὶ σὺ τὰ δίκαια πρὸς ἀλλήλους καὶ διασκεψόμεθα καὶ ποιήσομεν.

κβ΄. Επεὶ δ' ἐκαθέζοντο, ἠρώτα ὁ Δερκυλλίδας· εἰπέ μοι, ὦ Μειδία, ἔφη, ὁ πατήρ σε ἄρχοντα τοῦ οἴκου κατέλιπε; μάλιστα, ἔφη. καὶ πόσαι σοι οἰκίαι ἦσαν; πόσαι δὲ χῶραι; πόσαι δὲ νομαί; ἀπογράφοντος δ'

20. Itaque Dercyllidas ingreſſus vna cum Midia, pergebat in arcem: ac milites quidem alios propter moenia ſubſiſtere in armis iubebat, ipſe cum ſuis Mineruae ſacrificabat. Facta re ſacra mandat, vt etiam Midiae ſatellites in agminis ſui frontem ſe cum armis conferrent, vt qui ſtipendia facturi apud ſe deinceps eſſent. Nec enim quidquam Midiae periculi amplius imminere.

21. Tum Midias inops conſilii: Ego vero abeo nunc, ait, vt hoſpitales epulas tibi parem. Cui Dercyllidas: Non profecto, inquit. Nam turpe fuerit, epulum abs te mihi hoſpitale praeberi, qui rem ſacram ipſe feci; ac non me potius te velut hoſpitem excipere. Atque adeo nobiſcum maneto, vt interea, dum coena parabitur, inter nos, quod fieri aequum erit, tum conſideremus, tum reipſa exequamur.

22. Poſt vbi conſediſſent, interrogans Dercyllidas Midiam: Dic mihi Midia, inquit, an pater tuus te principem domus reliquit? Maxime, ſubiecit Midias. Et quotnam erant domus tibi? quot agri? quot paſcua? Heic quum Midias

δ' αὐτῷ, οἱ παρόντες τῶν Σκήψεων εἶπον· ψεύδεταί σε ὅτος, ὦ Δερκυλλίδα. ὑμεῖς δέ γ', ἔφη, μὴ λίαν μικρολογεῖσθε.

κγ'. Ἐπειδὴ δὲ ἀπεγέγραπτο τὰ πατρῷα, εἶπέ μοι, ἔφη, Μανία δὲ τίνος ἦν; οἱ δὲ πάντες εἶπον, ὅτι Φαρναβάζου. ἦ καὶ ταῦτα ἐκείνης, ἔφη, Φαρναβάζου; μάλιστα, ἔφασαν. ἡμέτερα ἂν εἴη, ἔφη, ἐπεὶ κρατοῦμεν. πολέμιος γὰρ ἡμῖν Φαρνάβαζος. ἀλλ' ἡγεῖσθω τις, ἔφη, ὅπου κεῖται τὰ Μανίας καὶ τὰ Φαρναβάζου.

κδ'. Ἡγουμένων δὲ τῶν ἄλλων ἐπὶ τὴν Μανίας οἰκησιν, ἣν παρειλήφει ὁ Μειδίας, ἠκολούθει κἀκεῖνος. ἐπεὶ δ' εἰσῆλθεν, ἐκάλει ὁ Δερκυλλίδας τοὺς ταμίας. Φράσας δὲ τοῖς ὑπηρέταις λαβεῖν αὐτούς, προεῖπεν αὐτοῖς ὡς, εἴ τι κλέπτοντες ἁλώσοιντο τῶν Μανίας, παραχρῆμα ἀποσφαγήσοιντο. οἱ δ' ἐδείκνυσαν. ὁ δ' ἐπεὶ εἶδε πάντα, κατέκλεισεν αὐτά, καὶ κατεσημήνατο, καὶ φύλακας κατέστησεν.

κε'. Ἐξιὼν

omnia referret in tabulas: Scepſii, qui aderant: Imponit, inquiunt, hic tibi mendacio, Dercyllida. Verum ille: Non nimis, ait, ſordide rationes vobis ineundae ſunt.

23. Tandem quum patria Midiae bona tabulis conſignata fuiſſent: Dic mihi, ſubiecit, cuiuſnam Mania fuerit? Reſponſum ab omnibus, fuiſſe hanc Pharnabazi. Ergo, inquit, etiam Maniae bona Pharnabazi ſunt? Maxime, aiunt. Nimirum iam noſtra ſunt, inquit, quando victoria nos potiti ſumus. Nam Pharnabazus hoſtis noſter eſt. Quamobrem eo nos aliquis ducat, vbi Maniae ac Pharnabazi opes ſitae ſunt.

24. Heic quum alii ad aedes Maniae Dercyllidam ducerent, quas Midias occuparat, etiam ipſe ſequebatur. Ingreſſus Dercyllidas quaeſtores arceſſit, iuſſiſque apparitoribus hos comprehendere, futurum praedixit, vt ſi quid de Maniae bonis furto ſurripere deprehenderentur, ſtatim iugularentur. Ibi quum, illis commonſtrantibus, inſpexiſſet vniverſa, rurſus obſignata occludit, additis etiam cuſtodibus.

25. Poſt

κέ. Ἐξιὼν δὲ, ὡς εὗρεν ἐπὶ ταῖς θύραις τῶν ταξιάρχων καὶ λοχαγῶν, εἶπεν αὐτοῖς· μισθὸς μὲν ὑμῖν, ὦ ἄνδρες, ἐξείργασται τῇ στρατιᾷ, ἐγγὺς ἐνιαυτῷ, ὀκτακισχιλίοις ἀνδράσιν· ἢν δέ τι προσεργασώμεθα, καὶ ταῦτα προσέσται. ταῦτα δ' εἶπε, γιγνώσκων ὅτι ἀκόσαντες, πολὺ ἔτι εὐτακτότεροι καὶ θεραπευτικώτεροι ἔσοιντο. ἐρομένῳ δὲ τῷ Μειδίᾳ, ἐμὲ δὲ πῇ χρὴ οἰκεῖν, ὦ Δερκυλλίδα; ἀπεκρίνατο, ἔνθαπερ καὶ δικαιότατον, ἐν τῇ πατρίδι τῇ σαυτῷ Σκήψει, καὶ ἐν τῇ πατρῴᾳ οἰκίᾳ.

ΚΕΦ. β'.

Ὁ μὲν δὴ Δερκυλλίδας ταῦτα διαπραξάμενος, καὶ λαβὼν ἐν ὀκτὼ ἡμέραις ἐννέα πόλεις, ἐβουλεύετο, ὅπως ἂν μὴ ἐν τῇ φιλίᾳ χειμάζων βαρὺς εἴη τοῖς ξυμμάχοις, ὥσπερ Θίμβρων, μηδ' αὖ Φαρνάβαζος καταφρονῶν τῇ ἵππῳ κακοργῇ τὰς Ἑλληνίδας πόλεις. πέμπει δὴ πρὸς

25. Poſt egreſſus, ad tribunos, et cohortium praefectos, quoſcunque pro foribus reperiebat; Stipendium, inquit, exercitui partum habemus, quod prope in annum vnum vel octies mille ſuffecerit. Quod ſi quid praeterea conſequuti fuerimus, id etiam habituri ſumus. Atque haec idcirco proferebat, quod futurum non ignoraret; vt, his auditis, longe ordinis obſeruantiores, et in officio paratiores eſſent. Tum vero quaerente Midia: Vbinam mihi habitandum erit, Dercyllida? Iſtic, inquit, vbi te habitare eſt aequiſſimum: nimirum Scepſi in patria tua, et quidem in domo paterna.

CAP. II.

His rebus confectis Dercyllidas, ac diebus octo, novem oppidis captis, ſecum ipſe deliberabat, quo pacto fieri poſſet, vt neque foederatorum in finibus hybernaret, ac ſociis Thymbronis exemplo moleſtus eſſet: neque Pharnabazus, ſe ſpreto, cum copiis equeſtribus oppida Graeci nominis infeſtaret. Quare mittit ad eum,

πρὸς αὐτὸν, καὶ ἐρωτᾷ, πότερον εἰρήνην ἢ πόλεμον ἔχειν βέλεται. ὁ μέντοι Φαρνάβαζος, νομίσας τὴν Αἰολίδα ἐπιτετειχίσθαι τῇ ἑαυτοῦ οἰκήσει Φρυγίᾳ, σπονδὰς εἵλετο.

β'. Ὡς δὲ ταῦτα ἐγένετο, ἐλθὼν ὁ Δερκυλλίδας ἐς τὴν Βιθυνίδα Θρᾴκην, ἐκεῖ διεχείμαζεν, οὐδὲν τῷ Φαρναβάζῳ πάνυ τι ἀχθομένῳ. πολλάκις γὰρ οἱ Βιθυνοὶ αὐτῷ ἐπολέμουν. καὶ τὰ μὲν ἄλλα ὁ Δερκυλλίδας ἀσφαλῶς φέρων καὶ ἄγων τὴν Βιθυνίδα, καὶ ἄφθονα ἔχων τὰ ἐπιτήδεια, διετέλει. ἐπεὶ δὲ ἦλθον τότε αὐτῷ παρὰ τοῦ Σεύθου πέραθεν ξύμμαχοι, τῶν Ὀδρυσῶν ἱππεῖς τε ὡς διακόσιοι, καὶ πελτασταὶ ὡς τριακόσιοι· οἵτοι στρατοπεδευσάμενοι καὶ περιταυρωσάμενοι ἀπὸ τοῦ Ἑλληνικοῦ ὡς εἴκοσι σάδια, αἰτοῦντες φύλακας τῷ στρατοπέδῳ τὸν Δερκυλλίδαν τῶν ὁπλιτῶν, ἐξῆσαν ἐπὶ λείαν· καὶ πολλὰ ἐλάμβανον ἀνδράποδά τε καὶ χρήματα.

γ'. Ἤδη δ' ἔντος τοῦ στρατοπέδου αὐτοῖς μεστοῦ πολλῶν αἰχμαλώτων, καταμαθόντες οἱ Βιθυνοὶ, ὅσοι τ' ἐξῆσαν, καὶ

eum, qui interrogaret, pacem an bellum mallet. Pharnabazus, qui existimaret, Aeoliam munitionis instar oppositam esse Phrygiae, quae ipsius domicilium esset; inducias fieri maluit.

2. Quae res vbi successisset, Bithynicam in Thraciam profectus Dercyllidas, ibidem hybernauit, non admodum hoc grauiter ferente Pharnabazo: quod Bithyni saepius illi bellum facerent. Ac Dercyllidas quidem sine vllo periculo res Bithynorum rapiebat, ferebat: et nunquam non ampla commeatus copia abundabat. Post vbi ex littore aduerso a Seuthe socii quidam ad eum veniissent, nimirum equites Odrysae plus minus cc, et cetrati plus minus ccc: castris illi positis, valloque munitis, intervallo fere xx stadiorum ab agmine Graeco, et a Dercyllida grauis armaturae peditibus quibusdam postulatis, qui eorum in castris excubias agerent, praedatum exierunt, magnamque mancipiorum et rerum copiam nacti sunt.

3. Iam plurimis captiuis castra referta erant, quum Bithyni, intellecto quot exiissent, et quot Graecos

καὶ ὅσους κατέλιπον φύλακας Ἕλληνας, ξυλλεγέντες παμπληθεῖς πελτασαὶ καὶ ἱππεῖς, ἅμ' ἡμέρᾳ προσπίπτουσι τοῖς ὁπλίταις ὡς διακοσίοις οὖσιν. ἐπειδὴ δ' ἐγγὺς ἐγένοντο, οἱ μὲν ἔβαλλον, οἱ δ' ἠκόντιζον ἐς αὐτούς. οἱ δ', ἐπεὶ ἐτιτρώσκοντο μὲν καὶ ἀπέθνησκον, ἐποίουν δ' οὐδέν, καθειργμένοι ἐν τῷ σταυρώματι ὡς ἐν ἀνδρομήκει ὄντι, διασπάσαντες τὸ αὐτῶν ὀχύρωμα, ἐφέροντο ἐς αὐτούς. οἱ δὲ ἦ μὲν ἐκθέοιεν, ὑπεχώρουν, καὶ ῥᾳδίως ἀπέφευγον πελτασαὶ ὁπλίτας· ἔνθεν δὲ καὶ ἔνθεν ἠκόντιζον, καὶ πολλοὺς αὐτῶν ἐφ' ἑκάστῃ ἐκδρομῇ κατέβαλλον. τέλος δὲ, ὥσπερ ἐν αὐλίῳ σηκαθέντες, κατηκοντίσθησαν. ἐσώθησαν μέντοι αὐτῶν ἀμφὶ τοὺς πεντεκαίδεκα ἐς τὸ Ἑλληνικὸν, καὶ ὅτοι ἐπεὶ εὐθέως ἤσθοντο τὸ πρᾶγμα, ἀποχωρήσαντες, ἐν τῇ μάχῃ διαπεσόντες, ἀμελησάντων τῶν Βιθυνῶν.

δ'. Ταχὺ δὲ ταῦτα διαπραξάμενοι οἱ Βιθυνοὶ, καὶ τοὺς σκηνοφύλακας τῶν Ὀδρυσῶν Θρᾳκῶν ἀποκτείναντες, ἀπολαβόντες πάντα τὰ αἰχμάλωτα, ἀπῆλθον· ὥστε οἱ Ἕλληνες,

Graecos milites in excubiis reliquiſſent: magno numero cetratorum equitumque collecto, ſub primam auroram in gravis armaturae pedites, qui cc erant, irruunt. Quum propius acceſſiſſent, alii telis, iaculis alii aduerſus eos vtebantur. Illi quia vulneribus confecti peribant, atque interim nihil efficiebant, quippe qui intra vallum, quod altitudinem viri aequaret, concluſi eſſent; perrupta ſua munitione, aduerſus hoſtes ferebantur. Ii vero, quacunque excurrebatur, cedebant: ac facile, cetrati quum eſſent, grauis armaturae pedites eludebant: ſimul hinc et inde iaculando, multos in excurſionibus ſingulis ſternebant. Tandem velut in caula concluſi, iaculis confecti fuerunt; exceptis plus minus quindecim, qui Graecorum in caſtra ſalui pervenerunt. Nam vbi primum hi rem intellexiſſent, diſceſſerant: medioque in proelio, Bithynis haud animaduertentibus, elapſi fuerant.

4. Hac re ſubito confecta, et Odryſarum e Thracia cuſtódibus interemtis; Bithyni captiuos ſuos recipiunt, atque ita diſcedunt, vt Graeci, re animaduerſa, ſuis opem ferentes,

Ελληνες, ἐπεὶ ἤθοντο, βοηθῶντες, οὐδὲν ἄλλο εὗρον, ἢ νεκροὺς γυμνοὺς ἐν τῷ στρατοπέδῳ. ἐπεὶ μέντοι ἐπανῆλθον οἱ Οδρύσαι, θάψαντες τοὺς ἑαυτῶν, καὶ πολὺν οἶνον ἐκπιόντες ἐπ' αὐτοῖς, καὶ ἱπποδρομίαν ποιήσαντες, ὁμῶς δὴ τὸ λοιπὸν τοῖς Ελλησι στρατοπεδευσάμενοι ἦγον καὶ ἔκαιον τὴν Βιθυνίδα.

ε'. Αμα δὲ τῷ ἦρι πορευόμενος ὁ Δερκυλλίδας ἐκ τῶν Βιθυνῶν, ἀφικνεῖται εἰς Λάμψακον. ἐνταῦθα δ' ὄντος αὐτοῦ, ἔρχονται ἀπὸ τῶν οἴκοι τελῶν Αρακός τε καὶ Ναυάτης καὶ Αντισθένης. ἦτοι δ' ἦλθον ἐπισκεψόμενοι τά τε ἄλλα ὅπως ἔχοι τὰ ἐν τῇ Ασίᾳ, καὶ Δερκυλλίδᾳ ἐροῦντες, μένοντι ἄρχειν καὶ τὸν ἐπιόντα ἐνιαυτόν. ἐπιστεῖλαι δὲ σφίσιν αὐτοῖς τοὺς Εφόρους, καὶ ξυγκαλέσαντας τοὺς στρατιώτας εἰπεῖν, ὡς ὧν μὲν πρόσθεν ἐποίουν μέμφοιντο αὐτοῖς, ὅτι δὲ νῦν οὐδὲν ἠδίκουν, ἐπαινοῖεν· καὶ περὶ τοῦ λοιποῦ χρόνου εἰπεῖν, ὅτι, ἢν μὲν ἀδικῶσιν, οὐκ ἐπιτρέψουσιν· ἢν δὲ δίκαια περὶ τοὺς ξυμμάχους ποιῶσιν, ἐπαινέσονται αὐτούς.

ς'. Επεὶ μέντοι συγκαλέσαντες τοὺς στρατιώτας ταῦτ' ἔλεγον,

ferentes, aliud nihil in caſtris, quam nuda cadauera reperirent. Odryſae quum rediiſſent, ſuis humatis, magnaque vini copia ſuper iis exhauſta, et equeſtri certamine inſtituto, caſtra deinceps ſua cum Graecorum caſtris coniungebant, atque Bithynorum agros populationibus ac flammis vaſtabant.

5. Ineunte vere Dercyllidas e Bithynorum finibus excedens, Lampſacum venit. Ibi quum eſſet, Aracus, et Nauates, et Antiſthenes, a magiſtratibus patriae miſſi ad eum accedunt. Aderant autem partim vt inſpicerent, quo pacto ſe res Aſiaticae haberent: partim Dercyllidae ſignificaturi, prorogatum eſſe ipſi etiam in ſequentem annum imperium. Praeterea mandatum eſſe ſibi aiebant ab Ephoris, vt conuocatis militibus dicerent, non probare ſe, quae antehac deſignaſſent: quod vero in hoc tempore neminem laeſiſſent, in hoc eos ſe collaudare. De caetero ſignificare, non paſſuros ſe, vt iniuria quemquam afficiant: ſin erga ſocios iuſte ſe gererent, id ſe praedicaturos.

6. Haec quum militibus ad concionem aduocatis dicta fuiſſent,

ἔλεγον, ὁ τῶν Κυρείων προεσηκὼς ἀπεκρίνατο· Αλλ', ὦ ἄνδρες Λακεδαιμόνιοι, ἡμεῖς μὲν ἐσμὲν οἱ αὐτοὶ νῦν τε καὶ πέρυσιν· ἄρχων δὲ, ἄλλος μὲν νῦν, ἄλλος δὲ τὸ παρελθόν. τὸ ἂν αἴτιον τῷ νῦν μὲν μὴ ἐξαμαρτάνειν, τότε δὲ, αὐτοὶ ἤδη ἱκανοί ἐσε γιγνώσκειν.

ζ'. Ξυσκηνούντων δὲ τῶν τε οἴκοθεν πρέσβεων καὶ τῷ Δερκυλλίδα, ἐπεμνήσθη τις τῶν περὶ τὸν Αρακον, ὅτι καταλελοίποιεν πρέσβεις τῶν Χερρονησιωτῶν ἐν Λακεδαίμονι. τούτους δὲ λέγειν ἔφασαν, ὡς νῦν μὲν ἀδύναιντο τὴν Χερρόνησον ἐργάζεσθαι· φέρεσθαι γὰρ καὶ ἄγεσθαι ὑπὸ τῶν Θρακῶν. εἰ δ' ἀποτειχισθείη ἐκ θαλάττης ἐς θάλατταν, καὶ σφίσιν ἂν γῆν πολλὴν καὶ ἀγαθὴν εἶναι ἐργάζεσθαι, καὶ ἄλλοις ὁπόσοι βούλοιντο Λακεδαιμονίων· ὡς ἔφασαν ἂν θαυμάζειν, εἰ καὶ πεμφθείη τις Λακεδαιμονίων ἀπὸ τῆς πόλεως σὺν δυνάμει ταῦτα πράξων. ὁ δὲ Δερκυλλίδας πρὸς μὲν ἐκείνους οὐκ εἶπεν ἣν εἶχε γνώμην ταῦτ' ἀκούσας, ἀλλ' ἔπεμψεν αὐτοὺς ἀπ' Εφέσου διὰ τῶν Ελληνίδων πόλεων,

sent, praefectus copiarum, quibus Cyrus vsus fuerat, in hunc modum respondit: Nos quidem, Lacedaemonii, nunc iidem sumus, qui anno superiore fuimus: sed alium nunc imperatorem habemus, quam prius. Quapropter ipsi iam satis perspicere potestis, quamobrem id temporis deliquerimus, nunc omnis expertes culpae simus.

7. Quum autem legati, qui Lacedaemone venerant, a Dercyllida contubernio excipierentur; quidam ex Araci comitibus memorat, reliquisse se Lacedaemone Cherronesiorum legatos. Eos aiebant dicere, coli Cherronesum hoc tempore non posse, quod a Thracibus omnia raperentur, ferrentur: verum si muro a parte maris vna vsque ad alteram clauderetur, non solum ipsos terram amplam et fertilem, quam colerent, habituros: sed reliquos etiam Lacedaemonios, qui quidem vellent. Itaque non mirum sibi fore dicebant, si quis Lacedaemoniorum domo cum copiis eo mitteretur, qui hanc rem perficeret. His auditis Dercyllidas, quae sui esset animi sententia tum ad illos dissimulabat, Ephesoque per Graeci nominis ciuitates ipsos

πόλεων, ἡδόμενος ὅτι ἔμελλον ὄψεσθαι τὰς Ἑλληνίδας πόλεις ἐν εἰρήνῃ εὐδαιμονικῶς διαγούσας.

η'. Οἱ μὲν δὴ ἐπορεύοντο. ὁ δὲ Δερκυλλίδας, ἐπειδὴ ἔγνω μενετέον ὂν, πάλιν πέμψας πρὸς τὸν Φαρνάβαζον, ἐπήρετο· πότερα βούλοιτο σπονδὰς ἔχειν, καθάπερ διὰ τὸν χειμῶνος, ἢ πόλεμον. ἑλομένου δὲ τοῦ Φαρναβάζου καὶ τότε σπονδὰς, ἕως κατάλιποι καὶ τὰς περὶ ἐκεῖνον πόλεις φιλίας ἐν εἰρήνῃ, διαβαίνει τὸν Ἑλλήσποντον σὺν τῷ στρατεύματι εἰς τὴν Εὐρώπην· καὶ διὰ φιλίας τῆς Θρᾴκης πορευθεὶς, καὶ ξενισθεὶς ὑπὸ Σεύθου, ἀφικνεῖται εἰς Χερρόνησον· ἣν καταμαθὼν πόλεις μὲν ἔνδεκα ἢ δώδεκα ἔχουσαν, χώραν δὲ παμφορωτάτην καὶ ἀρίστην οὖσαν, κεκακωμένην δὲ, ὥσπερ ἐλέγετο, ὑπὸ τῶν Θρᾳκῶν, ἐπεὶ μετρῶν εὗρε τοῦ Ἰσθμοῦ ἑπτὰ καὶ τριάκοντα στάδια, οὐκ ἠμέλησεν, ἀλλὰ θυσάμενος ἐτείχιζε, κατὰ μέρη διελὼν τοῖς στρατιώταις τὸ χωρίον, καὶ ἆθλα αὐτοῖς ὑποσχόμενος δώσειν τοῖς πρώτοις ἐκτειχίσασι, καὶ τοῖς ἄλλοις, ὡς ἕκαστοι εἶεν ἄξιοι, ἀπετέλεσε

ipsos dimittebat; laetus interim, quod oppida Graeca tranquillo beatoque in statu visuri essent.

8. Atque hi quidem ita profecti sunt. Caeterum Dercyllidas posteaquam sibi manendum ad exercitum intellexit, rursum missis ad Pharnabazum nuntiis, interrogabat, induciasne, quae per hyemem fuissent, an bellum mallet. Quumque Pharnabazus, etiam id temporis, inducias bello praetulisset: pace oppidis ipsius concessa, cum copiis Hellespontum in Europam traiicit; ac per Thraciam pacatam itinere facto, hospitioque exceptus a Seuthe, Cherronesum ingreditur. In ea quum oppida XI vel XII esse accepisset, ac terram omnis quidem illam generis rerum fertilem et optimam, sed quae a Thracibus infestari diceretur: dimensus eam, porrigi Isthmum ad triginta septem stadia comperit. Itaque minime rem negligendam ratus, facto prius sacrificio, ducere murum coepit, quum locum vniuersum in milites partitus esset, ac praemia non iis solum promisisset, qui primi suam muri partem absoluissent; sed etiam aliis, prout quisque mereretur.

ἀπετέλεσε τὸ τεῖχος, ἀρξάμενος ἀπὸ ἠρινῆ χρόνυ, πρὸ ὀπώρας. καὶ ἐποίησεν ἐντὸς τῆ τείχυς ἕνδεκα μὲν πόλεις, πολλὺς δὲ λιμένας, πολλὴν δὲ καὶ ἀγαθὴν γῆν σπόριμον, πολλὴν δὲ πεφυτευμένην, παμπληθεῖς δὲ καὶ παγκάλας νομὰς παντοδαποῖς κτήνεσι.

θ'. Ταῦτα δὲ πράξας, διέβαινε πάλιν ἐς τὴν Ασίαν. ἐπισκοπῶν δὲ τὰς πόλεις, εὗρε τὰ μὲν ἄλλα καλῶς ἐχόσας, Χίων δὲ φυγάδας εὗρεν Αταρνέα ἔχοντας, χωρίον ἰσχυρὸν, καὶ ἐκ τύτυ ὁρμωμένυς, φέροντας καὶ ἄγοντας τὴν Ιωνίαν, καὶ ζῶντας ἐκ τύτυ. πυθόμενος δὲ, ὅτι πολὺς σῖτος ἐνῆν αὐτοῖς, περιστοπεδευσάμενος ἐπολιόρκει· καὶ ἐν ὀκτὼ μησὶ παρασησάμενος αὐτὺς, κατασήσας ἐν αὐτῷ Δράκοντα Πελληνέα ἐπιμελητὴν, καὶ κατασκευάσας ἐν τῷ χωρίῳ ἔκπλεω πάντα τὰ ἐπιτήδεια, ἵνα εἴη αὐτῷ καταγωγὴ, ὁπότε ἀφικνοῖτο, ἀπῆλθεν ἐς Εφεσον, ἣ ἀπέχει ἀπὸ Σάρδεων τριῶν ἡμερῶν ὁδόν.

ί. Καὶ μέχρι τύτυ τῆ χρόνυ ἐν εἰρήνη διῆγον Τισσαφέρνης τε καὶ Δερκυλλίδας, καὶ οἱ ταύτῃ Ελληνες καὶ οἱ Βάρ-

retur. Ita murus ante autumnum absolutus fuit, quum verno tempore inchoatus esset. Intra murum ipsum Dercyllidas vndecim oppida, portus plures, agrum partim frumentarium amplum ac fertilem, partim consitum, permulta denique pulcherrimaque pascua, in vsum omnis generis iumentorum, complexus est.

9. His ita confectis, rursus in Asiam traiicit: quumque inspiceret oppida, caetera quidem recte se habere videbat: tantum Chiorum exules Atarna occupasse comperit; oppidum munitum, vnde, factis excursionibus, Ioniam populando se alerent. Et quamuis magnam Atarnis frumenti copiam esse intelligeret, nihilo tamen minus castris circumdatam obsedit; et octauo mense compulsis ad deditionem faciendam obsessis, loci curam Draconti Pellenensi committit: ipse largissima commeatus copia in eum conuecta, vt illuc veniens diuersorium haberet, Ephesum contendit, itinere tridui sitam a Sardibus.

10. Coluerant inter se pacem hactenus Tissaphernes et Dercyllidas, itidemque Graeci habi-

βάρβαροι. ἐπεὶ δὲ ἀφικνούμενοι πρέσβεις ἐς Λακεδαίμονα ἀπὸ τῶν Ἑλληνίδων πόλεων ἐδίδασκον, ὅτι εἴη ἐπὶ Τισσαφέρνει, εἰ βούλοιτο, ἀφιέναι αὐτονόμους τὰς Ἑλληνίδας πόλεις· εἰ δ' ἂν κακῶς πάσχει Καρία, ἔνθαπερ ὁ Τισσαφέρνους οἶκος, ἕως ἂν ἔφασαν τάχιστα νομίζειν αὐτὸν συγχωρήσειν αὐτονόμους σφᾶς ἀφιέναι· ἀκούσαντες ταῦτα οἱ Ἔφοροι ἔπεμψαν πρὸς Δερκυλλίδαν, καὶ ἐκέλευον αὐτὸν διαβαίνειν σὺν τῷ στρατεύματι ἐπὶ Καρίαν, καὶ Φάραξα τὸν ναύαρχον σὺν ταῖς ναυσὶ παραπλεῖν.

ια'. Οἱ μὲν δὴ ταῦτ' ἐποίουν. ἐτύγχανε δὲ κατὰ τοῦτον τὸν χρόνον καὶ Φαρνάβαζος πρὸς Τισσαφέρνην ἀφιγμένος, ἅμα μὲν ὅτι στρατηγὸς τῶν πάντων ἀπεδέδεικτο Τισσαφέρνης, ἅμα δὲ διαμαρτυρόμενος, ὅτι ἕτοιμος εἴη κοινῇ πολεμεῖν, καὶ ξυμμάχεσθαι, καὶ συνεκβάλλειν τοὺς Ἕλληνας ἐκ τῆς βασιλέως. ἄλλως τε γὰρ ὑπεφθόνει τῆς στρατηγίας τῷ Τισσαφέρνει, καὶ τῆς Αἰολίδος χαλεπῶς ἔφερεν ἀπεστερημένος. ὁ δ' ἀκούων, πρῶτον μὲν τοίνυν, ἔφη, διάβηθι σὺν ἐμοὶ ἐπὶ Καρίαν, ἔπειτα δὲ καὶ περὶ τούτων βουλευσόμεθα.

tantes in his finibus, ac barbari. Verum poſteaquam legati Graecorum oppidorum Lacedaemonem profecti ſignificaſſent, poſſe Tiſſaphernem, ſi velit, Graeci nominis oppida ſui iuris efficere: atque addidiſſent, exiſtimare ſe, ſtatim ipſum permiſſurum eis, vt arbitratu ſuo rempublicam adminiſtrarent, ſi Caria, domicilium Tiſſaphernis, infeſtaretur: auditis his, Ephori ad Dercyllidam mittunt, et cum copiis eum in Cariam traiicere iubent. Praeterea Pharaci praefecto claſſis imperant, vti cum nauibus oram Cariae legeret.

11. Atque haec quidem ab iis gerebantur. Forte tunc Pharnabazus etiam ad Tiſſaphernem venerat, partim quod is imperator omnium deſignatus eſſet, partim vt teſtaretur, ſe paratum eſſe ad gerendum communi nomine bellum, ineundamque ſocietatem, quo Graeci finibus regis eiicerentur. Nam caeteroqui ſummum imperium Tiſſapherni Pharnabazus inuidebat, et Aeolia ſe ſpoliatum eſſe grauiter ferebat. Tiſſaphernes, quum haec e Pharnabazo audiret; Primum, inquit, mecum in Cariam tranſito, deinde de his conſulta-

βελευσόμεθα. ἐπεὶ δ' ἐκεῖ ἦσαν, ἔδοξεν αὐτοῖς, ἱκανὰς φυλακὰς ἐς τὰ ἐρύματα καταστήσαντας, διαβαίνειν πάλιν ἐπὶ τὴν Ιωνίαν.

ιβ'. Ως δ' ἤκουσεν ὁ Δερκυλλίδας ὅτι πάλιν πεπερακότες εἰσὶ τὸν Μαίανδρον, εἰπὼν τῷ Φάρακι, ὡς ὀκνοίη μὴ ὁ Τισσαφέρνης καὶ ὁ Φαρνάβαζος ἐρήμην ὕστερον καταθέοντες φέρωσι καὶ ἄγωσι τὴν χώραν, διέβαινε καὶ αὐτός. πορευόμενοι δὲ καὶ ὅτοι ὁδέν τι συντεταγμένῳ τῷ στρατεύματι, ὡς προεληλυθότων τῶν πολεμίων ἐς τὴν Ἔφεσίαν, ἐξαίφνης ὁρῶσιν ἐκ τοῦ ἀντιπέρας σκοποῦ ἐπὶ τῶν μνημάτων, καὶ ἀναβεβάσαντες ἐς τὰ παρ' ἑαυτοῖς μνημεῖα καὶ τύρσεις τινὰς, καθορῶσι παρατεταγμένους ἦ αὐτοῖς ἦν ἡ ὁδὸς, Κάρας τε λευκάσπιδας, καὶ τὸ Περσικὸν, ὅσον ἐτύγχανε παρὸν στράτευμα, καὶ τὸ Ελληνικὸν, ὅσον εἶχεν ἑκάτερος αὐτῶν, καὶ τὸ ἱππικὸν μάλα πολὺ, τὸ μὲν Τισσαφέρνους, ἐπὶ τῷ δεξιῷ κέρατι, τὸ δὲ Φαρναβάζου, ἐπὶ τῷ εὐωνύμῳ.

ιγ'. Ως δὲ ταῦτα ἤσθετο ὁ Δερκυλλίδας, τοῖς μὲν ταξιάρχοις

consultabimus. Quum in Cariam transiissent, impositis in munitiones praesidiis, quae sufficerent, rursus eis in Ioniam transire visum est.

12. Dercyllidas autem, vbi rursus eos Maeandrum transmisisse accepisset; habito cum Pharace colloquio, quo vereri se ostendebat, ne Tissaphernes ac Pharnabazus Ioniam a praesidiis nudam percurrendo popularentur: et ipse Maeandrum transiit. Incedebant hi cum copiis vllo absque ordine, quod hostes ante se agrum Ephesiorum ingressos scirent, quum subito de aduersa eos specula in monumentis conspiciunt: ipsique contra, quibusdam suorum in monumenta, quae penes se erant, ac turres ascendere iussis; propter viam, qua ipsis erat pergendum, aciem instructam vident, nimirum Cares cum scutis albis, Persicas item copias, quotquot aderant, et Graecas, quas habebat vterque, et ingentem equitatum, cuius pars ea, quae Tissaphernis erat, cornu dextrum obtinebat; altera Pharnabazi, sinistrum.

13. Id quum Dercyllidas sensisset, tribunis et cohortium

ἄρχοις καὶ τοῖς λοχαγοῖς εἶπε παρατάττεσθαι τὴν ταχίστην ἐς ὀκτώ, τοὺς δὲ πελταστὰς ἐπὶ τὰ κράσπεδα ἑκατέρωθεν μὲν καθίσασθαι, καὶ τοὺς ἱππέας ὅσους γε δὴ καὶ οἵους ἐτύγχανεν ἔχων. αὐτὸς δὲ ἐθύετο. ὅσον μὲν δὴ ἦν ἐκ Πελοποννήσου στράτευμα ἡσυχίαν εἶχε, καὶ παρεσκευάζετο ὡς μαχούμενον· ὅσοι δὲ ἦσαν ἀπὸ Πριήνης τε καὶ Ἀχιλλείου, καὶ ἀπὸ νήσων, καὶ τῶν Ἰωνικῶν πόλεων, οἱ μέν τινες καταλιπόντες ἐν τῷ σίτῳ τὰ ὅπλα, ἀπεδίδρασκον· (καὶ γὰρ ἦν βαθὺς ὁ σῖτος ἐν τῷ Μαιάνδρου πεδίῳ) ὅσοι δὲ καὶ ἔμενον, δῆλοι ἦσαν ὰ μενοῦντες.

ιδ'. Τὸν μὲν δὴ Φαρνάβαζον ἐξηγγείλατο μάχεσθαι κελεύειν. ὁ μέντοι Τισσαφέρνης, τό, τε Κύρειον στράτευμα καταλογιζόμενος ὡς ἐπολέμησεν αὐτοῖς, καὶ τοῦτο πάντας νομίζων ὁμοίους εἶναι τοὺς Ἕλληνας, ὰν ἐβούλετο μάχεσθαι· ἀλλὰ πέμψας πρὸς Δερκυλλίδαν, εἶπεν ὅτι ἐς λόγους βούλοιτο αὐτῷ ἀφικέσθαι. καὶ ὁ Δερκυλλίδας, λαβὼν τοὺς κρατίστους τὰ εἴδη τῶν περὶ αὐτὸν ἱππέων καὶ πεζῶν,

praefectis imperat, vt quam celerrime in octonos aciem inſtruerent, cetratis et equitibus, quot quidem et quales id temporis habebat, ad margines vtrinque collocatis: ipſe interim exta conſulit. Tum quotque erant e Peloponneſo milites, tranquilli ſubſiſtebant, et ad praelium ſe parabant. At quotquot Prienenſes et Achillienſes aderant, itemque de inſulis et oppidis Ionicis, eorum nonnulli, relictis in ſegete armis, fuga ſibi conſulebant: (et erat tunc denſa in Maeandri planitie ſeges) de aliis, qui ſubſiſtebant, animaduerti poterat, minime tamen ipſos in acie manſuros.

14. Nuntiabatur, Pharnabazum proelii committendi hortatorem fuiſſe: verum Tiſſaphernes, qui ſecum ipſe cogitaret, quo pacto Cyri milites aduerſus ipſos pugnaſſent, eiſque Graecos omnes ſimiles eſſe arbitraretur, vt proelium iniret, adduci non poterat. Adeoque miſſis ad Dercyllidam ſuis, cupere ſe cum ipſo in colloquium venire ſignificabat. Tum Dercyllidas ex ſuis equitibus ac peditibus praeſtantiſſimos adſpectu quosque ſecum ſumens, ad nuntios

ζῶν, προῆλθε πρὸς τὰς ἀγγέλους, καὶ εἶπεν· Αλλὰ παρεσκευασάμην μὲν ἔγωγε μάχεσθαι, ὡς ὁρᾶτε· ἐπεὶ μέντοι ἐκεῖνος βούλεται ἐς λόγους ἀφικέσθαι, οὐδ' ἐγὼ ἀντιλέγω. ἂν μέντοι ταῦτα δέῃ ποιεῖν, πίστεις καὶ ὁμήρους δοτέον καὶ ληπτέον. δόξαντα δὲ ταῦτα καὶ περανθέντα, τὰ μὲν στρατεύματα ἀπῆλθε, τὸ μὲν βαρβαρικὸν, ἐς Τράλλεις τῆς *Φρυγίας, τὸ δὲ Ελληνικὸν, ἐς Λευκόφρυν, ἔνθα ἦν Αρτέμιδος ἱερὸν μάλα ἅγιον, καὶ λίμνη πλέον ἢ σταδίου, ὑπόψαμμος, ἀένναος, ποτίμου καὶ θερμοῦ ὕδατος.

ιε'. Καὶ τότε μὲν ταῦτα ἐπράχθη. τῇ δὲ ὑστεραίᾳ ἐς τὸ συγκείμενον χωρίον ἦλθον, καὶ ἔδοξεν αὐτοῖς πυθέσθαι ἀλλήλων, ἐπὶ τίσιν ἂν τὴν εἰρήνην ποιήσαιντο. ὁ μὲν δὴ Δερκυλλίδας εἶπεν, εἰ αὐτονόμους ἐᾷη βασιλεὺς τὰς Ελληνίδας πόλεις. ὁ δὲ Τισσαφέρνης καὶ Φαρνάβαζος εἶπον, ὅτι εἰ ἐξέλθοι τὸ Ελληνικὸν στράτευμα ἐκ τῆς βασιλέως χώρας, καὶ οἱ Λακεδαιμονίων ἁρμοσταὶ ἐκ τῶν πόλεων. ταῦτα δ' εἰπόντες ἀλλήλοις σπονδὰς ἐποιήσαντο, ἕως ἀπαγγελ-

tios prodit, et his eos verbis compellat: Ego vero paratus eram, inquit, proelio decernere, quemadmodum videtis. Quia tamen mecum colloqui Tiſſaphernes cupit, ne id quidem detrecto. Verum ſi colloquium inſtituendum erit, pignora fidei et obſides vltro citroque dandi ſunt. His et approbatis, et executioni mandatis, vterque diſceſſit exercitus: barbarorum, Tralles, oppidum Phrygiae: Graecorum, Leucophryn: quo loco Dianae fanum erat imprimis ſacroſanctum, et ſtagnum maius ſtadii amplitudine, nonnihil arenoſum, aqua iugi, potabili, calida.

15. Haec tum fuere geſta. Poſtridie loco conſtituto conueniunt, et viſum eſt vtrinque audiendum, quibus conditionibus pax iniri poſſit. Heic Dercyllidas aiebat, ſi rex oppida Graeci nominis legibus et inſtitutis ſuis vti ſineret: contra Tiſſaphernes et Pharnabazus, ſi Graecae copiae regis e finibus, et Lacedaemoniorum praefecti oppidis excederent. Haec inter ſe loquuti quum eſſent, inducias pacti ſunt, donec de iis, quae acta inter ipſos fuiſſent,

* Al. Καρίας.

ἀπαγγελθείη τὰ λεχθέντα, Δερκυλλίδᾳ μὲν, ἐς Λακεδαίμονα, Τισσαφέρνει δὲ, ἐπὶ βασιλέα.

ις'. Τούτων δὲ πραττομένων ἐν τῇ Ασίᾳ ὑπὸ Δερκυλλίδα, Λακεδαιμόνιοι κατὰ τὸν αὐτὸν χρόνον, πάλαι ὀργιζόμενοι τοῖς Ηλείοις, καὶ ὅτι ἐποιήσαντο ξυμμαχίαν πρὸς Αθηναίους καὶ Αργείους καὶ Μαντινέας, καὶ ὅτι δίκην φάσκοντες καταδεδικάσθαι αὐτῶν, ἐκώλυον καὶ τοῦ ἱππικοῦ καὶ τοῦ γυμνικοῦ ἀγῶνος. καὶ ὁ μόνον ταῦτ' ἦρκει, ἀλλὰ καὶ † Λείχα παραδόντες Θηβαίοις τὸ ἅρμα, ἐπεὶ ἐκηρύττοντο νικῶντες, ὅτε εἰσῆλθε Λείχας στεφανώσων τὸν ἡνίοχον, μαστιγοῦντες αὐτὸν, ἄνδρα γέροντα, ἐξήλασαν. τούτων δὲ ὕστερον, καὶ Αγιδος πεμφθέντος θῦσαι τῷ Διὶ κατὰ μαντείαν τινὰ, ἐκώλυον οἱ Ηλεῖοι μὴ προσεύχεσθαι νίκην πολέμου, λέγοντες ὡς καὶ τὸ ἀρχαῖον εἴη ὧδε νόμιμον, μὴ χρησηριάζεσθαι τοὺς Ελληνας ἐφ' Ελλήνων πολέμῳ ὥστε ἄθυτος ἀπῆλθεν.

ιζ'. Ἐκ τούτων δὴ πάντων ὀργιζομένοις ἔδοξε τοῖς Εφόροις

Dercyllidas quidem Lacedaemonem; Tiſſaphernes vero ad regem retuliſſet.

16. Eodem hoc tempore, quo iſta Dercyllidas in Aſia gerebat, hoc quoque contigit: Succenſebant Eleis iamdudum Lacedaemonii, quod et ſocietatem cum Athenienſibus, Argiuis, Mantineis coiuiſſent; et Lacedaemonios equeſtri gymnicoque certamine arcerent, quos indictam lata ſententia multam ſibi debere dicerent. Quanquam Elei non hoc ſolo contenti, etiam Lichae curru Thebanis tradito, qui victores a praeconibus proclamabantur, ingreſſum Licham ad coronandum aurigam ſuum, flagris caedentes, hominem aetate iam prouecta, expulerant. Ac praeter haec, interiecto aliquo temporis ſpatio, quum miſſus eſſet Agis, vt ex oraculi cuiuſdam praeſcripto Ioui ſacrificaret; prohibuerant Elei, ne vota de proſpero belli euentu ab eo fierent, quod eſſe dicerent in more maiorum, ne qui Graeci bellum aduerſus Graecos moturi, oracula conſulerent: quo factum erat, vt Agis, re ſacra non peracta, diſcederet.

17. His, inquam, de cauſſis quum ſuccenſerent Eleis Lacedaemonii,

† Conſule Thucydidem Lib. 5. p. 322. Sect. 50. *Oxon.* Ed.

ἐφόροις

ροις καὶ τῇ ἐκκλησίᾳ σωφρονίσαι αὐτούς. πέμψαντες οὖν πρέσβεις ἐς Ηλιν, εἶπον, ὅτι τοῖς τέλεσι τῶν Λακεδαιμονίων δίκαιον δοκοίη εἶναι, ἀφιέναι αὐτοὺς τὰς περιοικίδας πόλεις αὐτονόμους. ἀποκριναμένων δὲ τῶν Ηλείων, ὅτι ἃ ποιήσειαν ταῦτα· (ἐπιλησίδας γὰρ ἔχοιεν τὰς πόλεις) φρενοβλαβῆ ἔφηναν οἱ Εφοροι. ἄγων δὲ τὸ στράτευμα Αγις ἐνέβαλε διὰ τῆς Αχαΐας ἐς τὴν Ηλείαν κατὰ Λάρισσαν. ἄρτι δὲ τοῦ στρατεύματος ἐν τῇ πολεμίᾳ ὄντος, καὶ κοπτομένης τῆς χώρας, σεισμὸς ἐπιγίγνεται. ὁ δ' Αγις, θεῖον ἡγησάμενος, ἐξελθὼν πάλιν ἐκ τῆς χώρας, διαφῆκε τὸ στράτευμα. ἐκ δὲ τούτου οἱ Ηλεῖοι πολὺ θρασύτεροι ἦσαν, καὶ διεπρεσβεύοντο πρὸς τὰς πόλεις, ὅσας δυσμενεῖς ὄντας τοῖς Λακεδαιμονίοις ᾔδεσαν.

ιή. Περιιόντι δὲ τῷ ἐνιαυτῷ, φαίνεσι πάλιν οἱ Εφοροι φρενοβλαβῆ ἐπὶ τὴν Ηλιν, καὶ ξυνεστράτευόντο τῷ Αγιδι, πλὴν Βοιωτῶν καὶ Κορινθίων, οἵ τε ἄλλοι ξύμμαχοι, καὶ οἱ Αθηναῖοι. ἐμβαλόντος δὲ τοῦ Αγιδος δι' Αὐλῶνος, εὐθὺς μὲν Λεπρεᾶται, ἀποστάντες τῶν Ηλείων, προσεχώρησαν αὐτῷ·

daem onii, decretum ab Ephoris et conuentu publico factum eſt, quo ſtatuebatur, eſſe coercendam Eleorum inſolentiam. Quapropter miſſis Elidem legatis denuntiant, aequum videri Lacedaemoniorum magiſtratibus, vt Elei vicina oppida legibus et inſtitutis ſuis vti permitterent. Ad quae quum illi reſpondiſſent, nequaquam id ſe facturos, qui haec oppida iure belli acquiſiuiſſent; copias aduerſus eos ducendas Ephori decreuerunt. Eum exercitum Agis ducens, per Achaiam non procul a Lariſſa Eleorum agrum eſt ingreſſus. Quumque iam in hoſtico eſſet exercitus, ac regio vaſtaretur, terra concuti coepit. Tum Agis, qui diuinitus hoc accidiſſe prodigii duceret, relicto Eleorum agro, dimiſit exercitum. Ex eo longe facti audaciores Elei, legatos ad eas vrbes mittebant, quotquot infeſtas eſſe Lacedaemoniis ſcirent.

18. Atque hoc anno elapſo, rurſus Ephori copias aduerſus Elidem decernunt, ſequentibus Agidis ſigna tum aliis ſociis, tum Athenienſibus; exceptis Boeotis, et Corinthiis. Quumque per Aulonem Agis copias in hoſticum duceret, mox Lepreatae ab Eleis defectione facta, ad ipſius

τῷ· εὐθὺς δὲ Μακίστιοι, ἑπόμενοι δ' *Επιταλιεῖς. διαβαίνοντι δὲ τὸν ποταμὸν προσεχώρουν Λεπρεῖνοι, καὶ Αμφίδολοι, καὶ Μαργανεῖς.

ιθ'. Εκ δὲ τούτου ἐλθὼν εἰς Ολυμπίαν, ἔθυε τῷ Διὶ τῷ Ολυμπίῳ, κωλύειν δὲ οὐδεὶς ἔτι ἐπειρᾶτο. θύσας δὲ, πρὸς τὸ ἄστυ ἐπορεύετο, κόπτων καὶ καίων τὴν χώραν, καὶ ὑπέρπολλα μὲν κτήνη, ὑπέρπολλα δὲ ἀνδράποδα ἠλίσκετο ἐκ τῆς χώρας· ὥστε ἀκούοντες καὶ ἄλλοι πολλοὶ τῶν Αρκάδων καὶ Αχαιῶν, ἑκόντες ἦσαν συστρατευσόμενοι, καὶ μετεῖχον τῆς ἁρπαγῆς. καὶ ἐγένετο αὕτη ἡ στρατεία ὥσπερ ἐπισιτισμὸς τῇ Πελοποννήσῳ. ἐπεὶ δὲ ἀφίκετο πρὸς τὴν πόλιν, τὰ μὲν προάστεια καὶ τὰ γυμνάσια καλὰ ὄντα ἐλυμαίνετο· τὴν δὲ πόλιν (ἀτείχιστος γὰρ ἦν) ἐνόμισαν αὐτὸν μὴ βούλεσθαι μᾶλλον, ἢ μὴ δύνασθαι ἑλεῖν.

κ'. Δημένης δὲ τῆς χώρας, καὶ ὅσης τῆς στρατιᾶς περὶ Κυλλήνην, βουλόμενοι οἱ περὶ Ξενίαν, τὸ λεγόμενον, μεδίμνῳ ἀπομετρήσασθαι ** παρὰ τοῦ πατρὸς ἀργύριον, δι' αὐτῶν προσχω-

se partes adiungebant. Idem ſtatim et Maciſtii, et his proximi Epitalienſes fecere. Poſt vbi tranſiiſſet amnem, dedunt ei ſe Leprini, Amphidoli, Marganenſes.

19. Deinde profectus Olympiam, nemine amplius prohibente, Ioui Olympio rem ſacram facit. Peracto ſacrificio, verſus vrbem pergebat, agrum ferro et igni vaſtans, atque ex eo permulta tum iumenta tum mancipia ſecum auferens. Adeoque complures et Arcades et Achaei, quum haec audirent, ſponte ſua ſe ad exercitum Agidis conferebant, et in praedae partem aliquam admittebantur. Quo factum, vt haec expeditio quaſi quaedam in Peloponneſo frumentatio fuerit. Ad vrbem ventum quum eſſet, ſuburbana et gymnaſia, ſane pulchra, vaſtabat Agis: vrbem vero, quae quidem munita non erat, non tam ipſum exiſtimabant haud potuiſſe, quam non voluiſſe occupare.

20. Interim dum vaſtatur Eleorum ager, ac propter Cyllenen agit exercitus; Xeniae complices, ſpe metiendi medimno argentum paternum, quod dici ſolet, Eleos ad Lacedaemonios accedere ſua volentes

* Al. δὲ Πετελιεῖς. ** Al. τὸ παρὰ τοῦ πατρός.

προσχωρῆσαι τοῖς Λακεδαιμονίοις, ἐκπεσόντες ἐξ οἰκίας ξίφη ἔχοντες σφαγὰς ποιῶσι, καὶ ἄλλους τέ τινας ἀποκτείνωσι, καὶ ὅμοιόν τινα Θρασυδαίῳ ἀποκτείναντες τῷ τοῦ δήμου προστάτῃ, ᾤοντο Θρασυδαῖον ἀπεκτονέναι. ὥστε ὁ μὲν δῆμος παντελῶς κατηθύμησε, καὶ ἡσυχίαν εἶχεν· οἱ δὲ σφαγεῖς πάντ' ᾤοντο πεπραγμένα εἶναι, καὶ οἱ ὁμογνώμονες αὐτοῖς ἐξεφέροντο τὰ ὅπλα ἐς τὴν ἀγοράν. ὁ δὲ Θρασυδαῖος ἔτι καθεύδων ἐτύγχανεν ἔπερ ἐμεθύθη. ὡς δὲ ἤθετο ὁ δῆμος ὅτι ὁ τέθνηκεν ὁ Θρασυδαῖος, περιεπλήθη ἡ οἰκία ἔνθεν καὶ ἔνθεν, ὥσπερ ὑπὸ ἐσμοῦ μελιττῶν ὁ ἡγεμών. ἐπειδὴ δὲ ἠγεῖτο ὁ Θρασυδαῖος ἀναλαβὼν τὸν δῆμον, γενομένης μάχης ἐκράτησεν ὁ δῆμος. ἐξέπεσον δὲ πρὸς τοὺς Λακεδαιμονίους οἱ ἐγχειρήσαντες ταῖς σφαγαῖς.

κα'. Ἐπεὶ δ' αὖ ὁ Αγις ἀπιὼν διέβη πάλιν τὸν Αλφειὸν, φρουρὸς καταλιπὼν ἐν Επιταλίῳ, πλησίον τοῦ Αλφειοῦ, καὶ Λύσιππον ἁρμοστὴν, καὶ τοὺς ἐξ Ηλιδος φυγάδας, τὸ μὲν στράτευμα

lentes opera, cum gladiis ex aedibus eruptione facta, caedes edunt: quumque nonnullos interfeciſſent, et inter eos quendam, qui Thraſydaeum populi ducem facie referret; ipſum Thraſydaeum ſe peremiſſe opinabantur. Quo fiebat, vt populus quidem, animis protinus deiectis, ſe tranquille contineret: percuſſores autem omnia ſibi confecta putarent, eorumque complices in forum arma transferrent. At enim Thraſydaeus forte tunc ibidem adhuc dormiebat, vbi ad ebrietatem potauerat. Quamobrem vt intellectum fuit a populo, Thraſydaeum necdum interfectum eſſe: hinc inde domum illam circumfudere, quemadmodum examen apum ducem ſuum circumdare conſueuit. Ille populo collecto ſe ducem praebens, pugnam committit; in qua populus victoria potitus eſt. Tum extra vrbem ad Lacedaemonios illi ſe conferunt, qui caedium auctores extiterant.

21. Agis, Alpheo traiecto, diſcedens, quum Epitalio, propter Alpheum amnem, praeſidiarios, et Lyſippum praetorem, vna cum Eleis exulibus impoſuiſſet, dimiſit exercitum:

στράτευμα διῆκεν, αὐτὸς δὲ οἴκαδε ἀπῆλθε. καὶ τὸ μὲν λοιπὸν θέρος, καὶ τὸν ἐπιόντα χειμῶνα, ὑπὸ τῶν Λυσίππου καὶ τῶν περὶ αὐτὸν ἐφέρετο καὶ ἤγετο ἡ τῶν Ἠλείων χώρα. τῷ δ' ἐπιόντος θέρους πέμψας Θρασυδαῖος εἰς Λακεδαίμονα, ξυνεχώρησε σφέας τε τὸ τεῖχος περιελεῖν, καὶ Κυλλήνην, καὶ τὰς Τριφυλλίδας πόλεις ἀφεῖναι, Φρίξαν, καὶ Ἐπιτάλιον, καὶ Λεπρέαν, καὶ Ἀμφιδόλους, καὶ Μαργανεῖς· πρὸς δὲ ταύταις, καὶ Ἀκρωρίους, καὶ Λασιῶνα, τὸν ὑπ' Ἀρκάδων * λεγόμενον.

κβ'. Ἦπειον μέντοι, τὴν μεταξὺ πόλιν Ἡραίας καὶ Μαντίνου, ἠξίουν οἱ Ἠλεῖοι ἔχειν. πριάσθαι γὰρ ἔφασαν τὴν χώραν ἅπασαν παρὰ τῶν τότε ἐχόντων τὴν πόλιν, τριάκοντα ταλάντων, καὶ τὸ ἀργύριον δεδωκέναι. οἱ δὲ Λακεδαιμόνιοι, γνόντες μηδὲν δικαιότερον εἶναι βίᾳ πριαμένους, ἢ βίᾳ ἀφελομένους παρὰ τῶν ἡττόνων λαμβάνειν, ἀφιέναι καὶ ταύτην ἠνάγκασαν. τῷ μέντοι προεστάναι τῷ Διὸς τῷ Ὀλυμπίου ἱερῷ, καίπερ οὐκ ἀρχαίου Ἠλείοις ὄντος, οὐκ ἀπήλασαν αὐτούς· νομίζοντες τοὺς ἀντιποιουμένους χωρίτας εἶναι,

citum: atque ipſe domum profectus eſt. Quod reliquum erat aeſtatis, itemque ſubſequens hyems, a Lyſippo, et militibus eius, diripiendo Eleorum agro conſumitur. Aeſtate proxima Thraſydaeus, miſſis Lacedaemonem ſuis, de muro deiiciendo adſenſus eſt, et de dimittenda Cyllene, atque aliis oppidis Triphyliae, nimirum Phrixa, Epitalio, Leprina, Amphidolis, Marganenſibus: item Acroriis et Laſione, quam Arcades ſibi vindicabant.

22. Epeum tamen, ſitum inter Maciſtum et Heraeam oppidum, Elei ſibi relinqui poſtulabant. Nam agrum illum omnem ſe triginta talentis emiſſe ab iis aiebant, qui prius oppidum poſſediſſent, eamque pecuniam perſolutam eſſe. Lacedaemonii vero, qui nihilo iudicarent aequius eſſe, vi aliquid ementem, ac vi auferentem inferioribus extorquere; cogebant eos hanc quoque liberam dimittere. Neque tamen vetabant, quominus Elei Iouis Olympii fano praeeſſent, quamquam id antiquitus non obtinuiſſent. Exiſtimabant enim, illos qui depoſcere id ſibi vellent, ruſticos eius agri eſſe; nec ſatis

* Al. ἀντιλεγόμενον.

εἶναι, καὶ ὐχ ἱκανὰς προεσάναι. τούτων δὲ συγχωρηθέντων, εἰρήνη τε γίγνεται καὶ ξυμμαχία Ηλείων πρὸς Λακεδαιμονίους. καὶ ἕτω μὲν δὴ ὁ Λακεδαιμονίων καὶ Ηλείων πόλεμος ἔληξε.

ΚΕΦ. γ'.

Μετὰ δὲ τοῦτο Αγις ἀφικόμενος ἐς Δελφοὺς, καὶ τὴν δεκάτην ἀποθύσας, πάλιν ἀπιὼν, ἔναμεν ἐν Ηραίᾳ, γέρων ἤδη ὢν, καὶ ἀπηνέχθη μὲν ἐς Λακεδαίμονα ἔτι ζῶν, ἐκεῖ δὲ ταχὺ ἐτελεύτησε· καὶ ἔτυχε σεμνοτέρας, ἢ κατὰ ἄνθρωπον, ταφῆς. ἐπεὶ δὲ, ὡς εἰώθεσαν, αἱ ἡμέραι παρῆλθον, καὶ ἔδει βασιλέα καθίσαθαι, ἀντέλεγον περὶ βασιλείας, Λεωτυχίδης, υἱὸς φάσκων Αγιδος εἶναι, Αγησίλαος δὲ, ἀδελφός.

β'. Εἰπόντος δὲ τῷ Λεωτυχίδῃ· ἀλλ' ὁ νόμος, ὦ Αγησίλαε, ὐκ ἀδελφὸν, ἀλλ' υἱὸν βασιλέως βασιλεύειν κελεύει· εἰ δὲ υἱὸς ὢν μὴ τυγχάνοι, * ὁ ἀδελφὸς βασιλεύοι· ἐμὲ ἂν δέοι, ἔφη ὁ Αγησίλαος, πῶς, ἐμοῦ γε ὄντος; ὅτι ὄντινα καλεῖς πατέρα, ὐκ ἔφη σε εἶναι ἑαυτῷ, ἀλλ'

satis ad hoc idoneos, vt fano praeessent. De his quum conveniisset, inita pax est, et societas, inter Lacedaemonios et Eleos. Atque hic fuit eius inter Eleos et Lacedaemonios belli exitus.

CAP. III.

Secundum haec Delphos profectus Agis, quum decumam obtulisset; in reditu iam senex apud Heraeam aegrotare coepit, ac viuus Lacedaemonem deportatus, statim mortem obiit: sepulturam nactus augustiorem, quam quae homini conueniret. Posteaquam de more dies aliquot elapsi essent, ac iam regem designari oporteret: contendebant inter se de regno Leotychides, qui se Agidis filium perhiberet; atque Agesilaus, Agidis frater.

2. Quumque Leotychides diceret, iubere legem, vt non frater regis, sed filius regno potiatur; ac si forte filius nullus exstet, fratrem in regno succedere: Me igitur regem esse oportet, subiecit Agesilaus. At qui illud, me superstite? Quod is, quem tu patrem appellas, suum te esse negauerit. Atque

* Al. ὁ ἀδελφὸς βασιλεύοι.

ἀλλ' ἡ πολὺ κάλλιον ἐκείνῃ εἰδυῖα μήτηρ καὶ νῦν ἔτι φησίν. ἀλλ' ὁ Ποσειδῶν ὡς μάλα σοι ψευδομένῳ κατεμήνυσεν, ἐκ τῆ θαλάμῃ ἐξελάσας σεισμῷ ἐς τὸ φανερὸν τὸν σὸν πατέρα· συνεμαρτύρησε ταῦτ' αὐτῷ καὶ ὁ ἀληθέστατος λεγόμενος χρόνος εἶναι· ἀφ' ἧ γάρ τοι ἔφυγε, καὶ ἐκ ἐφάνη ἐν τῷ θαλαμῷ, δεκάτῳ μηνὶ ἐγένῃ.

γ'. Οἱ μὲν τοιαῦτ' ἔλεγον. Διοπείθης δὲ, μάλα χρησμολόγος ἀνὴρ, Λεωτυχίδῃ ξυναγορεύων εἶπεν· ὡς καὶ Απόλλωνος χρησμὸς εἴη, Φυλάξασθαι τὴν χωλὴν βασιλείαν. Λύσανδρος δὲ πρὸς αὐτὸν ὑπὲρ Αγησιλάῃ ἀντεῖπεν, ὡς ἐκ οἴοιτο τὸν Θεὸν τῆτο κελεύειν φυλάξασθαι, μὴ προσπταίσας τις χωλεύσῃ, ἀλλὰ μᾶλλον μὴ ἐκ ὢν τῆ γένῃς βασιλεύσῃ. παντάπασι γὰρ ἂν χωλὴν εἶναι τὴν βασιλείαν, ὁπότε μὴ ἀφ' Ηρακλέῃς τῆς πόλεως ἡγοῖντο.

δ'. Τοιαῦτα δ' ἀκήσασα ἡ πόλις ἀμφοτέρων, Αγησίλαον εἵλοντο βασιλέα. ἔπω δ' ἐνιαυτὸν ὄντος ἐν τῇ βασιλείᾳ·

Atque id etiam modo profitetur mater, quae rem longe certius ipſo tenet. Quin et Neptunus admodum mentiri te ſignificauit, quod patrem tuum terrae motu e cubiculo in hominum conſpectum expulerit. Eſt itidem teſtimonio tempus ipſum, quod eſſe veraciſſimum perhibetur. Nam poſt illud tempus, quo fugit, et amplius in cubiculo conſpectus non fuit, tu menſe natus es decimo.

3. Huiuſmodi ab eis in medium proferebantur, et Diopithes inſigniter oraculorum gnarus, Leotychidae cauſſam adiuuans, aiebat etiam profectum ab ipſo Apolline oraculum eſſe, quo ſignificaretur, regnum claudum vitari debere. Cui Lyſander pro Ageſilao reſpondebat, exiſtimare ſe, non hoc ab Apolline praecipi, vt caueatur, ne quis offendens ad aliquid claudicet: ſed id potius, ne quis alienus a regia familia regno potiatur. Omnino enim regnum fore claudum, vbi non orti ab Hercule reipublicae ſint praefuturi.

4. Haec vt ex ambobus intellexit ciuitas, Ageſilaum regem deſignat. Is quum necdum anni vnius ſpatio regnum obtinuiſſet,

σιλείᾳ Αγησιλάῳ, θύοντος αὐτῷ τῶν τεταγμένων τινὰ θυσιῶν ὑπὲρ τῆς πόλεως, εἶπεν ὁ μάντις, ὅτι ἐπιβολήν τινα τῶν δεινοτάτων φαίνοιεν οἱ Θεοί. ἐπεὶ δὲ πάλιν ἔθυσεν, ἔτι δεινότερα ἔφη τὰ ἱερὰ φαίνεσθαι. τὸ τρίτον δὲ θύοντος, εἶπεν· ὦ Αγησίλαε, ὥσπερ εἰ ἐν αὐτοῖς εἴημεν τοῖς πολεμίοις, ὕτω μοι σημαίνεται. ἐκ δὲ τούτου θύοντες καὶ τοῖς ἀποτροπαίοις καὶ τοῖς σωτῆρσι, καὶ μόλις καλλιερήσαντες, ἐπαύσαντο.

ε'. Ληγούσης δὲ τῆς θυσίας, ἐντὸς πέμπτου ἡμερῶν κατηγορεύει τις πρὸς τοὺς Ἐφόρους ἐπιβολὴν, καὶ τὸν ἀρχηγὸν τοῦ πράγματος Κινάδωνα. ἦτος δ' ἦν καὶ τὸ εἶδος νεανίσκος καλὸς καὶ τὴν ψυχὴν εὔρωστος, οὐ μέντοι τῶν ὁμοίων. ἐρομένων δὲ τῶν Ἐφόρων, πῶς φαίη τὴν πρᾶξιν ἔσεσθαι, εἶπεν ὁ εἰσαγγείλας, ὅτι ὁ Κινάδων ἀγαγὼν αὐτὸν ἐπὶ τὸ ἔσχατον τῆς ἀγορᾶς, ἀριθμῆσαι κελεύει, ὁπόσοι εἶεν Σπαρτιάται ἐν τῇ ἀγορᾷ. καὶ ἐγὼ, ἔφη, ἀριθμήσας βασιλέα τε, καὶ Ἐφόρους, καὶ γέροντας, καὶ ἄλλους ὡς τετταράκοντα, ἠρόμην· τί δή με τούτους, ὦ Κινάδων, ἐκέλευσας ἀριθμῆσαι; ὁ δὲ

nuiſſet, atque maiorum ex inſtituto ſolemne quoddam ſacrum pro patria faceret; monuit vates, indicari diuinitus in extis occultam coniurationem grauiſſimam. Quum rurſus exta conſulerentur, dixit etiam grauiora ſignificari. Quum tertio ſacrificium iteraretur; Mi Ageſilae, inquit, eiuſmodi ſunt extorum ſignificationes, quaſi ſi iam ipſos inter hoſtes verſaremur. Tum vero facta re ſacra Diis et auerruncis et ſeruatoribus, quum vix perlitatum eſſet, ſacrificare deſierunt.

5. Quinto poſt ſacrificia die quidam ad Ephoros coniurationem occultam, et principem eius auctorem Cinadonem defert. Erat is et forma iuuenis pulcher, et animo firmus ac valens, non tamen e parium numero. Quumque interrogarent illum Ephori, qui rem deferebat, quo pacto negotium hoc ſuſcepturi eſſent; reſpondit, abductum ſe in forum extremum a Cinadone fuiſſe, iuſſumque numerare, quot in foro Spartani eſſent. Tum ego, inquit, numerato rege, Ephoris, ſenioribus caeteris plus minus XL: Quamobrem, inquam, hos me numerare iuſſiſti Cinadon? Exiſtimato, inquit, illos

ὁ δὲ εἶπε· τούτους, ἔφη, νομίζει σοι πολεμίους εἶναι, τοὺς δ' ἄλλους πάντας ξυμμάχους, πλέον ἢ τετρακισχιλίους ὄντας τοὺς ἐν τῇ ἀγορᾷ· ἐπιδεικνῦναι δ' αὐτὸν ἔφη ἐν ταῖς ὁδοῖς, ἔνθα μὲν ἕνα, ἔνθα δὲ δύο πολεμίους ἀπαντῶντας, τοὺς δ' ἄλλους ἅπαντας, συμμάχους. καὶ ὅσοι δὴ ἐν τοῖς χωρίοις Σπαρτιατῶν τύχοιεν ὄντες, ἕνα μὲν πολέμιον τὸν δεσπότην, ξυμμάχους δ' ἐν ἑκάστῳ πολλούς.

ς'. Ἐρωτώντων δὲ τῶν Ἐφόρων, πόσους φαίη καὶ τοὺς ξυνειδότας τὴν πρᾶξιν εἶναι, λέγειν καὶ περὶ τούτου ἔφη αὐτὸν, ὡς σφίσι μὲν τοῖς προσατεύουσιν ὑ πάνυ πολλοὶ, ἀξιόπιστοι δὲ συνειδεῖεν. αὐτοὶ μέντοι πᾶσιν ἔφασαν συνειδέναι καὶ εἵλωσι καὶ νεοδαμώδεσι, καὶ τοῖς ὑπομείοσι, καὶ τοῖς περιοίκοις. ὅπου γὰρ ἐν τούτοις τις λόγος γένοιτο περὶ Σπαρτιατῶν, ἑτοίμως δύνασθαι κρύπτειν τὸ μὴ οὐχ ἡδέως ἂν καὶ ὠμῶν ἐσθίειν αὐτῶν.

ζ'. Πάλιν οὖν ἐρωτώντων, ὅπλα δὲ πόθεν ἔφασαν λήψεσθαι; τὸν δ' εἰπεῖν, ὅτι οἱ μὲν δήπου συντεταγμένοι ἡμῶν αὐτοὶ ἔφασάν γε ὅπλα κεκτῆσθαι· τῷ δ' ὄχλῳ, ἀγαγόντα

illos hoſtes eſſe, reliquos omnes ſocios, qui plures in foro ſunt, quam quater mille. Addebat, oſtendiſſe Cinadonem in viis, modo vnum, modo duos hoſtes occurrentes; caeteros omnes, ſocios. Quin etiam quotquot eſſent Spartanorum in praediis, ex iis vnum dominum hoſtem eſſe, ſocios vero in ſingulis complures.

6. Interrogantibus hinc Ephoris, quot homines huius inſtituti conſcios eſſe perhiberet: reſpondebat, Cinadonem dicere, coniurationis principes non multos habere conſcios, ſed fide tamen dignos. Hos autem ſcire, velle hanc rem vniuerſos et helotas; et nouos populares, et infimae claſſis homines, et finitimos. Nam vbicunque Spartanorum apud hos aliqua mentio fiat, neminem celare poſſe, quam cupide vel crudos ſint deuoraturi.

7. Rurſus quum quaererent, vnde ſe arma ſumturos perhiberent: dixiſſe reſpondit Cinadonem, ipſos quidem, qui coniuncti eſſent, habere arma: pro turba vero promiſcua ſibi ad fabrum ferrariorum officinas

ἀγαγόντα ἐς τὸν σίδηρον, ἐπιδεῖξαι αὐτὸν, ἔφη, πολλὰς μὲν μαχαίρας, πολλὰ δὲ ξίφη, πολλὰς δὲ ὀβελίσκους, πολλὰς δὲ πελέκεις καὶ ἀξίνας, καὶ πολλὰ δρέπανα. λέγειν δ' αὐτὸν ἔφη, ὅτι καὶ ταῦτα ὅπλα πάντα εἴη, ὁπόσοις ἄνθρωποι καὶ γῆν καὶ ξύλα καὶ λίθους ἐργάζονται, καὶ τῶν ἄλλων καὶ τεχνῶν τὰς πλείστας τὰ ὄργανα ὅπλα ἔχειν ἀρκοῦντα, ἄλλως τε καὶ πρὸς ὁπλίτας. πάλιν δ' ἂν ἐρωτώμενος, ἐν τίνι χρόνῳ ταῦτα μέλλει πράττεσθαι, εἶπεν ὅτι ἐπιδημεῖν οἱ παρηγγελμένον εἴη.

ή. Ακούσαντες ταῦτα οἱ Εφοροι, ἐσκεμμένα τε λέγειν ἡγήσαντο αὐτὸν, καὶ ἐξεπλάγησαν· καὶ δὴ τὴν μικρὰν καλουμένην ἐκκλησίαν ξυλλέξαντες, ἀλλὰ ξυλλεγόμενοι τῶν γερόντων ἄλλος ἄλλοθεν, ἐβουλεύσαντο πέμψαι τὸν Κινάδωνα ἐς Αὐλῶνα σὺν ἄλλοις τῶν νεωτέρων, καὶ κελεῦσαι ἥκειν ἄγοντα τῶν Αὐλωνιτῶν τέ τινας, καὶ τῶν εἱλώτων τοὺς ἐν τῇ σκυτάλῃ γεγραμμένους. ἀγαγεῖν δὲ ἐκέλευον καὶ τὴν γυναῖκα, ἣ καλλίστη μὲν ἐλέγετο αὐτόθι εἶναι, λυμαίνεσθαι

officinas deducto multas ſicas, multos enſes, multa verua, multas bipennes et aſcias, multas falces demonſtraſſe. Praeterea dicere hominem, etiam illa vniuerſa arma eſſe, quibus terram homines colant, ligna lapidesque caedant; itemque opificia caetera quamplurima, habere ſua quaedam inſtrumenta, quae armorum loco ſufficiant, praeſertim aduerſus inermes. Rurſum interrogatus, quando haec eſſent inchoanda; dixit, imperatum eſſe ſibi, vt domi maneret.

8. His auditis, Ephori hominem explorata dicere arbitrabantur; metuque perculſi, ne id quidem concilium, quod paruum vocant, cogunt: ſed ſeniores alius aliunde conuenientes, hoc conſilii capiunt; vt Cinadonem cum nonnullis aliis ex iuuentute Aulonem ablegarent, iuſſum iſtinc Aulonitas quoſdam et helotas abducere, quorum eſſent in ſcytala deſcripta nomina. Imperant eidem, vt mulierem quandam illinc abduceret, fama quidem illam formoſiſſimam; ſed quae commeantes ad ſe Lacedaemonios tum prouectioris

λυμαίνεσθαι δ' ἐῴκει τὰς ἀφικνουμένας Λακεδαιμονίων καὶ πρεσβυτέρας καὶ νεωτέρας.

θ'. Ὑπηρετήκει δὲ καὶ ἄλλ' ἤδη ὁ Κινάδων τοῖς Ἐφόροις τοιαῦτα. καὶ τότε δὴ ἔδοσαν τὴν σκυτάλην αὐτῷ, ἐν ᾗ γεγραμμένοι ἦσαν, ὃς ἔδει ξυλληφθῆναι. ἐρομένῳ δὲ, τίνας ἄγοι μεθ' αὑτοῦ τῶν νέων, Ἴθι, εἶπον, καὶ τὸν πρεσβύτατον τῶν †ἱππαγρετῶν κέλευέ σοι ξυμπέμψαι ἐξ ἧς ἑπτὰ, οἳ ἂν τύχωσι παρόντες. ἐμεμελήκει δὲ αὐτοῖς, ὅπως ὁ ἱππαγρέτης εἰδείη ὃς ἂν δέοι πέμπειν, καὶ οἱ πεμπόμενοι εἰδεῖεν, ὅτι Κινάδωνα δέοι συλλαβεῖν. εἶπον δὲ καὶ τοῦτο τῷ Κινάδωνι, ὅτι πέμψοιεν τρεῖς ἁμάξας, ἵνα μὴ πεζοὺς ἄγωσι τοὺς ληφθέντας, ἀφανίζοντες ὡς ἐδύναντο μάλιστα, ὅτι ἐφ' ἕνα ἐκεῖνον ἔπεμπον.

ι'. Ἐν δὲ τῇ πόλει ᾗ ξυνελάμβανον αὐτὸν, ὅτι τὸ πρᾶγμα ᾔδεσαν, ὁπόσον τὸ μέγεθος εἴη, καὶ ἀκοῦσαι πρῶτον ἐβούλοντο τοῦ Κινάδωνος, οἵτινες εἶεν οἱ ξυμπράττοντες, πρὶν αἰσθέσθαι αὐτοὺς ὅτι μεμήνυνται, ἵνα μὴ

ris aetatis, tum iuuenes, corrumpere videretur.

9. Et Cinadonis opera caeteroquin etiam ad huiusmodi negotia vsi fuerant Ephori. Quamobrem id quoque temporis ei scytalam tradunt, in qua perscripti erant, quos capi vellent. Quumque interrogaret, quosnam ex iuuentute sibi adiungere deberet itineris comites: Abito, inquiunt, et hippagretae natu maximo impera, vt sex vel septem, qui forte aderunt, tecum mittat. Interim ipsis curae fuerat, vt hippagreta ille sciret, quinam mittendi essent: et qui mitterentur, capiendum esse Cinadonem, non ignorarent. Significant etiam Cinadoni, tria se plaustra mittere, ne captos itinere pedestri adducere necesse haberet: vti quam possent maxime tegerent, vnius ipsius caussa haec instituta esse.

10. Quod quidem in vrbe hominem non comprehendebant, ea de caussa fiebat, quod quanta coniuratorum multitudo esset, ignorarent; et intelligere prius de Cinadone vellent, quinam coniurationis participes essent, quam illi se proditos animaduerterent; ne fuga scilicet

† Tres Spartanis erant Hippagretae, sic ab equitatu congregando dicti. *Leuncl.*

μὴ ἀποδρῶσιν. ἔμελλον δὲ οἱ συλλαβόντες, αὐτὸν μὲν κατέχειν, τὰς δὲ ξυνειδότας πυθόμενοι αὐτῶ, γράψαντες, ἀποπέμπειν τὴν ταχίστην τοῖς Ἐφόροις. ὕτω δ' ἔσχον οἱ Ἔφοροι πρὸς τὸ πρᾶγμα, ὥστε καὶ μοῖραν ἱππέων ἔπεμψαν τοῖς ἐπ' Αὐλῶνος.

ια'. Ἐπεὶ δ' εἰλημμένος τῶ ἀνδρὸς ἦκεν ἱππεὺς φέρων τὰ ὀνόματα ὧν ὁ Κινάδων ἀπέγραψε, παραχρῆμα τόν τε μάντιν Τισαμενὸν καὶ τὰς ἐπικαιριωτάτας ξυνελάμβανον. ὡς δ' ἀνήχθη ὁ Κινάδων, καὶ ἠλέγχετο, καὶ ὡμολόγει πάντα, καὶ τὰς ξυνειδότας ἔλεγε, τέλος αὐτὸν ἤροντο, τί καὶ βουλόμενος ταῦτα πράττοι. ὁ δὲ ἀπεκρίνατο, μηδενὸς ἧττων εἶναι ἐν Λακεδαίμονι. ἐκ τούτου μέντοι ἤδη δεδεμένος καὶ τῶ χεῖρε καὶ τὸν τράχηλον ἐν κλοιῶ, μαστιγούμενος καὶ κεντούμενος αὐτός τε καὶ οἱ μετ' αὐτοῦ κατὰ τὴν πόλιν περιήγοντο. καὶ ὅτοι μὲν δίτης δίκης ἔτυχον.

ΚΕΦ.

scilicet sibi consulerent. Et futurum erat, vt ii, quibus erat ipsius capiendi negotium datum, hominem secum retinerent; perquisitisque rei conscijs, eorum nomina litteris consignata quamprimum Ephoris mitterent. Erat Ephororum in hoc negotio tanta cura, vt eis, qui Aulonem proficiscebantur, etiam cohortem equitum mitterent.

11. Capto Cinadone, quum venisset quidam eques, asserens secum a Cinadone consignata nomina: mox Tisame-num hariolum, et conspirationis principes ad nocendum imprimis idoneos comprehendunt. Deductus Cinadon, et conuictus, omniaque confessus, indicatis etiam coniurationis conscijs, quum tandem interrogaretur, quo haec consilio instituisset: Vt Spartae nullo inferior essem, inquit. Secundum haec ipsius, et coniurationis sociorum manus, et colla, numellis constringuntur; et flagris ac stimulis cruciati per vrbem circumducuntur.

ΚΕΦ. δ'.

Μετὰ δὲ ταῦτα Ηρώδας τὶς Συρακόσιος, ἐν Φοινίκῃ ὢν μετὰ ναυκλήρου τινὸς, καὶ ἰδὼν τριήρεις Φοινίσσας, τὰς μὲν, καταπλεούσας ἄλλοθεν, τὰς δὲ, καὶ αὐτῆ πεπληρωμένας, τὰς δὲ, καὶ ἔτι κατασκευαζομένας· προσακούσας δὲ καὶ τοῦτο, ὅτι καὶ τριακοσίας δέοι αὐτὰς γενέσθαι· ἐπιβὰς ἐπὶ τὸ πρῶτον ἀναγόμενον πλοῖον ἐς τὴν Ελλάδα, ἐξήγγειλε τοῖς Λακεδαιμονίοις, ὡς βασιλέως καὶ Τισσαφέρνους τὸν στόλον τοῦτον παρασκευαζομένων· ὅποι δὲ, οὐδὲν ἔφη εἰδέναι.

β'. Ανεπειρωμένων δὲ τῶν Λακεδαιμονίων, καὶ τοὺς ξυμμάχους ξυναγαγόντων, καὶ βουλευομένων τί χρὴ ποιεῖν, Λύσανδρος, νομίζων καὶ τῷ ναυτικῷ πολὺ περιέσεσθαι τοὺς Ελληνας, καὶ τὸ πεζὸν λογιζόμενος ὡς ἐσώθη τὸ μετὰ Κύρου ἀναβὰν, πείθει τὸν Αγησίλαον ὑποσῆναι, ἢν αὐτῷ δῶσι τριάκοντα μὲν Σπαρτιατῶν, ἐς δισχιλίους δὲ τῶν νεοδαμωδῶν, ἐς ἑξακισχιλίους δὲ τὸ ξύνταγμα τῶν συμμάχων, στρατεύεσθαι

CAP. IV.

Posteaquam illi affecti supplicii essent, Syracusanus quidam Herodas, qui cum nauclero quodam in Phoenicia tum viueret, triremesque Phoenissas partim aliunde istuc appellere, partim ibidem instrui, partim adhuc aedificari videret, audiret etiam, trecentas numero futuras: prima naue, quae in Graeciam tenderet, conscensa, Lacedaemoniis indicat, hanc classem tum a Tissapherne, tum a rege parari: quo autem ea mittenda esset, ignorare se fatebatur.

2. Excitatis hoc nuntio Lacedaemoniis, sociosque cogentibus, et quid faciendum esset, deliberantibus; Lysander, qui et Graecos existimaret nauali-bus copiis fore superiores, et secum ipse perpenderet, quo pacto peditatus ille saluus euasisset, qui cum Cyro ascenderat; Agesilao persuadet, vt ille se susceperum in Asiam expeditionem polliceretur, si triginta Spartani sibi adiungerentur, et tironum IICIↃ, et sociorum

VICIↃ

στρατεύεσθαι ἐς τὴν Ασίαν. πρὸς δὲ τούτῳ τῷ λογισμῷ καὶ αὐτὸς ξυνεξελθεῖν αὐτῷ ἐβούλετο, ὅπως τὰς δεκαρχίας τὰς καταστασθείσας ὑπ' ἐκείνου ἐν ταῖς πόλεσιν, ἐκπεπλωκυίας δὲ διὰ τοὺς Εφόρους, οἱ τὰς πατρίους πολιτείας παρήγγειλαν, πάλιν καταστήσειε μετ' Αγησιλάου.

γ'. Επαγγειλαμένου δὲ τῷ Αγησιλάῳ τὴν στρατιὰν *, διδόασί τε οἱ Λακεδαιμόνιοι ὅσαπερ ἤτησε, καὶ ἐξαμήνου σῖτον. ἐπεὶ δὲ θυσάμενος καὶ τἆλλα ὅσα ἔδει, καὶ τὰ διαβατήρια, ἐξῆλθε, ταῖς μὲν πόλεσι διαπέμψας ἀγγέλους, προεῖπεν ὅσους τε δέοι ἑκασταχόθεν πέμπεσθαι, καὶ ὅσους παρεῖναι· αὐτὸς δὲ ἐβουλήθη ἐλθὼν θῦσαι ἐν Αὐλίδι, ἔνθαπερ ὁ Αγαμέμνων, ὅτ' ἐς Τροίαν ἔπλει, ἐθύετο.

δ'. Ως δ' ἐκεῖ ἐγένετο, πυθόμενοι οἱ Βοιώταρχοι ὅτι θύοι, πέμψαντες ἱππέας, τῷ τε λοιπῷ ἐκέλευον μὴ θύειν, καὶ οἷς ἐνέτυχον ἱεροῖς τεθυμένοις, διέρριψαν ἀπὸ τοῦ βωμοῦ. ὁ δὲ, ἐπιμαρτυρόμενος τοὺς Θεοὺς, καὶ ὀργιζόμενος, ἀναβὰς ἐπὶ τὴν τριήρη, ἀπέπλει. ἀφικόμενος δ' ἐπὶ Γεραιστὸν,

vicio agmen. Praeterea cogitabat et ipſe cum Ageſilao proficiſci, vt Decemuiratus ab ſe in oppidis inſtitutos, quos Ephori ſuſtulerant, iuſſis omnibus more patrio rempublicam gerere, de integro cum Ageſilao inſtitueret.

3. Poſteaquam ad hanc expeditionem Ageſilaus operam ſuam obtuliſſet, cum alia, quae poſtulabat, conceſſerunt ei Lacedaemonii, tum annonae tantum, quantum in ſex menſes ſufficeret. Hinc vbi tum alia ſacrificia, tum etiam pro felici traiectu feciſſet; egreditur patria, miſſisque nuntiis ad oppida, quot milites a ſingulis mitti, ac ſibi praeſto eſſe vellet, denuntiat. Ipſi animus erat Aulidem proficiſci, atque iſtic rem ſacram facere: quo loco etiam Agamemnon, quum Troiam nauigaret, ſacrificauerat.

4. Eo quum veniſſet Ageſilaus, accepto Boeotorum principes de ipſius ſacrificiis nuntio; miſſis equitibus imperant, vti de caetero ſacrificiis abſtineret; et quas illi forte mactatas hoſtias inuenere, de ara hinc inde disiiciunt. Ageſilaus Deos teſtari, triremem iratus conſcendere, nauigio ſoluere. Geraeſtum quum veniſſet, ibique

* Al. στρατείαν.

ραισὸν, καὶ συλλέξας ἐκεῖ ὅσον ἠδύνατο τῷ στρατεύματος πλεῖσον, ἐς Ἔφεσον τὸν στόλον ἐποιεῖτο.

ε'. Ἐπεὶ δὲ ἐκεῖσε ἀφίκετο, πρῶτον μὲν Τισσαφέρνης πέμψας ἤρετο αὐτὸν, τίνος δεόμενος ἥκοι. ὁ δ' εἶπεν, Ὅτι αὐτονόμους καὶ τὰς ἐν τῇ Ἀσίᾳ πόλεις εἶναι, ὥσπερ καὶ τὰς ἐν τῇ παρ' ἡμῖν Ἑλλάδι. πρὸς ταῦτ' εἶπεν ὁ Τισσαφέρνης· εἰ τοίνυν θέλεις σπείσασθαι ἕως ἂν ἐγὼ πρὸς βασιλέα πέμψω, οἶμαι ἄν σε ταῦτα διαπραξάμενον ἀποπλεῖν, εἰ βέλοιο. ἀλλὰ βελοίμην ἄν, ἔφη, εἰ μὴ οἰοίμην ὑπὸ σοῦ ἐξαπατᾶσθαι. ἀλλ' ἔξεστιν, ἔφη, σοι τούτων πίστιν λαβεῖν, ἢ μὴν ἀδόλως σοῦ πράττοντος ταῦτα, ἡμᾶς μηδὲν τῆς σῆς ἀρχῆς ἀδικήσειν ἐν ταῖς σπονδαῖς.

ς'. Ἐπὶ τούτοις ῥηθεῖσι Τισσαφέρνης μὲν ὤμοσε τοῖς πεμφθεῖσι πρὸς αὐτὸν Ἡριππίδᾳ, καὶ Δερκυλλίδᾳ, καὶ Μεγαλίῳ, ἢ μὴν πράξειν ἀδόλως τὴν εἰρήνην· ἐκεῖνοι δὲ ἀντώμοσαν ὑπὲρ Ἀγησιλάου Τισσαφέρνει, ἢ μὴν ταῦτα πράττοντος αὐτοῦ, ἐμπεδώσειν τὰς σπονδάς. ὁ μὲν δὴ Τισσαφέρνης ἃ ὤμοσεν,

que copias ampliſſimas coegiſſet: Epheſum cum claſſe petiit.

5. Eo delatus vt erat, Tiſſaphernes, miſſis ad ipſum ſuis, cuius rei gratia veniſſet, quaerebat. Ageſilaus autem; Vt Aſiae ciuitates, inquit, perinde legibus ſuis vtantur, atque aliae, quotquot apud nos in Graecia ſitae ſunt. Tiſſaphernes ad illa viciſſim: Ergo ſi voles, inquit, inducias paciſci tantiſper, dum ad regem miſero; futurum arbitror, vt his impetratis ad tuos, ſi velis, redire poſſis. Equidem hoc non nollem, ſubiecit Ageſilaus, ni me deceptum iri abs te exiſtimarem. At tibi licet, ait, vt a nobis fide data certus ſis, omnino ſine fraude futurum, vt, ſiquidem haec ipſe praeſtes, nos durantibus induciis, quae tui ſunt imperii, minime damno afficiamus.

6. His ita conuentis, Tiſſaphernes Herippidae, Dercyllidae, Megalio, miſſis ad ſe, ſacramentum praeſtitit, omnino ſine dolo malo ſe pacem procuraturum. Contra illi iurarunt Ageſilai nomine, ſi hoc Tiſſaphernes faceret, ſe ſancte ratas habituros inducias. Enimuero Tiſſaphernes iusiurandum mox violauit. Nam pace reiecta,

ὤμοσεν, εὐθὺς ἐψεύσατο. ἀντὶ γὰρ τῦ εἰρήνην ἔχειν, στράτευμα πολὺ παρὰ βασιλέως πρὸς ᾧ εἶχε πρόσθεν, μετεπέμπετο. Αγησίλαος δὲ, καίπερ αἰσθανόμενος ταῦτα, ὅμως ἐπέμενε ταῖς σπονδαῖς.

ζ'. Ως δὲ ἡσυχίαν τε καὶ σχολὴν ἄγων ὁ Αγησίλαος διέτριβεν ἐν τῇ Εφέσῳ, ἅτε συντεταραγμένων ἐν ταῖς πόλεσι τῶν πολιτειῶν, καὶ ἅτε δημοκρατίας ἔτι ὔσης, ὥσπερ ἐπ' Αθηναίων, ἅτε δεκαρχίας, ὥσπερ ἐπὶ Λυσάνδρυ, ἅτε γιγνώσκοντες πάντες τὸν Λύσανδρον, προσέκειντο αὐτῷ, ἀξιῶντες δικπράτ]εσθαι αὐτὸν παρ' Αγησιλάυ ὧν ἐδέοντο· καὶ διὰ ταῦτα ἀεὶ παμπληθὴς ὄχλος θεραπεύων αὐτὸν ἠκολούθει· ὥστε ὁ μὲν Αγησίλαος ἰδιώτης ἐφαίνετο, ὁ δὲ Λύσανδρος, βασιλεύς.

η'. Οτι μὲν ὖν ἐμηνία* καὶ τὸν Αγησίλαον ταῦτα, ἐδήλωσεν ὕστερον· οἱ γεμὴν ἄλλοι τριάκοντα ὑπὸ τῦ φθόνυ ὐκ ἐσίγων, ἀλλ' ἔλεγον πρὸς τὸν Αγησίλαον, ὡς παράνομα ποιοίη Λύσανδρος, τῆς βασιλείας ὀγκηρότερον διάγων.

iecta, quam promiſerat; ad priores, quas habebat, copias, magnam militum manum a rege arceſſebat. Et quanquam haec Ageſilaus perſentiſceret, nihilo tamen minus inducias ſeruabat.

7. Quumque in hoc otio apud Epheſum commoraretur, quod rerumpublicarum ſtatus in oppidis perturbati eſſent, neque populariter amplius illae adminiſtrarentur, quod Atheniēnſium dominatu factum fuerat: neque Decemuiratus in eis eſſent, qui Lyſandro rerum potito inſtituti erant: vrgebant Lyſandrum omnes, hominem ſcilicet notum ſibi, et obſecrabant, vti, quae cuperent ipſi, ab Ageſilao impetraret. Eam ob cauſſam factum, vt magna hominum turba ſemper eum et coleret, et ſectaretur: adeoque priuatus quidam Ageſilaus, Lyſander rex eſſe videbatur.

8. Et haec quidem etiam Ageſilao iraſcendi cauſſam praebuiſſe, deinceps intellectum ex ipſo fuit: caeteri vero Triginta viri prae inuidia non tacebant, ſed monebant Ageſilaum, in leges Lyſandrum committere, qui regium faſtum longe ſuperaret.

* Al. ὑμνινε, al. ἐλύπει.

γων. ἐπεὶ δὲ καὶ ἤρξατο προσάγειν τινὰς τῷ Ἀγησιλάῳ ὁ Λύσανδρος, πάντας οἷς γνοίη αὐτὸν συμπράττοντά τι, ἠττωμένους ἀπέπεμπεν. ὡς δ' ἀεὶ τὰ ἐναντία ὧν ἐβούλετο ἀπέβαινε τῷ Λυσάνδρῳ, ἔγνω δὴ τὸ γιγνόμενον· καὶ ὅτε ἔπεσθαι ἑαυτῷ ἔτι εἶα ὄχλον, τοῖς τε συμπράξαί τι δεομένοις σαφῶς ἔλεγεν, ὅτι ἔλαττον ἔχοιεν, εἰ αὐτὸς παρείη.

θ'. Βαρέως δὲ φέρων τὴν ἀτιμίαν, προσελθὼν εἶπεν· Ὦ Ἀγησίλαε, μειῶν μὲν ἀεὶ ἄρα σύ γε τοὺς φίλους ἡπίσω; ναὶ μὰ Δί', ἔφη, τοὺς γε βλαπτομένους ἐμοῦ μείζους φαίνεσθαι· τοὺς δέ γε αὔξοντας εἰ μὴ ἐπισταίμην ἀντιτιμᾶν, αἰσχυνοίμην ἄν. καὶ ὁ Λύσανδρος ἔφη, ἴσως σὺ καὶ μᾶλλον εἰκότα ποιεῖς, ἢ ἐγὼ ἔπρατ̣τον. τάδε οὖν μοι ἐκ τοῦ λοιποῦ χάρισαι, ὅπως μήτ' αἰσχύνωμαι ἀδυνατῶν παρὰ σοί, μήτ' ἐμποδών σοι ὦ· ἀπόπεμψόν με. ὅπου γὰρ ἂν ὦ, πειράσομαι ἐν καιρῷ σοι εἶναι.

ι. Εἰπόντος δὲ ταῦτα, ἔδοξε καὶ τῷ Ἀγησιλάῳ ὧδε ποιῆσαι,

raret. Poſt vbi Lyſander adducere quoſdam ad Ageſilaum coepiſſet, omnes ille, quibus operam dare Lyſandrum intelligeret, infecta re dimittebat. Quumque ſemper contra Lyſandri ſententiam cuncta fierent, animaduertit is rem omnem, neque deinceps ſectari ſe turbam hominum patiebatur, et non diſſimulanter ad eos aiebat, qui ſe iuuari cuperent ipſius opera; futurum, vt ſe praeſente minus impetrarent.

9. Quumque grauiter ignominiam hanc ferret, accedens ad Ageſilaum: Tune, inquit, Ageſilae, ſemper amicorum auctoritatem imminuere noras? Illorum profecto, ait ille, quotquot me maiores videri vellent. At idem exiſtimabam, probroſum eſſe, non me viciſſim eos honore proſequi noſſe, qui me auctum cuperent. Et Lyſander: Fortaſſe tu, inquit, magis decoro conſentanea facis, quam ego fecerim. De reliquo tamen hanc mihi gratiam facito, vt aliquo me ableges; ne vel ipſe pudore ſuffundar ob amiſſam apud te auctoritatem, vel tibi ſim impedimento. Nam vbicunque tandem fuero, commodis tuis ſubſeruire conabor.

10. Haec cum Lyſander dixiſſet, viſum eſt etiam Ageſilao

ſic

ποιῆσαι, καὶ πέμπει αὐτὸν ἐφ' Ελλήσποντον. ἐκεῖ δὲ ὁ Αὐσανδρος αἰσθόμενος Σπιθριδάτην τὸν Πέρσην ἐλατ]ούμενόν τι ὑπὸ Φαρναβάζου, διαλέγεται αὐτῷ, καὶ πείθει ἀποσῆναι, ἔχοντα τάς τε παῖδας καὶ τὰ περὶ αὐτὸν χρήματα, καὶ ἱππεῖς ὡς διακοσίους. καὶ τὰ μὲν ἄλλα κατέλιπεν ἐν Κυζίκῳ, αὐτὸν δὲ καὶ τὸν υἱὸν ἀναβιβασάμενος ἦκεν ἄγων πρὸς Αγησίλαον. ἰδὼν δὲ ὁ Αγησίλαος ἥσθη τε τῇ πράξει, καὶ εὐθέως ἀντεπυνθάνετο περὶ τῆς Φαρναβάζου χώρας τε καὶ ἀρχῆς.

ιά. Επεὶ δὲ μέγα φρονήσας ὁ Τισσαφέρνης ἐπὶ τῷ καταβάντι στρατεύματι παρὰ βασιλέως, προεῖπεν Αγησιλάῳ πόλεμον, εἰ μὴ ἀπίοι ἐκ τῆς Ασίας· οἱ μὲν ἄλλοι σύμμαχοι, καὶ Λακεδαιμονίων οἱ παρόντες, μάλα ἀχθεσθέντες φανεροὶ ἐγένοντο, νομίζοντες ἐλάττω τὴν παροῦσαν δύναμιν εἶναι Αγησιλάῳ τῆς βασιλέως παρασκευῆς. Αγησίλαος δὲ μάλα φαιδρῷ τῷ προσώπῳ ἀπαγγεῖλαι Τισσαφέρνει τὰς πρέσβεις ἐκέλευσεν, ὡς πολλὴν χάριν αὐτῷ ἔχειν ὅτι ἐπιορκήσας, αὐτὸς μὲν πολεμίους τοὺς Θεοὺς ἐκτήσατο, τοῖς δ' Ελλησι συμμάχους ἐποίησεν. ἐκ δὲ τούτου εὐθὺς

fic agendum eſſe: adeoque in Helleſpontum hominem ablegat. Ibi quum Spithridatem Perſam a Pharnabazo nonnihil opprimi comperiſſet, ad colloquium inuitato perſuadet, vt cum liberis, pecuniis, quas ad manum haberet, et cc equitibus deficeret. Ac fortunas quidem huius alias apud Cyzicum relinquit, ipſum vna cum filio ad Ageſilaum ſubuchendo perducit. Is, re perſpecta, mirifice delectatus, viciſſim et ipſe mox de Pharnabazi regione ac imperio percunctabatur.

11. Caeterum poſteaquam elatus animo Tiſſaphernes ob miſſas ſibi a rege copias, bellum Ageſilao denuntiaſſet, ni Aſia excederet: reliqui ſocii, et omnes, qui aderant Lacedaemonii grauiter admodum id accidiſſe ſibi prae ſe ferebant, quod impares apparatui regio copias eſſe ducerent, quas Ageſilaus tunc ſecum habebat. Ageſilaus autem vultu perquam hilari legatos renuntiare Tiſſapherni iubet, magnam ſe ipſi gratiam habere, quod peierando Deos ſibi quidem infeſtos, Graecis vero ſocios et auxiliares reddidiſſet. Secundum

εὐθὺς τοῖς μὲν στρατιώταις παρήγγειλε συσκευάζεσθαι ὡς ἐς στρατείαν· ταῖς δὲ πόλεσιν, ἐς ἃς ἀνάγκη ἦν ἀφικνεῖσθαι στρατευομένῳ ἐπὶ Καρίαν, προεῖπεν ἀγορὰν παρασκευάζειν. ἐπέστειλε δὲ καὶ Ἰωσι, καὶ Αἰολεῦσι, καὶ Ἑλλησποντίοις, πέμπειν πρὸς ἑαυτὸν ἐς Ἔφεσον τὰς συστρατευσομένας.

ιβ'. Ὁ δὲ Τισσαφέρνης, καὶ ὅτι ἱππικὸν οὐκ εἶχεν ὁ Ἀγησίλαος, ἡ δὲ Καρία ἄφιππος ἦν, καὶ ὅτι ἡγεῖτο αὐτὸν ὀργίζεσθαι αὐτῷ διὰ τὴν ἀπάτην, τῷ ὄντι νομίσας ἐπὶ τὸν αὑτοῦ οἶκον εἰς Καρίαν αὐτὸν ὁρμήσειν, τὸ μὲν πεζὸν ἅπαν διεβίβασεν ἐκεῖσε, τὸ δ' ἱππικὸν ἅπαν ἐς τὸ Μαιάνδρου πεδίον περιῆγε πεδίον, νομίζων ἱκανὸς εἶναι καταπατῆσαι τῇ ἵππῳ τοὺς Ἕλληνας, πρὶν ἐς τὰ δύσιππα ἀφικέσθαι. ὁ δὲ Ἀγησίλαος, ἀντὶ τοῦ ἐπὶ Καρίαν ἰέναι, εὐθὺς τἀναντία ἀποστρέψας, ἐπὶ Φρυγίας ἐπορεύετο, καὶ τὰς τε ἐν τῇ πορείᾳ πόλεις κατεστρέφετο, καὶ ἐμβαλὼν ἀπροσδοκήτως, παμπληθῆ χρήματα ἐλάμβανε.

ιγ'. Καὶ τὸν μὲν ἄλλον χρόνον ἀσφαλῶς διεπορεύετο·

haec ſtatim militi edicit, vt ad expeditionem ſuſcipiendam res ſuas colligerent: oppidis vero, ad quae moturum cum copiis in Cariam accedere neceſſe erat, denunciat, vti venalium rerum forum inſtruerent. Ionibus quoque, et Aeolenſibus, et Helleſpontiis per litteras ſignificat, vt copias ſecum hac expeditione militaturas Epheſum ad ſe mitterent.

12. Tiſſaphernes, partim quod a copiis equeſtribus non inſtructus eſſet Ageſilaus, quibus etiam Caria non ſatis eſſet apta, partim quod eum ſibi ſuccenſere putaret ob fraudem; reapſe ratus ipſum in Cariam, hoc eſt, domicilium ſuum, impetum facturum: peditatum omnem eo traducit, equitatu in Maeandri planiciem circumducto. Arbitrabatur enim, ſe copiis equeſtribus Graecos proterere prius poſſe, quam ad loca equitatui non apta peruenirent. Ageſilaus autem, omiſſo in Cariam itinere, ſtatim copiis in contrarium auerſis, Phrygiam petiit; oppidaque in itinere ſita ſubegit, et nec opinata irruptione magnam opum copiam cepit.

13. Fuit hoc toto tempore tu-

tum

τοῦ δὲ πόρρω δ' ὄντος Δασκυλίου, προϊόντος* αὐτῷ οἱ ἱππεῖς ἤλαυνον ἐπὶ λόφον τινά, ὡς προϊδοιεν τί τὰμπροσθεν εἴη· κατὰ τύχην δέ τινα καὶ οἱ τῷ Φαρναβάζου ἱππεῖς οἱ περὶ Ραθίνην καὶ Βαγκαῖον τὸν νόθον ἀδελφὸν, ὄντες παρόμοιοι τοῖς Ελλησι τὸν ἀριθμὸν, πεμφθέντες ὑπὸ Φαρναβάζου, ἦλαυνον καὶ ἧκτοι ἐπὶ τὸν αὐτὸν τοῦτον λόφον. ἰδόντες δὲ ἀλλήλους ἐδὲ τέτταρα πλέθρα ἀπέχοντας, τὸ μὲν πρῶτον ἔσησαν ἀμφότεροι, οἱ μὲν Ελληνες ἱππεῖς, ὥσπερ φάλαγξ, ἐπὶ τετταρων παρατεταγμένοι, οἱ δὲ βάρβαροι, τὰς πρώτας ἐ πλέον ἢ ἐκ δώδεκα ποιήσαντες, τὸ βάθος δ' ἐπὶ πολλῶν.

ιδ'. Επειτα μέντοι πρόθεν ὥρμησαν οἱ βάρβαροι. ὡς δ' ἐς χεῖρας ἦλθον, ὅσοι μὲν τῶν Ελλήνων ἔπαισάν τινας, πάντες ξυνέτριψαν τὰ δόρατα· οἱ δὲ Πέρσαι, κρανέϊνα παλτὰ ἔχοντες, ταχὺ δώδεκα μὲν ἱππῆς, δύο δὲ ἵππους ἀπέκτειναν. ἐκ δὲ τούτου ἐτρέφθησαν οἱ Ελληνες ἱππεῖς. βοηθήσαντος δὲ Αγησιλάου σὺν τοῖς ὁπλίταις, πάλιν ἀπεχώρεν οἱ βάρβαροι, καὶ Περσῶν εἷς αὐτῶν ἀποθνήσκει.

ιέ. Γενο-

tum iter Ageſilai, donec haud procul Daſcylio abeſſet. Ibi quum equites ipſum praecedentes, in collem quendam proueherentur, vt, quid vlterius ipſis eſſet a fronte, proſpicerent: forte fortuna Pharnabazi equites, ducibus Rathine, ac notho fratre Bancaeo, numero Graecis pares, a Pharnabazo miſſi, eundem collem ſubeunt. Conſpicati ſe mutuo, poſteaquam plethrorum quatuor interuallo ab ſe inuicem aberant; primum vtrique conſtitere, Graeci quidem equites phalangis inſtar in quaternos diſpoſiti; barbari vero, in fronte non pluribus quam duodecim collocatis, in latitudine autem multos habebant.

14. Hinc in noſtros impetum primi barbari faciunt: quumque ventum ad manus eſſet, quotquot hoſtem feriebant Graeci, haſtas ſuas vniuerſi contriuere: Perſae tragulis corneis inſtructi, mox equites duodecim, et equos duos interfecere. Tum Graecis terga dantibus, et opem graui cum armatura ferente Ageſilao; viciſſim barbari, vno ex ſuis amiſſo, cedunt.

15. Secun-

* Al. προϊόντες.

ιε'. Γενομένης δὲ ταύτης τῆς ἱππομαχίας, θυομένῳ τῷ Ἀγησιλάῳ τῇ ὑστεραίᾳ ἐπὶ προόδῳ ἄλοβα γίγνεται τὰ ἱερά. τότε μέντοι φανέντος, στρέψας ἐπορεύετο ἐπὶ τὴν θάλασσαν. γιγνώσκων δὲ, ὅτι εἰ μὴ ἱππικὸν ἱκανὸν κτήσαιτο, οὐ δυνήσοιτο κατὰ τὰ πεδία στρατεύεσθαι, ἔγνω τοῦτο κατασκευαστέον εἶναι, ὡς μὴ δραπετεύοντα πολεμεῖν δέοι. καὶ τοὺς μὲν πλουσιωτάτους ἐκ πασῶν τῶν ἐκεῖ πόλεων ἱπποτροφεῖν κατέλεξε· προεῖπε δὲ, ὅστις παρέχοι τὸ ἱππικὸν καὶ ὅπλα, καὶ ἄνδρα δόκιμον, ὅτι ἐξέσαι αὐτῷ μὴ στρατεύεσθαι, ἐποίησεν, ὅτω ταῦτα ξυντόμως πράττεσθαι, ὥσπερ ἄν τις τὸν ὑπὲρ αὐτοῦ ἀποθανόμενον προθύμως ζητοίη.

ις'. Ἐκ δὲ τούτου, ἐπειδὴ ἔαρ ὑπέφαινε, ξυνήγαγε μὲν ἅπαν τὸ στράτευμα ἐς Ἔφεσον· ἀσκῆσαι δ' αὐτὸ βουλόμενος, ἆθλα προὔθηκε ταῖς τε ἐπλιτικαῖς τάξεσιν, ἥτις ἄριστα σωμάτων ἔχοι, καὶ ταῖς ἱππικαῖς, ἥτις κράτιστα ἱππεύοι. καὶ πελτασταῖς δὲ καὶ τοξόταις ἆθλα προὔθηκεν, ὅσοι

15. Secundum hoc certamen equeſtre, Ageſilao poſtridie exta conſulente, num progrediendum eſſet, exta fibris caruerunt. Id quum apparuiſſet, itinere conuerſo ad mare pergebat. Quumque animaduerteret, bellum ſe planis in locis gerere non poſſe, niſi ſatis magnas equitum copias pararet; ſtatuit ſibi has inſtruendas eſſe, ne fugiens in hoſtem pugnare cogeretur. Itaque delectis, ex omnibus iſtic ſitis oppidis, opulentioribus, vt equos alerent, edixit. Quumque futurum denuntiaſſet, vt quicunque daret equum, et arma, et hominem idoneum, immunis eſſet a militia; perfecit, vt haec non aliter quaſi compendio quodam facerent, atque ſi quis alacriter aliquem ſuo loco moriturum quaereret.

16. Secundum haec, ineunte vere, copias vniuerſas Epheſum coëgit: quumque vellet eas exercere, tum grauis armaturae cohortibus praemia propoſuit, qui ſcilicet corporibus optime comparatis eſſent: tum equeſtribus, qui equitandi eſſent peritiſſimi. Quin et cetratis, et ſagittariis omnibus propoſita fuere praemia, quotquot

* Al. coniiciunt παρέχοιτο ἵππον, vt in Ageſilao p. 474.

ὅσοι κράτιστοι πρὸς τὰ προσήκοντα ἔργα φανεῖεν. ἐκ δὲ τούτου παρῆν ὁρᾶν τὰ μὲν γυμνάσια πάντα μεστὰ ἀνδρῶν τῶν γυμναζομένων, τὸν δὲ ἱππαδρόμον τῶν ἱππαζομένων· τοὺς δ' ἀκοντιστὰς καὶ τοξότας, μελετῶντας.

ιζ'. Ἀξίαν δὲ καὶ ὅλην τὴν πόλιν ἐν ᾗ ἦν, τὴν Ἔφεσον, θέας ἐποίησεν. ἥτε γὰρ ἀγορὰ ἦν μεστὴ παντοδαπῶν καὶ ἵππων καὶ ὅπλων ὠνίων· οἵτε χαλκοτύποι, καὶ οἱ τέκτονες, καὶ οἱ χαλκεῖς, καὶ οἱ σκυτοτόμοι, καὶ οἱ ζωγράφοι, πάντες πολεμικὰ ὅπλα κατεσκεύαζον, ὥστε τὴν πόλιν ὄντως οἴεσθαι πολέμου ἐργαστήριον εἶναι.

ιή. Ἐπερρώσθη δ' ἄν τις καὶ ἐκεῖνο ἰδὼν, Ἀγησίλαον μὲν πρῶτα, ἔπειτα δὲ καὶ τοὺς ἄλλους στρατιώτας ἐστεφανωμένους ἀπὸ τῶν γυμνασίων ἀπιόντας, καὶ ἀνατιθέντας τοὺς στεφάνους τῇ Ἀρτέμιδι. ὅπου γὰρ ἄνδρες θεοὺς μὲν σέβοιντο, τὰ δὲ πολεμικὰ ἀσκοῖεν, πειθαρχεῖν δὲ μελετῷεν, πῶς οὐκ εἰκὸς ἐνταῦθα πάντα μεστὰ ἐλπίδων ἀγαθῶν εἶναι;

ιθ'. Ἡγούμενος δὲ καὶ τὸ καταφρονεῖν τῶν πολεμίων ῥώμην

quot egregie praeſtare viderentur ea, quae ipſorum officii ratio poſceret. Tum vero, gymnaſia cuncta viris exercentibus ſe referta, videre erat, refertumque hippodromum iis, qui equitabant: iaculatores etiam ſagittariique ſe exercebant.

17. Itaque factum, vt totum Epheſinum oppidum, in quo verſabatur, ſpectatu dignum eſſet. Nam et forum omnigenis refertum erat equis armiſque venalibus, et fabri lignarii, et aerarii, et ſutores, et pictores, vniuerſi arma bellica parabant: vt reapſe belli officinam eſſe vrbem ipſam exiſtimares.

18. Confirmabat hoc quoque alicuius animum, quod primum Ageſilaum ipſum, deinde milites caeteros corollis redimitos e gymnaſiis abire cerneret, ipſasque corollas Dianae ſuſpendere. Nam vbi homines religioſe Deos venerantur, et bellicis in rebus exercentur, et ſe, vt dicto ſint audientes, condocefaciunt; quî non iſtic conſentaneum ſit optima ſpe cuncta plena eſſe?

19. Quum item exiſtimaret, contemtum hoſtium robur quoddam

ῥώμην τινὰ ἐμβάλλειν πρὸς τὸ μάχεσθαι, προεῖπε τοῖς κήρυξι, τὰς ὑπὸ τῶν λῃστῶν ἁλισκομένας βαρβάρας γυμνὰς πωλεῖν. ὁρῶντες δ' ἂν οἱ στρατιῶται λευκὰς μὲν, διὰ τὸ μηδέποτε ἐκδύεσθαι, μαλακὰς δὲ καὶ ἀπόνους, διὰ τὸ ἀεὶ ἐπ' ὀχημάτων εἶναι, ἐνόμισαν ῥᾴδιον διοίσειν τὸν πόλεμον ἢ εἰ γυναιξὶ δέοι μάχεσθαι.

κ'. Ἐν δὲ τούτῳ τῷ χρόνῳ καὶ ὁ ἐνιαυτὸς ἤδη, ἀφ' οὗ ἐξέπλευσεν ὁ Ἀγησίλαος, διεληλύθει, ὥστε οἱ μὲν περὶ Λύσανδρον τριάκοντα, οἵπερ ἀπέπλεον· διάδοχοι δ' αὐτῶν, οἱ περὶ Ἡριππίδαν παρῆσαν. τούτων Ξενοκλέα μὲν, καὶ ἄλλον, ἔταξεν ἐπὶ τὰς ἵππους, Σκύθην δὲ, ἐπὶ τοὺς νεοδαμώδεις ὁπλίτας, Ἡριππίδαν δ', ἐπὶ τοὺς Κυρείους, Μίγδωνα δὲ, ἐπὶ τοὺς ἀπὸ τῶν πόλεων στρατιώτας. καὶ προεῖπεν αὐτοῖς, ὅτι ὡς εὐθὺς ἡγήσοιτο τὴν συντομωτάτην ἐπὶ τὰ κράτιστα τῆς χώρας, ὅπως αὐτόθεν ἔτω τὰ σώματα καὶ τὴν γνώμην παρασκευάζοιντο, ὡς ἀγωνιούμενοι.

κα'. Ὁ μέντοι Τισσαφέρνης ταῦτα μὲν ἐνόμισε λέγειν αὐτὸν, πάλιν βουλόμενον ἐξαπατῆσαι, ἐς Καρίαν δὲ νῦν τῷ

quoddam in animis ad pugnandum excitare: praeconibus edixit, vt capti a praedonibus barbari nudi venderentur. Itaque milites, qui albos quidem eos esse cernerent, quod nunquam exuere se consueuissent; sed molles, nullisque laboribus exercitos, quod semper vehiculis vterentur; bellum hoc non aliud fore putabant, atque si praelio cum feminis decernendum esset.

20. Appetierat iam id tempus, quo anni spatium exactum erat a discessu Agesilai e patria. Ea re factum, vt Trigintauiri, quorum princeps erat Lysander, patriam repeterent: eorumque successores, Herippida principe, adessent. Ex his Xenoclem Agesilaus, vna cum quodam alio, copiis equestribus praefecit; tironibus, qui armatura graui vtebantur, Scythen; Cyri militibus, Herippidam; Migdonem, missis ab oppidis militibus. Denuntiat etiam, ducturum se statim via maxime compendiaria versus hostilis agri partem vberrimam: vt ex ea re tum corpora tum animi ad pugnam praepararentur.

21. Enimuero Tissaphernes haec Agesilaum dicere putabat, volentem rursus dolo se circumuenire; nimirum iam

reuera

τῷ ὄντι ἐκβαλεῖν *. καὶ τό, τε πεζὸν, καθάπερ τὸ πρόσθεν, ἐς Καρίαν διεβίβασε, καὶ τὸ ἱππικὸν ἐς τὸ Μαιάνδρου πεδίον κατέσησεν. ὁ δ' Ἀγησίλαος οὐκ εἰψεύσατο, ἀλλ', ὥσπερ προεῖπεν, εὐθὺς ἐς τὸν Σαρδιανὸν τόπον ἐνέβαλε, καὶ τρεῖς μὲν ἡμέρας δι' ἐρημίας πολεμίων πορευόμενος, πολλὰ τὰ ἐπιτήδεια τῇ στρατιᾷ εἶχε.

κβ'. Τῇ δὲ τετάρτῃ ἦκον οἱ τῶν πολεμίων ἱππεῖς. καὶ τῷ μὲν ἄρχοντι τῶν σκευοφόρων εἶπε, διαβάντι τὸν Πακτωλὸν ποταμὸν στρατοπεδεύεσθαι. αὐτοὶ δὲ κατιδόντες τὰς τῶν Ἑλλήνων ἀκολούθους ἐσπαρμένας ἐς ἁρπαγὴν, πολλὰς αὐτῶν ἀπέκτειναν. αἰσθόμενος δὲ Ἀγησίλαος, βοηθεῖν ἐκέλευσε τὰς ἱππέας. οἱ δ' αὖ Πέρσαι ὡς εἶδον τὴν βοήθειαν, ἠθροίσθησαν, καὶ ἀντιπαρετάξαντο πλήθεσι τῶν ἱππέων τάξεσιν.

κγ'. Ἐνθα δὴ Ἀγησίλαος, γιγνώσκων ὅτι τοῖς μὲν πολεμίοις ὕπω παρείη τὸ πεζὸν, αὐτῷ δὲ οὐδὲν ἀπήει τῶν παρεσκευασμένων, καλὸν ἡγήσατο μάχην ξυνάψαι, εἰ δύναιτο,

reuera facturum in Cariam impetum. Itaque peditatum, vti prius quoque factum erat, in Cariam traducit: equitatu in Maeandri planicie subsistere iusso. At vero Agesilaus, quod praedixerat, praestitit; ac recta Sardianam in regionem impetum fecit. Quumque triduum, hoste nullo conspecto, progrederetur; magnam rerum necessariarum copiam pro exercitu habebat. Die quarto equites hostium aderant.

22. Tunc impedimentorum praefecto imperat, vt, amne Pactolo traiecto, castra metaretur. Hostes autem conspicati eos, qui Graecorum agmen sequebantur, hinc inde palatos praedam agere: complures ex eis trucidant. Id animaduertens Agesilaus, equites suis opem ferre iubet. Persae quum his auxiliares copias summitti viderent, colligunt sese, ac vniuersas equestres turmas in aciem explicatas Graecis opponunt.

23. Ibi vero Agesilaus secum ipse cogitans, necdum hostibus peditatum adesse, sibi vero nihil eorum, quae ad bellum parauerat, deesse: opportune se facturum arbitrabatur, si decernere proelio cum hoste posset. Itaque caesis

* Al. ἐμβαλεῖν.

δύναιτο. σφαγιασάμενος δ' ὖν, τὴν μὲν φάλαγγα εὐθὺς ἦγεν ἐπὶ τοὺς παρατεταγμένους ἱππέας. ἐκ δὲ τῶν ἱππέων* ἐκέλευσε τοὺς δέκα ἀφ' ἥβης θεῖν ὁμόσε αὐτοῖς· τοῖς δὲ πελταστὰῖς εἶπε δρόμῳ ὑφηγεῖσθαι. παρήγγειλε δὲ καὶ τοῖς ἱππεῦσιν ἐμβάλλειν, ὡς αὐτῷ τε καὶ παντὸς τοῦ στρατεύματος ἑπομένου.

κδ'. Τοὺς μὲν δὴ ἱππέας ἐδέξαντο οἱ Πέρσαι. ἐπεὶ δὲ ἅμα πάντα τὰ δεινὰ παρῆν, ἐνέκλιναν, καὶ οἱ μὲν αὐτῶν εὐθὺς ἐν τῷ ποταμῷ ἔπεσον, οἱ δ' ἄλλοι ἔφυγον. οἱ δὲ Ἕλληνες ἐπακολουθοῦντες αἱροῦσι καὶ τὸ στρατόπεδον αὐτῶν. καὶ οἱ μὲν πελταστὰι, ὥσπερ εἰκὸς, ἐς ἁρπαγὴν ἐτράποντο· ὁ δ' Ἀγησίλαος κύκλῳ πάντα καὶ φίλια καὶ πολέμια περιεστρατοπεδεύσατο. καὶ ἄλλα τε πολλὰ χρήματα ἑλήφθη, ἃ εὗρε πλέον ἢ ἑβδομήκοντα τάλαντα, καὶ αἱ κάμηλοι δὲ τότε ἑλήφθησαν, ἃς Ἀγησίλαος ἐς τὴν Ἑλλάδα ἀπήγαγεν.

κε'. Ὅτε δὲ αὕτη ἡ μάχη ἐγένετο, Τισσαφέρνης ἐν Σάρδεσιν ἔτυχεν ὤν· ὥστε ἠτιῶντο οἱ Πέρσαι προδεδόσθαι ὑπ' αὐτοῦ. γνοὺς

sis victimis, recta phalangem aduersus instructos equites ducebat; mandans vt ex peditibus armatis, quotquot annis decem pubertatem excessissent, secum in hostem cursu ferrentur, et iussis itidem cetratis cursu subsequi. Equitatui quoque denuntiat, vt in aciem aduersam impetum faceret; se cum copiis vniuersis subsequuturum pollicitus.

24. Excepere impressionem equitum Persae. At vbi simul imminere omnia terribilia vident, acie inclinata, partim recta in flumen decidunt, partim fuga sibi consulunt. Eos subsequuti Graeci, etiam castris hostium potiuntur. Tum vero cetrati, vt fit, ad praedas se conuertunt. Agesilaus vndique copiis vniuersa tum sua tum hostilia complexus, inter alias opes, quas captas talenta LXX excedere comperit, etiam camelis iis potitus est, quas deinde in Graeciam abduxit.

25. Dum haec pugna committeretur, forte Sardibus Tissaphernes erat. Quare factum, vt ipsum Persae insimularent, quasi ab eo deserti proditique fuissent. Et vero quia

* Al. malunt ex Agesilao ἑπλιτῶν.

γνὺς δὲ καὶ αὐτὸς ὁ Περσῶν βασιλεὺς, Τισσαφέρνην αἴτιον εἶναι τῷ κακῶς φέρεσθαι τὰ αὑτῷ, Τιθραύστην καταπέμψας, ἀποτέμνει αὐτῷ τὴν κεφαλήν. τοῦτο δὲ ποιήσας ὁ Τιθραύστης, πρέσβεις πέμπει πρὸς τὸν Ἀγησίλαον λέγοντας· Ὦ Ἀγησίλαε, ὁ μὲν αἴτιος τῶν πραγμάτων καὶ ὑμῖν καὶ ἡμῖν, ἔχει τὴν δίκην. βασιλεὺς δὲ ἀξιοῖ, σὲ μὲν ἀποπλεῖν οἴκαδε, τὰς δ' ἐν τῇ Ἀσίᾳ πόλεις αὐτονόμους ἔσας τὸν ἀρχαῖον δασμὸν αὐτῷ ἀποφέρειν. ἀποκρινομένῳ δὲ τῷ Ἀγησιλάῳ, ὅτι οὐκ ἂν ποιήσειε ταῦτα ἄνευ τῶν οἴκοι τελῶν· σὺ δ' ἀλλὰ, ἕως ἂν πύθῃ τὰ παρὰ τῆς πόλεως, μεταχώρησον, ἔφη, ἐς τὴν Φαρναβάζου, ἐπειδὴ καὶ ἐγὼ τὸν σὸν ἐχθρὸν τετιμώρημαι. ἕως ἂν τοίνυν, ἔφη ὁ Ἀγησίλαος, ἐκεῖσε πορεύωμαι, δίδου τῇ στρατιᾷ τὰ ἐπιτήδεια. ἐκείνῳ μὲν δὴ ὁ Τιθραύστης δίδωσι τριάκοντα τάλαντα. ὁ δὲ λαβὼν ἦει ἐπὶ τὴν Φαρναβάζου Φρυγίαν.

κς'. Ὁντι δ' αὐτῷ ἐν τῷ πεδίῳ τῷ ὑπὲρ Κύμης, ἔρχεται ἀπὸ τῶν οἴκοι τελῶν, ὁ ἐπιστέλλων ἄρχειν καὶ τοῦ ναυτικοῦ,

quia rex ipſe Perſarum intellexiſſet, vnius culpa Tiſſaphernis fieri, quod eſſent res ſuae male comparatae; miſſo Tithrauſte, caput homini praecidi iuſſit. Ea re confecta, legatos ad Ageſilaum Tithrauſtes mittit, qui eum in hanc ſententiam compellarent: Belli huius, Ageſilae, tum vobis tum nobis auctor, merito ſupplicio multatus eſt. Aequum autem rex arbitratur eſſe, vt tu domum nauiges, et Aſiae ciuitates, ſuis vtendi legibus impetrata facultate, priſtinum regi tributum pendant. Ad ea reſpondente Ageſilao, nunquam ſe id absque magiſtratuum in patria conſenſu facturum: Ergo tu, inquit Tithrauſtes, donec quid patria tibi denuntiet, intelligas, in Pharnahazi ditionem recedito: quando tuum hoſtem ego ſupplicio affeci. Et Ageſilaus: Da igitur, inquit, commeatum exercitui meo, donec eo perueniamus. Itaque Tithrauſtes talenta xxx dedit: quibus acceptis, Ageſilaus Phrygiam verſus, quae Pharnabazo parebat, pergit.

26. Quumque in campo eſſet ſupra Cumam ſito, a magiſtratibus e patria quidam miſſus aderat, qui iubebat, vt etiam claſſis

τικῷ, ὅπως γινώσκοι, καὶ κατασήσαθαι ναύαρχον ὅντινα αὐτὸς βούλοιτο. τοῦτο δ' ἐποίησαν οἱ Λακεδαιμόνιοι τοιῷδε λογισμῷ, ὡς εἰ ὁ αὐτὸς ἀμφοτέρων ἄρχει, τό, τε πεζὸν πολὺ ἂν ἰσχυρότερον εἶναι, καθ' ὅσης τῆς ἰσχύος ἀμφοτέροις, τό, τε ναυτικὸν, ἐπιφαινομένῳ τῷ πεζῷ ἔνθα δέοι.

κζ'. Ἀκούσας δὲ ταῦτα ὁ Ἀγησίλαος, πρῶτον μὲν ταῖς πόλεσι παρήγγειλε ταῖς ἐν ταῖς νήσοις, καὶ ταῖς ἐπιθαλατ[ι]δίοις, τριήρεις ποιεῖσθαι, ὁπόσας ἑκάστη βούλοιτο τῶν πόλεων. καὶ ἐγένοντο καιναὶ, ἐξ ὧν αἵ τε πόλεις ἐπηγγείλαντο, καὶ οἱ ἰδιῶται ἐποιοῦντο, χαρίζεσθαι βουλόμενοι, ἐς εἴκοσι καὶ ἑκατόν. Πείσανδρον δὲ τὸν τῆς γυναικὸς ἀδελφὸν ναύαρχον κατέστησε, φιλότιμον μὲν καὶ ἐρρωμένον τὴν ψυχὴν, ἀπειρότερον δὲ τοῦ παρασκευάσεσθαι ὡς δεῖ. καὶ Πείσανδρος μὲν ἀπελθὼν, τὰ ναυτικὰ ἔπρατ[τ]εν· ὁ δ' Ἀγησίλαος, ὥσπερ ὥρμησεν, ἐπὶ τὴν Φρυγίαν ἐπορεύετο.

ΚΕΦ.

classis imperium arbitratu suo caperet; ac praefectum classis constituere, quem ipse vellet. Id ex huiusmodi causa quadam ac ratione Lacedaemonii faciebant. Arbitrabantur fore, vt si vtrinque idem imperaret, coniunctis ambabus copiis, tum terrestris exercitus longe firmior esset, tum classis, succurrente huic terrestri, vbi res ita poscceret.

27. Ea quum accepisset Agesilaus, primum insulanis et maritimis oppidis denuntiat, vt triremes, quot quidem cuique oppido visum esset, aedificarent. Factae triremes nouae, partim eae, quas oppida pollicebantur, partim quas homines priuati studio gratificandi Agesilao exstruxere, circiter cxx. Classi Pisandrum, vxoris suae fratrem, praefecit; hominem quidem illum honoris laudisque cupidum, et praesentis animi: sed imperitiorem tamen instruendi omnia, prout vsus postularet. Ille digressus a castris, rem classiariam tractare coepit: Agesilao ita, vt instituerat, in Phrygiam contendente.

CAP.

ΚΕΦ. ε΄.

Ο μέντοι Τιθραύστης, καταμαθεῖν δοκῶν, τὸν Αγησίλαον καταφρονοῦντα τῶν βασιλέως πραγμάτων, καὶ ὀδαμῆ διανοούμενον ἀπιέναι ἐκ τῆς Ασίας, ἀλλὰ μᾶλλον ἐλπίδας ἔχοντα μεγάλας αἱρήσειν βασιλέα, ἀπορῶν τί χρῷτο τοῖς πράγμασι, πέμπει Τιμοκράτην τὸν Ρόδιον ἐς τὴν Ελλάδα, δοὺς χρυσίον ἐς πεντήκοντα τάλαντα ἀργυρίῳ, καὶ κελεύει πειρᾶσθαι, πρὸς τὰ μέγιστα λαμβάνοντα, διδόναι τοῖς προεστηκόσιν ἐν ταῖς πόλεσιν, ἐφ' ᾧ τε πόλεμον ἐξοίσειν πρὸς Λακεδαιμονίους. ἐκεῖνος δ' ἐλθὼν δίδωσιν, ἐν Θήβαις μὲν, Ανδροκλείδᾳ τε καὶ Ισμηνίᾳ καὶ Γαλαξιδώρῳ· ἐν Κορίνθῳ δὲ, Τιμολάῳ τε καὶ Πολυάνθει· ἐν Αργει δὲ, Κύκλωνί τε καὶ τοῖς μετ' αὐτοῦ.

β΄. Αθηναῖοι δὲ, καὶ ὁ μεταλαβόντες τούτου τοῦ χρυσίου, ὅμως πρόθυμοι ἦσαν ἐς τὸν πόλεμον,* νομίζοντές τε αὐτῶν ἄρχεσθαι. οἱ μὲν δὴ δεξάμενοι τὰ χρήματα ἐς τὰς οἰκείας πόλεις,

CAP. V.

Interim Tithrauſtes, qui animaduertere ſibi videretur, Ageſilao, regis Perſici res ſpernenti, nequaquam eſſe in animo, Alia excedere; ſed potius magnas ipſum, de rege ſuperando, ſpes concepiſſe: ſuſpenſus aliquantiſper animo, quid potiſſimum ageret, tandem in Graeciam Timocratem Rhodium mittit; datoque huic auro, quod argenti talenta quinquaginta aequaret, operam daret, imperat; vt, maximis fidei pignoribus acceptis, id in praeſides ciuitatum diſtribueret, quo bellum illi Lacedaemoniis facerent. Profectus hic in Graeciam, Thebis quidem Androclidae, et Iſmeniae, et Galaxidoro aurum numerat: Corinthi vero, Timolao et Polyanthi: Argis, Cycloni et ipſius complicibus.

2. Athenienſes quamuis participes auri huius facti non eſſent, nihilo tamen minus ad bellum propenſi erant, ſimulque ſibi deberi ſummum in bello imperium exiſtimabant. Igitur quotquot has pecunias ſua intra oppida receperant, Lacedae-

* Al. ἐνόμιζον.

πόλεις, διέβαλον τὰς Λακεδαιμονίους. ἐπεὶ δὲ ταύτας ἐς μῖσος αὐτῶν προήγαγον, συνίσασαν καὶ τὰς μεγίστας πόλεις πρὸς ἀλλήλας.

γ'. Γιγνώσκοντες δὲ οἱ ἐν ταῖς Θήβαις προεστῶτες, ὅτι εἰ μή τις ἄρξοι πολέμου, οὐκ ἐθελήσουσιν οἱ Λακεδαιμόνιοι λύειν τὰς σπονδὰς πρὸς τοὺς συμμάχους, πείθουσι Λοκροὺς τοὺς Ὀπουντίους ἐκ τῆς ἀμφισβητησίμου χώρας φωκεῦσί τε καὶ ἑαυτοῖς χρήματα τελέσαι, νομίζοντες τοὺς Φωκέας, τούτου γενομένου, ἐμβαλεῖν ἐς τὴν Λοκρίδα. καὶ οὐκ ἐψεύσθησαν, ἀλλ' εὐθὺς οἱ Φωκεῖς ἐμβαλόντες ἐς τὴν Λοκρίδα, πολλαπλάσια χρήματα ἔλαβον.

δ'. Οἱ οὖν περὶ τὸν Ἀνδροκλείδαν ταχὺ ἔπεισαν τοὺς Θηβαίους βοηθεῖν τοῖς Λοκροῖς, ὡς οὐκ ἐς τὴν ἀμφισβητήσιμον, ἀλλ' ἐς τὴν ὁμολογουμένην φίλην τε καὶ σύμμαχον εἶναι Λοκρίδα ἐμβεβληκότων αὐτῶν. ἐπεὶ δὲ οἱ Θηβαῖοι ἀντεμβαλόντες ἐς τὴν Φωκίδα, ἐδῄουν τὴν χώραν, εὐθὺς οἱ Φωκεῖς πέμπουσι πρέσβεις ἐς Λακεδαίμονα, καὶ ἠξίουν βοηθεῖν αὐτοῖς, διδάσκοντες ὡς οὐκ ἤρξαντο πολέμου,

Lacedaemonios criminabantur. Quumque apud ciuitates ſuas odium horum excitaſſent, perfecerunt, vt vrbes ampliſſimae inter ſe conſpirarent.

3. Et quia Thebanae ciuitatis principes intelligebant, haudquaquam futurum, vt foedera cum ſociis inita Lacedaemonii violarent, niſi quis initium bello faceret: Locris Opuntiis perſuadent, vt ex agro inter Phocenſes et Thebanos controuerſo pecunias penderent; quod exiſtimarent, ſi id fieret, Phocenſes Locridem inuaſuros. Neque ſpes eos ſua feſellit. Nam mox Phocenſes in Locridem irruentes, pecuniam multo maiorem eis ademerunt.

4. Tum Androclidae adhaerentes celeriter Thebanis perſuadent, opem Locris eſſe ferendam; non iam illos in regionem controuerſam, ſed in eam Locridem, quae ſe Thebanis amicam foederatamque profiteretur, impetum feciſſe. Thebanis igitur e contrario Phocidem inuadentibus, et eorum populantibus agrum: mox Phocenſes Lacedaemonem legatos mittunt, opem expoſcunt, non belli ſe auctores eſſe docent, qui ſui

λέμῳ, ἀλλ' ἀμυνόμενοι ἦλθον ἐπὶ τὰς Λοκρίδας.

ε'. Οἱ μέντοι Λακεδαιμόνιοι ἄσμενοι ἔλαβον πρόφασιν στρατεύειν ἐπὶ τὰς Θηβαίους, πάλαι ὀργιζόμενοι αὐτοῖς τῆς τε ἀντιλήψεως τῆς τοῦ Ἀπόλλωνος δεκάτης ἐν Δεκελείᾳ, καὶ τοῦ ἐπὶ τὸν Πειραιᾶ μὴ ἐθελῆσαι ἀκολουθῆσαι. ἠτιῶντο δ' αὐτοὺς καὶ Κορινθίους πεῖσαι μὴ συστρατεύειν. ἀνεμιμνήσκοντο δὲ καὶ ὡς θύειν τ' ἐν Αὐλίδι τὸν Ἀγησίλαον ἐκ εἴων, καὶ τὰ τεθυμένα ἱερὰ ὡς ἔρριψαν ἀπὸ τοῦ βωμοῦ· καὶ ὅτι οὐδ' ἐς τὴν Ἀσίαν ξυνεστράτευον Ἀγησιλάῳ. ἐλογίζοντο δὲ καὶ καλὸν καιρὸν εἶναι τοῦ ἐξάγειν στρατιὰν ἐπ' αὐτούς, καὶ παῦσαι τῆς ἐς αὐτοὺς ὕβρεως. τά τε γὰρ ἐν τῇ Ἀσίᾳ καλῶς σφίσιν ἔχειν κρατοῦντος Ἀγησιλάου, καὶ ἐν τῇ Ἑλλάδι οὐδένα ἄλλον πόλεμον ἐμποδὼν σφίσιν εἶναι.

ς'. Οὕτω δὲ γιγνωσκούσης τῆς πόλεως τῶν Λακεδαιμονίων, φρυκὰν μὲν οἱ Ἔφοροι ἔφαινον, Λύσανδρον δ' ἐξέπεμψαν ἐς Φωκέας, καὶ ἐκέλευσαν αὐτούς τε τοὺς Φωκέας

sui defendendi cauſſa profecti aduerſus Locros eſſent.

5. Enimuero Lacedaemonii perlubentes occaſionem mouendi aduerſus Thebanos belli arripiunt, iam olim eis infenſi, quod apud Deceleam Apollinis decumam ſibi vindicaſſent: et quod aduerſus Piraeeum ſequi Lacedaemonios noluiſſent. Hanc quoque culpam in eos conferebant, quod Corinthiis auctores extitiſſent, ne in eadem expeditione ſeLacedaemoniis adiungerent. Succurrebat itidem animis, quod non ſolum in Aulide rem diuinam Ageſilaum facere prohibuiſſent: verum etiam mactatas hoſtias de ara deieciſſent: Eoſdem ne quidem in Aſiam ducentis Ageſilai ſigna ſequi voluiſſe. Tempus ipſum peropportunum ſe nactos arbitrabantur ducendi aduerſus eos copias, et reprimendae ipſorum contra ſe inſolentiae. Quippe res in Aſia ſecundas eſſe, Ageſilao rerum potiente: nec vllum ſibi aliud in Graecia bellum eſſe impedimento.

6. Haec quum eſſet ciuitatis Lacedaemoniorum ſententia, copias decernunt Ephori, et Lyſandrum Phocenſibus mittunt;

κέας ἄγοντα παρεῖναι, καὶ Οἰταίους, καὶ Ἡρακλεώτας, καὶ Μηλιέας, καὶ Αἰνιᾶνας, ἐς Ἀλίαρτον. ἐκεῖσε δὲ καὶ Παυσανίας, ὅσπερ ἔμελλεν ἡγεῖσθαι, ξυνετίθετο παρέσεσθαι ἐς ῥητὴν ἡμέραν, ἔχων Λακεδαιμονίους τε καὶ τοὺς ἄλλους ξυμμάχους τῶν Πελοποννησίων. καὶ ὁ μὲν Λύσανδρος τά τε ἄλλα τὰ κελευόμενα ἔπρατ|τε, καὶ προσέτι Ὀρχομενίους ἀπέστησε Θηβαίων.

ζ'. Ὁ δὲ Παυσανίας, ἐπεὶ τὰ διαβατήρια ἐγένετο αὐτῷ, καθεζόμενος ἐν τῇ Τεγέᾳ, τούς τε ξεναγοὺς διέπεμπε, καὶ τοὺς ἐκ τῶν περιοικίδων πόλεων στρατιώτας περιέμενεν. ἐπεὶ γε μὴν δῆλον τοῖς Θηβαίοις ἐγένετο, ὅτι ἐμβάλλοιεν οἱ Λακεδαιμόνιοι ἐς τὴν χώραν αὐτῶν, πρέσβεις ἔπεμψαν Ἀθήναζε, λέγοντας τάδε·

η'. "Ὦ ἄνδρες Ἀθηναῖοι, ἃ μὲν μέμφεσθε ἡμῖν, ὡς ψηφισαμένοις χαλεπὰ περὶ ὑμῶν ἐν τῇ καταλύσει τοῦ πολέμου, οὐκ ὀρθῶς μέμφεσθε. οὐ γὰρ ἡ πόλις ἐκεῖνα ἐψηφίσατο, ἀλλ' εἷς ἀνὴρ εἶπεν, ὃς ἔτυχε τότε ἐν τοῖς συμμάχοις καθήμενος. ὅτε δὲ παρεκάλουν ἡμᾶς οἱ Λακεδαιμόνιοι

iuſſum Phocenſes ipſos, et Oetaeos, et Heraclienſes, et Melienſes, et Aenianes adducere, cumque his apud Haliartum praeſto eſſe. Nam iſtic etiam Pauſanias, huius belli dux, ſe ad diem conſtitutum vna cum Lacedaemoniis, caeteriſque Peloponneſiorum ſociis adfuturum condixerat. Lyſander cum alia ſibi imperata faciebat, tum etiam Orchomenios a fide Thebanorum auertit.

7. At Pauſanias, poſteaquam de traducendis copiis facta re ſacra perlitaſſet, apud Tegeam ſubſiſtebat, ac partim conductitii militis duces hinc inde mittebat, partim finitimorum oppidum milites opperiebatur. Interea facti certiores Thebani; Lacedaemonios ipſorum fines inuadere: legatos Athenas mittunt, qui haec dicerent:

8. Quod de nobis querimini, Athenienſes, quaſi dura quaedam ſub belli finem aduerſus vos decreuerimus, haud recte facitis. Nam id decretum non a republica noſtra factum, ſed ab vno prolatum homine fuit, qui tunc foederatorum in conſeſſu erat. Quo vero tempore Lacedaemonii nos aduerſus

Piraeeum

μόνιοι ἐπὶ τὸν Πειραιᾶ, τότε ἅπασα ἡ πόλις ἀπεψηφίσατο μὴ συστρατεύειν αὐτοῖς.

Δί' ὑμᾶς ἂν ἀχ ἥκιστα ὀργιζομένων ἡμῖν τῶν Λακεδαιμονίων, δίκαιον εἶναι νομίζομεν, βοηθεῖν ὑμᾶς τῇ πόλει ἡμῶν. πολὺ δ' ἔτι μᾶλλον ἀξιῶμεν, ὅσοι τῶν ἐν ἄστει ἐγένεσθε, προθύμως ἐπὶ τὰς Λακεδαιμονίας ἰέναι. ἐκεῖνοι γὰρ καταστήσαντες ὑμᾶς ἐς ὀλιγαρχίαν καὶ ἐς ἔχθραν τῷ δήμῳ, ἀφικόμενοι πολλῇ δυνάμει ὡς ὑμῖν σύμμαχοι, παρέδοσαν ὑμᾶς τῷ πλήθει· ὥστε τὸ μὲν ἐπ' ἐκείνοις εἶναι, ἀπολώλατε, ὁ δὲ δῆμος ἀτοσὶ ὑμᾶς ἔσωσε.

Καὶ μὴν ὅτι μὲν, ὦ ἄνδρες Ἀθηναῖοι, βάλοιθ' ἂν τὴν ἀρχὴν, ἣν πρότερον ἐκέκτησθε, ἀναλαβεῖν, πάντες ἐπισάμεθα. τοῦτο δὲ πῶς μᾶλλον εἰκὸς γενέσθαι, ἢ εἰ αὐτοὶ τοῖς ὑπ' ἐκείνων ἀδικημένοις βοηθοῖτε; ὅτι δὲ πολλῶν ἄρχετε, μὴ φοβηθῆτε, ἀλλὰ πολὺ μᾶλλον διὰ τοῦτο θαρρεῖτε· ἐνθυμούμενοι, ὅτι καὶ ὑμεῖς, ὅτε πλείστων

Piraeeum inuitabant, tum ſcilicet vniuerſa reſpublica, decreto promulgato, eſſe iuuandos eo bello Lacedaemonios negauit.

Quare quum non minima ex parte veſtri cauſſa nobis illi ſuccenſeant, aequum cenſemus eſſe, vt vos ciuitati noſtrae opem feratis. Quin et longe ducimus aequius, ex vobis eos potiſſimum, quotquot eratis in vrbe, cupidis animis Lacedaemonios inuadere. Nam illi ſtatu reipublicae veſtrae paucorum in dominationem conuerſo, et odio populi contra vos concitato, deinde magnis cum copiis, velut ſocii veſtri, venientes; multitudini plebeiae vos obiecerunt. Itaque quod ipſos attinet, iamdudum periiſſetis: quod autem conſeruati eſtis, id huic plebi veſtrae debetur.

Enimuero cupere vos, Athenienſes, imperium priſtinum recuperare, nemo noſtrum neſcit. At qui fieri poſſit hoc commodius, quam ſi per iniuriam laeſis a Lacedaemoniis auxilio fueritis? Neque vobis idcirco metuendum eſt, quod illi multis imperent: ſed potius eam ob cauſſam animis fidentibus eſtote. Nam cogitare debetis, vos quoque tum temporis, quum

πλείσων ἤρχετε, τότε πλείσυς ἐχθρὺς ἐκέκτησθε. ἀλλ' ἕως μὲν ὐκ εἶχον, ὅποι ἀποσαῖεν, ἔκρυπτον τὴν πρὸς ὑμᾶς ἔχθραν· ἐπεὶ δέ γε Λακεδαιμόνιοι προέσησαν, τότε ἔφηναν οἷα περὶ ὑμῶν ἐγίγνωσκον. καὶ νῦν γε ἂν φανεροὶ γενώμεθα ἡμεῖς τε καὶ ὑμεῖς ξυνασπιῶντες * ἐναντία τοῖς Λακεδαιμονίοις, εὖ ἴσε, ἀναφανήσονταί πολλοὶ οἱ μισῦντες αὐτύς.

Ὡς δ' ἀληθῆ λέγομεν, ἐὰν ἀναλογίσησθε, αὐτίκα γνώσεσθε. τίς γὰρ ἤδη καταλείπεται αὐτοῖς εὐμενής; ὐκ Αργεῖοι μὲν ἀεί ποτε δυσμενεῖς αὐτοῖς ὑπάρχυσιν; Ηλεῖοι γεμὴν, νῦν ἐσερημένοι καὶ χώρας πολλῆς καὶ πόλεων, ἐχθροὶ αὐτοῖς προσγεγένηνται. Κορινθίυς δὲ, καὶ Αρκάδας, καὶ Αχαιὺς τί φῶμεν; οἳ ἐν μὲν τῷ πρὸς ὑμᾶς πολέμῳ, μάλα λιπαρύμενοι ὑπ' ἐκείνων πάντων, καὶ πόνων καὶ κινδύνων καὶ τῶν δαπανημάτων μετεῖχον· ἐπεὶ δ' ἔπραξαν ἃ ἐβύλοντο οἱ Λακεδαιμόνιοι, ποίας ἢ ἀρχῆς, ἢ τιμῆς, ἢ ποίων χρημάτων μεταδεδώκασιν αὐτοῖς; ἀλλὰ τὺς

in plurimos vobis imperium eſſet, plurimos itidem hoſtes habuiſſe. Nimirum quouſque non erant, ad quos deficerent, hoſtilem erga vos animum occultabant. Sed vbi ſe Lacedaemonii duces praebuere, tum ſcilicet, quae eſſet ipſorum de vobis ſententia, declararunt. Nunc quoque ſi palam et vos et nos oſtenderimus, aduerſus Lacedaemonios ſocia nos arma coniungere; ſat ſcitote, multos apparituros, qui eos oderint.

Vera nos dicere, ſtatim intelligetis; ſi rem cum animis veſtris expendetis. Nam quis iam reliquus eſt, qui beneuolo ſit in eos animo? An non Argiui ſemper eis infeſti ſunt? Acceſſerunt hoſtes recentes Elei, magna et agri et oppidorum parte multati. Quid de Corinthiis, Arcadibus, Achaeis dicendum erit? qui quidem in eo, quod geſtum aduerſus vos eſt, bello vehementer ab iis vniuerſis rogati; laborum, periculorum, ſumtuum in partem venerunt. Poſt vbi Lacedaemonii, quae voluerant, perfecere; quodnam quaeſo vel imperium, vel honorem, vel opes cum his communicarunt? Nimirum helotes

* Al. ξυνασπιδῶντες, al. ξυνασπιδιῶντες.

τὺς μὲν εἵλωτας ἁρμοσὰς καθισάναι ἀξιῶσι, τῶν δὲ ξυμμάχων ἐλευθέρων ὄντων, ἐπεὶ εὐτύχησαν, δεσπόται ἀναπεφήνασιν.

Αλλὰ μὴν καὶ ὃς ὑμῶν ἀπέσησαν, φανεροί εἰσιν ἐξηπατηκότες. ἀντὶ γὰρ ἐλευθερίας διπλῆν αὐτοῖς δουλείαν παρεσχήκασιν. ὑπό τε γὰρ τῶν ἁρμοσῶν τυραννοῦνται, καὶ ὑπὸ δέκα ἀνδρῶν, ὃς Λύσανδρος κατέστησεν ἐν ἑκάστῃ πόλει. ὁ γεμὴν τῆς Ασίας βασιλεὺς, καὶ τὰ μέγιστα αὐτοῖς συμβαλλόμενος πρὸς τὸ ὑμῶν κρατῆσαι, νῦν τί διάφορον πάσχει, ἢ εἰ μεθ' ὑμῶν κατεπολέμησεν αὐτούς;

Πῶς ἂν οὐκ εἰκὸς, ἐὰν ὑμεῖς αὖ προσῆτε τῶν ὕτω φανερῶς ἀδικουμένων, νῦν ὑμᾶς πολὺ ἥδη μεγίστους τῶν πώποτε γενέσθαι; ὅτε μὲν γὰρ ἤρχετε, τῶν κατὰ θάλατταν μόνον δήπου ἡγεῖσθε· νῦν δὲ πάντων καὶ ἡμῶν, καὶ Πελοποννησίων, καὶ ὧν πρόσθεν ἤρχετε, καὶ αὐτῷ βασιλέως τῷ μεγίστην δύναμιν ἔχοντος ἡγεμόνες ἂν γένησθε. καίτοι ἡμεν πολλῷ ἄξιοι καὶ ἐκείνοις σύμμαχοι,

helotes dignos arbitrantur, quos vrbium praetores conſtituant: ſociorum vero, ingenuorum ſcilicet hominum, poſteaquam fortuna ſunt vſi proſpera, dominos ſe declarant.

Quin illos etiam, quos ab amicitia veſtra diiunxerunt, deceptos ab iis eſſe conſtat. Etenim pro libertate, duplici eos ſeruitute grauarunt. Nam et ab oppidúm praetoribus, et a decemuiris, quos Lyſander qualibet in vrbe conſtituit, indigna tyrannide premuntur. Aſiae quidem regi, qui plurimum eis adiumento fuit, vt ſuo vos imperio ſubiicerent, quid aliud accidit modo, quam ſi et ipſe bello vobiſcum eos oppreſſiſſet?

Qui ergo non fore conſentaneum ſit, vt, ſi vos iam duces iis praebueritis, qui adeo manifeſtis iniuriis affecti ſunt, longe modo potentiſſimi omnium, qui vnquam extiterunt, euadatis? Nam quo tempore vos rerum potiebamini, tantum duces maritimi ſcilicet eratis. At nunc et omnium noſtrum, et Peloponneſiorum, et eorum, quibus olim praeeratis, et ipſius denique regis, cuius ampliſſima eſt potentia, vobis eſſe ducibus licet. Atqui nos Lacedaemoniis foederati maximo eramus

χοι, ὡς ὑμεῖς ἐπίσασθε· νῦν δέ γε εἰκὸς τῷ παντὶ ὑμῖν ἐρρωμενεστέρως ἡμᾶς ἕψεσθαι, ἢ τότε Λακεδαιμονίοις. οὐδὲ γὰρ ὑπὲρ νησιωτῶν, ἢ Συρακουσίων, οὐδ' ὑπὲρ ἀλλοτρίων, ὥσπερ τότε, ἀλλ' ὑπὲρ ἡμῶν αὐτῶν ἀδικουμένων βοηθήσομεν.

Καὶ τοῦτο μέντοι χρὴ εὖ εἰδέναι, ὅτι ἡ Λακεδαιμονίων πλεονεξία πολὺ εὐκαταλυτωτέρα ἐστὶ τῆς ὑμετέρας γενομένης ἀρχῆς. ὑμεῖς μὲν γὰρ ἔχοντες ναυτικὸν, οὐχ ἑκόντων ἤρχετε· οἵτοι δὲ, ὀλίγοι ὄντες, πολλαπλασίων ὄντων, καὶ οὐδὲν χεῖρον ὡπλισμένων πλεονεκτοῦσι. ταῦτ' οὖν λέγομεν ἡμεῖς. εὖγε μέντοι ἐπίσασθε, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι νομίζομεν ἐπὶ πολὺ μείζω ἀγαθὰ παρακαλεῖν ὑμᾶς τῇ ὑμετέρᾳ πόλει, ἢ τῇ ἡμετέρᾳ.„

θ'. Ὁ μὲν ταῦτ' εἰπὼν, ἐπαύσατο. τῶν δ' Ἀθηναίων πάμπολλοι μὲν ξυνηγόρευον, πάντες δ' ἐψηφίσαντο

mus vſui, quod ne vos quidem ignoratis. Nunc tamen vero eſt ſimile, nos omnino firmioribus animis vos ſequuturos, quam tunc ſequuti Lacedaemonios ſimus. Nec enim vel inſulanorum gratia, vel Syracuſanorum, vel omnino in aliena cauſſa, quod tunc factum fuit; ſed in noſtra, qui iniuſte laeſi ſumus, opem feremus.

Hoc quoque ſciendum eſt, ſtatum hunc Lacedaemoniorum, potiorem conditione reliquorum, euerti poſſe multo facilius; quam imperium illud, quod vos obtinuiſtis. Nam vos a naualibus copiis inſtructi, vel inuitos in officio continebatis: at hi perpauci numero ſupra caeteros, longe ipſis plures, nec quidquam deterius armis inſtructos, ſemet eſſerunt. Atque haec ſunt, quae vobis exponere viſum fuit. Illud quidem certe ſcire debetis, Athenienſes, exiſtimare nos, ad ea vos inuitari a nobis, quae reipublicae veſtrae plus allatura ſint boni, quam noſtrae.

9. His expoſitis, legatus Thebanus dicendi finem fecit. Ea vero complures ex Athenienſibus probata ſuadebant, omnes ferendam

φίσαντο βοηθεῖν αὐτοῖς. Θρασύβυλος δὲ ἀποκρινάμενος τὸ ψήφισμα, καὶ τοῦτο ἀνεδείκνυτο, ὅτι ἀτειχίστου τοῦ Πειραιῶς ὄντος, ὅμως παρακινδυνεύσοιεν χάριτα αὐτοῖς ἀποδοῦναι μείζονα, ἢ ἔλαβον. ὑμεῖς μὲν γὰρ, ἔφη, ἐξυνεστρατεύσατε ἐφ' ἡμᾶς, ἡμεῖς δέ γε μεθ' ὑμῶν μαχούμεθα ἐκείνοις, ἂν ἴωσιν ἐφ' ὑμᾶς.

ι. Οἱ μὲν δὴ Θηβαῖοι, ἀπελθόντες παρεσκευάζοντο ὡς ἀμυνούμενοι, οἱ δ' Ἀθηναῖοι, ὡς βοηθήσοντες. καὶ μὴν οἱ Λακεδαιμόνιοι οὐκέτι ἔμελλον, ἀλλὰ Παυσανίας μὲν ὁ βασιλεὺς ἐπορεύετο ἐς τὴν Βοιωτίαν, τό, τε οἴκοθεν ἔχων στράτευμα καὶ τὸ ἐκ Πελοποννήσου· πλὴν Κορίνθιοι οὐκ ἠκολούθουν αὐτοῖς. ὁ δὲ Λύσανδρος ἄγων τὸ ἀπὸ Φωκέων, καὶ Ὀρχομενοῦ, καὶ τῶν κατ' ἐκεῖνα χωρίων στράτευμα, ἔφθη τὸν Παυσανίαν ἐν τῷ Ἁλιάρτῳ γενόμενος.

ια'. Ἥκων δὲ, οὐκέτι ἡσυχίαν ἔχων ἀνέμενε τὸ ἀπὸ Λακεδαιμονίων στράτευμα, ἀλλὰ σὺν οἷς εἶχεν ἦει

ferendam Thebanis opem decernebant. Quumque plebiscitum hoc Thrasybulus responsi loco eis exposuisset, id etiam significabat; populum Athenienſem, tametsi Piraeeus necdum muris cinctus esset, nihilominus suo cum periculo maiorem Thebanis gratiam referre conaturum, quam ipse beneficium accepisset. Nam vos Thebani, ait, expeditioni aduersus nos haud interfuistis: at nos vobiscum aduersus Lacedaemonios pugnabimus, si quidem vos bello petiuerint.

10. Itaque Thebani domum profecti, ad defensionem se comparabant: Athenienses, ad opem eis ferendam. Nec Lacedaemonii quidem amplius cunctabantur, sed rex Pausanias cum Laconicis domo productis, ac Peloponnesi copiis in Boeotiam pergebat. Soli Corinthii non sequebantur. Interea Lysander, qui Phocensium, Orchomeniorum, hisque vicinorum oppidûm ducebat copias, prius ad Haliartum, quam Pausanias, praesto fuit.

11. Quumque iam eo venisset, quiescere non poterat, neque missum a Lacedaemoniis exercitum expectare: sed cum

ἦει πρὸς τὸ τεῖχος τῶν Αλιαρτίων. καὶ τὸ μὲν πρῶτον ἔπειθεν αὐτὸς ἀφίστασθαι Θηβαίων, καὶ αὐτονόμους γίγνεσθαι· ἐπεὶ δὲ τῶν Θηβαίων τινὲς ὄντες ἐν τῷ τείχει διεκώλυον, προσέβαλε πρὸς τὸ τεῖχος.

ιβ'. Ακούσαντες δὲ ταῦτα οἱ Θηβαῖοι, δρόμῳ ἐβοήθουν οἵ τε ὁπλῖται καὶ οἱ ἱππεῖς. ὁπότερα μὲν ἂν, εἴτε λαθόντες τὸν Λύσανδρον ἐπέσον* αὐτῷ, εἴτε καὶ αἰσθόμενος προσιόντας ὡς κρατήσων ὑπέμενεν, ἄδηλον· τοῦτο δ' ἂν σαφὲς, ὅτι παρὰ τὸ τεῖχος ἡ μάχη ἐγένετο, καὶ τρόπαιον ἔστηκε πρὸς τὰς πύλας τῶν Αλιαρτίων. ἐπεὶ δ' ἀποθανόντος Λυσάνδρου ἔφευγον οἱ ἄλλοι πρὸς τὸ ὄρος, ἐδίωκον ἐρρωμένως οἱ Θηβαῖοι.

ιγ'. Ως δὲ ἄνω ἤδη ἦσαν διώκοντες, καὶ στενοχωρία τε καὶ δυσπορία ἐλάμβανεν αὐτὸς, ὑποστρέψαντες οἱ ὁπλῖται ἠκόντιζόν τε καὶ ἔβαλλον. ὡς δὲ ἔπεσον

iis, quos habebat, militibus ad Haliartiorum moenia pergens, primum ſuadebat, a Thebanis vti deficerent, ſeque in libertatem aſſererent. Id vero quum Thebani quidam in oppido fieri prohibuiſſent, muro copias admouit.

12. Ea re Thebani audita, curſu, ad ferendas ſuppetias, cum grauis armaturae peditibus, et equitum copiis, Haliartum contendunt. Vtrum vero in Lyſandrum clam ipſo inciderint, an potius animadvertens ille Thebanos aduentare ſubſtiterit, quaſi qui ſibi victoriam polliceretur, incertum eſt. Hoc conſtat, ad ipſa moenia pugnatum, et tropaeum ad portas Haliartiorum conſtitutum fuiſſe. Lyſandro interfecto, quum ad montem alii fugerent, acriter Thebani eos perſequebantur.

13. Iam in montis cacumen euaſerant perſequendo, quum in delatos ad anguſta tranſituque difficilia loca, gravis armaturae pedites ſe convertunt, et iaculis ac telis eos feriunt. Quumque duo vel

* Alii malunt ἐπίπεσον vel ἐνίπεσον.

ἔπεσον αὐτῶν δύο ἢ τρεῖς οἱ πρῶτοι, καὶ ἐπὶ τὰς λοιπὰς ἐπεκυλίνδων πέτρας ἐς τὸ κάταντες, καὶ πολλῇ προθυμίᾳ ἐνέκειντο, ἐτρέφθησαν οἱ Θηβαῖοι ἀπὸ τῦ κατάντες, καὶ ἀποθνήσκεσιν αὐτῶν πλείες ἢ διακόσιοι.

ιδ'. Ταύτῃ μὲν ἂν τῇ ἡμέρᾳ οἱ Θηβαῖοι ἠθύμεν, νομίζοντες ἐκ ἐλάτ]ω κακὰ πεπονθέναι ἢ πεποιηκέναι· τῇ δ' ὑςεραίᾳ ἐπεὶ ἤθοντο ἀπεληλυθότας ἐν νυκτὶ τὰς τε Φωκέας καὶ τὰς ἄλλας ἅπαντας οἰκαδε ἑκάςας, ἐκ τύτε δὴ μεῖζον ἐφρόνησαν ἐπὶ τῷ γεγενημένῳ. ἐπεὶ δ' αὖ ὁ Παυσανίας ἀνεφαίνετο ἔχων τὸ ἐκ Λακεδαίμονος ςράτευμα, πάλιν αὖ ἐν μεγάλῳ κινδύνῳ ἡγῶντο εἶναι, καὶ πολλὴν ἔφασαν σιωπήν τε καὶ ταπεινότητα ἐν τῷ ςρατεύματι εἶναι αὐτῶν.

ιέ. Ὡς δὲ τῇ ὑςεραίᾳ οἵ τε Ἀθηναῖοι ἐλθόντες ξυμπαρετάξαντο, ὅ, τε Παυσανίας ἀ προσῆγεν, ἀδὲ ἐμάχετο,

vel tres, qui erant in fronte, cecidiſſent; et in reliquos per loca decliuia Lacedaemonii ſaxa deuoluerent, magnaque cum alacritate animorum eos vrgerent; vertuntur ab aduerſo monte in fugam Thebani, ac plures cc occiduntur.

14. Itaque dies is in moerore conſumtus, quod non minus ſe detrimenti accepiſſe, quam intuliſſe ducerent. Poſtridie quum Phocenſes et caeteros omnes noctu domum quoſque ſuam profugiſſe comperiſſent, maiores ob rem geſtam animos ſumebant. At vbi Pauſaniam cum Laconicis copiis conſpexere, ingenti ſe rurſus in periculo eſſe arbitrabantur, adeoque magnum in eorum exercitu ſilentium, animorumque deiectionem fuiſſe, commemorabatur.

15. Sed quum poſtridie non ſolum Athenienſes ad eos veniſſent, ſeque cum ipſis in acie coniunxiſſent, verum etiam Pauſanias exercitum non adduceret, neque proe-

lii

ἐμάχετο, ἐκ τούτου τὸ μὲν Θηβαίων πολὺ μεῖζον φρόνημα ἐγένετο· ὁ δὲ Παυσανίας συγκαλέσας πολεμάρχους καὶ πεντηκοντῆρας, ἐβουλεύετο, πότερον μάχην ξυνάπτοι, ἢ ὑπόσπονδον τόν τε Λύσανδρον ἀναιροῖτο, καὶ τοὺς μετ' αὐτοῦ πεσόντας.

ις'. Λογιζόμενος δὲ ὁ Παυσανίας, καὶ οἱ ἄλλοι ἐν τέλει τῶν Λακεδαιμονίων, ὡς Λύσανδρος τετελευτηκὼς εἴη, καὶ τὸ μετ' αὐτοῦ στράτευμα ἡττημένον ἀποκεχωρήκοι, καὶ Κορίνθιοι μὲν παντάπασιν οὐκ ἠκολούθουν αὐτοῖς, οἱ δὲ παρόντες οὐ προθύμως στρατεύοιντο· ἐλογίζοντο δὲ καὶ τὸ ἱππικὸν, ὡς τὸ μὲν ἀντίπαλον, πολὺ, τὸ δ' αὐτῶν, ὀλίγον εἴη, καὶ ὅτι οἱ νεκροὶ ὑπὸ τῷ τείχει ἔκειντο, ὥστε οὐδὲ κρείττοσιν οὖσι διὰ τοὺς ἀπὸ τῶν πύργων ῥάδιον εἴη ἀνελέσθαι· διὰ ταῦτα πάντα ταῦτα ἔδοξεν αὐτοῖς, τοὺς νεκροὺς ὑποσπόνδους ἀναιρεῖσθαι.

ιζ'. οἱ

lii copiam faceret: tum vero creuere plurimum Thebanis animi. Pauſanias autem vbi polemarchos et militum quinquagenorum praefectos conuocauerat, manumne conſereret, an per inducias Lyſandrum et alios cum ipſo caeſos tolleret, deliberabat.

16. Quumque tam Pauſanias ipſe, quam caeteri Lacedaemoniorum magiſtratus ſecum reputarent, Lyſandrum occubuiſſe: milites, quos habuerat, victos profugiſſe: Corinthios prorſus ſequi noluiſſe: caeteros, qui aderant, non ſatis alacres eſſe hac in militia: hoſtium equitatum magnum eſſe, ſuum exiguum: occiſorum cadauera ſub ipſis iacere moenibus, vt iam ne victoribus quidem, propter vim hoſtium de turribus, ea tollere ſit procliue; de hiſce cauſſis omnibus decreuerunt, interfectorum corpora per inducias eſſe tollenda.

17. Negant

ιζ'. Οἱ μέντοι Θηβαῖοι εἶπον, ὅτι οὐκ ἂν ἀποδοῖεν τοὺς νεκροὺς, εἰ μὴ ἐφ' ᾧ τε ἀπιέναι ἐκ τῆς χώρας. οἱ δὲ, ἄσμενοί τε ταῦτα ἤκουσαν, καὶ ἀνελόμενοι τοὺς νεκροὺς, ἀπῆσαν ἐκ τῆς Βοιωτίας. τούτων δὲ πραχθέντων, οἱ μὲν Λακεδαιμόνιοι ἀθύμως ἀπῆσαν· οἱ δὲ Θηβαῖοι μάλ' ὑβριστικῶς, εἰ καὶ μικρόν τις τῶν χωρίων τοῦ ἐπιβαίη, παίοντες, ἐδίωκον ἐς τὰς ὁδούς. αὕτη μὲν δὴ ὕστατος ἡ στρατιὰ τῶν Λακεδαιμονίων διελύθη.

ιη'. Ὁ μέντοι Παυσανίας ἐπεὶ ἀφίκετο οἴκαδε, ἐκρίνετο περὶ θανάτου. κατηγορουμένου δ' αὐτοῦ, καὶ ὅτι ὑστερήσειεν ἐς Αλίαρτον τοῦ Λυσάνδρου, ξυνθέμενος ἐς τὴν αὐτὴν ἡμέραν παρέσεσθαι, καὶ ὅτι ὑποσπόνδους, ἀλλ' ὑ μάχῃ, ἐπειρᾶτο τοὺς νεκροὺς ἀναιρεῖσθαι, καὶ ὅτι τὸν δῆμον τῶν Αθηναίων λαβὼν ἐν τῷ Πειραιεῖ, ἀνῆκε, καὶ πρὸς τούτοις, ὑ παρόντος ἐν τῇ δίκῃ, θάνατος αὐτοῦ

17. Negant ea Thebani ſe reddituros alia conditione, quam vt finibus ſuis Lacedaemonii excederent. Ea res perlubenter audita, ſublatiſque cadaueribus, e Boeotia diſceſſum. Atque his ita geſtis, abiere moeſti Lacedaemonii. Thebani autem petulanter admodum, ſi quis vel parumper in villas diuertiſſet, caedendo ad vias vſque perſequebantur. Hic eius expeditionis Lacedaemoniorum exitus fuit.

18. Enimuero Pauſanias, poſteaquam domum rediiſſet, capitis iudicium ſubiit. Quumque accuſaretur, quod ſerius Lyſandro apud Haliartum praeſto fuiſſet, quanquam conuentum inter ipſos eſſet, vt ad eundem diem eo venirent: quod per inducias, non commiſſa pugna, tollere mortuorum cadauera conatus fuiſſet: quod plebem Athenienſem captam in Piraeeo dimiſiſſet: quod denique iudicio ſe non ſtitiſſet,

αὐτῷ κατεγνώσθη· καὶ ἔφυγεν ἐς Τεγέαν, καὶ ἐτελεύτησε μέντοι ἐκεῖ νόσῳ. κατὰ μὲν δὴ τὴν Ελλάδα ταῦτ' ἐπράχθη.

ΞΕΝΟ-

tiſſet, capitis damnatus fuit. atque iſtic morbo extinctus eſt. Ipſe Tegeam fuga ſe recepit, Haec tum in Graecia geſta ſunt.

ΧΕΝΟ-

ΞΕΝΟΦΩΝΤΟΣ

ΕΛΛΗΝΙΚΩΝ ΙΣΤΟΡΙΩΝ

ΒΙΒΛΙΟΝ ΤΕΤΑΡΤΟΝ.

ΚΕΦ. α'.

Ὁ δὲ Ἀγησίλαος, ἐπεὶ ἀφίκετο ἅμα μετοπώρῳ ἐς τὴν τοῦ Φαρναβάζου Φρυγίαν, τὴν μὲν χώραν ἔκαε καὶ ἐπόρθει, πόλεις δὲ, τὰς μὲν βίᾳ, τὰς δὲ ἐκόσας προσελάμβανε. λέγοντος δὲ τοῦ Σπιθριδάτου, ὡς εἰ ἔλθοι πρὸς τὴν Παφλαγονίαν σὺν αὐτῷ, τὸν τῶν Παφλαγόνων βασιλέα καὶ ἐς λόγους ἄξοι, καὶ ξύμμαχον ποιήσοι, προθύμως ἐπορεύετο, πάλαι τοῦτο ἐπιθυμῶν, τοῦ ἀφιστάναι *τὸ ἔθνος ἀπὸ βασιλέως.

β. Επεὶ

XENOPHONTIS

HISTORIARVM GRAECARVM

LIBER QVARTVS.

CAP. I.

Ageſilaus autem, poſteaquam ſub autumnum Pharnabazi Phrygiam ingreſſus eſſet, agrum incendiis ac populationibus infeſtabat; vrbes partim vi, partim deditione ſpontanea ſibi adiungebat. Quumque diceret Spithridates, ſe, ſi ad Paphlagoniam ſecum accederet, perfecturum, vt Paphlagonum rex in colloquium ſocietatemque veniret: lubens hanc profectionem ſuſcepit, iamdudum cupiens eam nationem a fide regis auertere.

2. Quum

* Al. τῇ ἔθνος.

β'. Ἐπεὶ δὲ ἀφίκετο εἰς τὴν Παφλαγονίαν, *ἦλθε Κότυς, καὶ ξυμμαχίαν ἐποιήσατο. καὶ γὰρ καλούμενος ὑπὸ βασιλέως οὐκ ἀναβεβήκει. πείσαντος δὲ τοῦ Σπιθριδάτου κατέλιπε τῷ Ἀγησιλάῳ χιλίους μὲν ἱππέας, δισχιλίους δὲ πελταστάς. χάριν δὲ τούτων εἰδὼς Ἀγησίλαος τῷ Σπιθριδάτῃ· Εἰπέ μοι, ἔφη, ὦ Σπιθριδάτα, οὐκ ἂν δοίης Κότυϊ τὴν θυγατέρα; πολύ γε, ἔφη, μᾶλλον ἢ ἐκεῖνος ἂν λάβοι φυγάδος ἀνδρὸς, βασιλεύων πολλῆς χώρας καὶ δυνάμεως.

γ'. Τότε μὲν οὖν ταῦτα μόνον ἐρρήθη περὶ τοῦ γάμου. ἐπεὶ δὲ Κότυς ἔμελλεν ἀπιέναι, ἦλθε πρὸς τὸν Ἀγησίλαον ἀσπασόμενος. λόγου δὲ ἤρξατο ὁ Ἀγησίλαος, παρόντων τῶν Τριάκοντα, μεταστησάμενος τὸν Σπιθριδάτην. Λέξον μοι, ἔφη, ὦ Κότυ, ποίου τινὸς γένους ἐστὶν ὁ Σπιθριδάτης; ὁ δ' εἶπεν, ὅτι Περσῶν ὀθνεὸς ἐνδεέστερος. τὸν δ' υἱὸν, ἔφη, ἑώρακας αὐτοῦ ὡς καλός ἐστι; τί δ' οὐ μέλλω; καὶ γὰρ ἐσπέρας ξυνεδείπνουν αὐτῷ. τοῦτο μέν φασι τὴν θυγατέρα αὐτῷ καλλίονα εἶναι. νὴ Δί', ἔφη ὁ Κότυς· καλὴ γάρ ἐστι.

δ'. Καὶ

2. Quum ventum in Paphlagoniam eſſet, aderat Cotys, et foedus inibat. Etenim a rege Perſico arceſſitus, ad eum profectus non fuerat. Deinde ſuaſu Spithridatae Ageſilao CIↃ quidem equites reliquit Cotys, cetratos autem IICIↃ. Ob eam rem quia gratias habebat Spithridatae Ageſilaus: Dic mihi, ait, mi Spithridata, num Cotyi filiam vxorem dares? Multo quidem lubentius, ſubiecit ille, quam Cotys, amplae ditionis et copiarum imperio praepotens, filiam exulis duceret.

3. Haec tum de nuptiis hiſce tantum facta eſt mentio. Quum autem diſceſſurus Cotys eſſet, Ageſilaum ſalutaturus adit. Ibi ſermonem hunc in praeſentia Trigintauirum, Spithridata remoto, Ageſilaus occoepit: Dic mihi, ait, mi Coty, quo genere natus eſt Spithridates? Et ille: Natus eſt, inquit, genere apud Perſas nulli ſecundo. At filium ipſius, quam ſit elegans, vidiſti? Quidni? ait. Heri cum eo coenatus ſum. At perhibent ei filiam hoc ipſo formoſiorem eſſe. Profecto admodum pulchra eſt, reſpondet Cotys.

4. Hanc

* Al. ἦλθεν Οτυς.

δ'. "Καὶ ἐγὼ μὲν, ἔφη, ἐπεὶ φίλος ἡμῖν γεγένησαι, συμβουλεύσαιμ' ἄν σοι τὴν παῖδα γενέσθαι γυναῖκα, καλλίστην μὲν ὧν, ἔστι δὲ τί ἀνδρὶ ἥδιον; πατρὸς δ' εὐγενεστάτου, δύναμιν δ' ἔχοντος τοσαύτην, ὡς* ὑπὸ Φαρναβάζου ἀδικηθεὶς, ἔτω τιμωρεῖται αὐτὸν, ὥστε φυγάδα πάσης τῆς χώρας, ὡς ὁρᾷς, πεποίηκεν. εὖ ἴσθι μέντοι, ἔφη, ὥσπερ ἐκεῖνον ἐχθρὸν ὄντα δύναται τιμωρεῖσθαι, ἔτω καὶ φίλον ἄνδρα εὐεργετεῖν δύναιτο. νόμιζε δὲ, τούτων πραχθέντων, μὴ κεῖνον ἄν σοι μόνον κηδεστὴν εἶναι, ἀλλὰ καὶ ἐμὲ, καὶ τοὺς ἄλλους Λακεδαιμονίους, ἡμῶν δὲ ἡγεμένων τῆς Ελλάδος, καὶ τὴν ἄλλην Ελλάδα. καὶ μὴν μεγαλειοτέρως γε σοῦ, εἰ ταῦτα πράττοις, τίς ἄν ποτε γήμειε; ποίαν γὰρ νύμφην πώποτε τοσοῦτοι ἱππεῖς, καὶ πελτασταὶ, καὶ ὁπλῖται πρόπεμψαν, ὅσοι τὴν σὴν γυναῖκα ἐς τὸν σὸν οἶκον προπέμψειαν ἄν;"

ε'. Καὶ ὁ Κότυς ἐπήρετο· δοκοῦντα δ', ἔφη, ὦ Αγησίλαε, καὶ Σπιθριδάτῃ ταῦτα λέγεις; μὰ τοὺς Θεοὺς, ἔφη, ὦ Κότυ,

4. Hanc ego, ſubiecit Ageſilaus, quando nobis amicus eſſe coepiſti, auctor eſſem, vt duceres: primum longe formoſiſſimam; quo quid eſſe marito iucundius poſſit? deinde natam patre apprime nobili, tantaque potentia praedito, vt iniuriis Pharnabazi laeſus, eas de ipſo poenas ſumat; vt eum, ceu vides, vniuerſa ditione ſua fugitiuum expulerit. Itaque ſat ſcito, inquit, eum, perinde ac hoſtem illum vlciſci potuit, etiam hominem amicum afficere beneficiis poſſe. Planeque velim exiſtimes, ſi haec fiant, non illum modo tibi ſocerum fore: ſed et me, et Lacedaemonios caeteros; quumque nos Graeciae principatum obtineamus, omnem praeterea Graeciam. At enim ſi haec facias, quis vnquam te magnificentius vxorem duxerit? Quam enim ſponſam tot equites, cetrati, grauis armaturae pedites vnquam deduxerunt, quot hanc vxorem tuam nunc domum tuam ſunt deducturi?

5. Tum Cotys Ageſilaum interrogans: Haeccine, inquit, etiam Spithridatae probantur, quae dicis? Et ille: Profecto, inquit,

* Al. ὃς.

ὦ Κότυ, ἐκεῖνος μὲν ἐμέ γε οὐκ ἐκέλευσε ταῦτα λέγειν· ἐγὼ μέντοι, καίπερ ὑπερχαίρω, ὅταν ἐχθρὸν τιμωρῶμαι, πολὺ μᾶλλόν μοι δοκῶ ἥδεσθαι, ὅταν τι τοῖς φίλοις ἀγαθὸν ἐξευρίσκω. τί οὖν, ἔφη, ὦ πυνθάνῃ, εἰ καὶ ἐκείνῳ βουλομένῳ ταῦτ' ἐστί; καὶ ὁ Ἀγησίλαος, ἴτ', ἔφη, ὑμεῖς ὦ Ἡριππίδα, καὶ διδάσκετε αὐτὸν βουληθῆναι, ἅπερ ἡμεῖς.

ς'. Οἱ μὲν δὴ ἀναστάντες ἐδίδασκον. ἐπεὶ δὲ διέτριβον, Βούλει, ἔφη, ὦ Κότυ, καὶ ἡμεῖς δεῦρο καλέσωμεν αὐτόν; πολύ γ' ἂν οἶμαι μᾶλλον, ἔφη, ὑπὸ σοῦ πειθῆναι αὐτὸν, ἢ ὑπὸ τῶν ἄλλων ἁπάντων. ἐκ τούτου δὲ ἐκάλει ὁ Ἀγησίλαος τὸν Σπιθριδάτην τε καὶ τοὺς ἄλλους.

ζ'. Προσιόντων δ' αὐτῶν, εἶπεν ὁ Ἡριππίδας· τὰ μὲν ἄλλα, ὦ Ἀγησίλαε, τὰ ῥηθέντα τί ἄν τις μακρολογοίη; τέλος δὲ λέγει Σπιθριδάτης, πᾶν ποιεῖν ἂν ἡδέως, ὅ, τι σοι δοκοίη. ἐμοὶ μὲν τοίνυν, ἔφη ὁ Ἀγησίλαος, δοκεῖ σὲ μὲν, ὦ Σπιθριδάτα, τύχῃ ἀγαθῇ διδόναι Κότυϊ τὴν θυγατέρα, σὲ δὲ λαμβάνειν. τὴν μέντοι παῖδα πρὸ ἦρος οὐκ ἂν δυναίμεθα

inquit, mi Coty, non ille me iuſſit haec dicere: ſed ego, tametſi mirifice gaudeam, quoties de hoſte poenas ſumo; longe tamen maiore mihi voluptate frui videor, quum quid amicis boni reperio. Cur igitur, inquit Cotys, non ſciſcitaris, an haec ille velit? Et Ageſilaus: Abite vos, ait, Heriippida, et hominem edocete; vt eadem, quae nos, velit.

6. Tum illi ſurgentes Spithridatae rem exponebant: quumque nonnihil intercederet morae: Visne, inquit Ageſilaus, mi Coty, nos etiam hunc ipſum arceſſamus? Nimirum multo facilius, ait, te perſuaſurum arbitror, quam caeteros omnes. Tum deinde Spithridatem Ageſilaus cum reliquis arceſſit.

7. Quumque illi accederent, Heriippidas: Caetera quidem, ait, mi Ageſilae, quae dicta ſunt, quid prolixe commemorari neceſſe fuerit? Hoc Spithridatae verbum extremum fuit, perlubenter ſe facturum, quidquid tibi videatur. Igitur mihi videtur, inquit Ageſilaus, vt tu quidem Spithridata, quod felix fauſtumque ſit, Cotyi filiam des vxorem: tu vero eam, Coty, ducas. Puella tamen ante vernum tempus itinere terreſtri a nobis ad

te

μεθα πεζῇ ἀγαγεῖν. ἀλλὰ ναὶ μὰ Δί', ἔφη ὁ Κότυς, κατὰ θάλατταν ἤδη ἂν πέμποιτο, εἰ σὺ βούλοιο.

η'. Ἐκ τούτου δεξιὰς δόντες καὶ λαβόντες ἐπὶ τούτοις, ἀπέπεμπον τὸν Κότυν. καὶ εὐθὺς ὁ Ἀγησίλαος, ἐπεὶ ἔγνω αὐτὸν σπεύδοντα, τριήρη πληρώσας, καὶ Καλλίαν Λακεδαιμόνιον κελεύσας ἀπαγαγεῖν τὴν παῖδα, αὐτὸς ἐπὶ Δασκυλίου ἐπορεύετο, ἔνθα καὶ τὰ βασίλεια ἦν Φαρναβάζῳ, καὶ κῶμαι περὶ αὐτὰ πολλαὶ, καὶ μεγάλαι, καὶ ἄφθονα ἔχουσαι τὰ ἐπιτήδεια· καὶ θῆραι, αἱ μὲν, ἐν περιεσταυρωμένοις παραδείσοις, αἱ δὲ, καὶ ἀναπεπταμένοις τόποις, πάγκαλαι. περιέρρει δὲ καὶ ποταμὸς παντοδαπῶν ἰχθύων πλήρης. ἦν δὲ καὶ τὰ πτηνὰ ἄφθονα τοῖς ὀρνιθεύσαι δυναμένοις. ἐνταῦθα μὲν δὴ διεχείμαζε, καὶ αὐτόθεν, καὶ σὺν προνομαῖς τὰ ἐπιτήδεια τῇ στρατιᾷ λαμβάνων.

θ'. Καταφρονητικῶς δέ ποτε καὶ ἀφυλάκτως, διὰ τὸ μηδὲν πρότερον ἐσφάλθαι, λαμβανόντων τῶν στρατιωτῶν τὰ ἐπιτήδεια, ἐπέτυχεν αὐτοῖς ὁ Φαρνάβαζος κατὰ τὸ πεδίον ἐσπαρμένοις, ἅρματα μὲν ἔχων δύο δρεπανηφόρα, ἱππεῖς

te deduci non poterit. At enim, ſubiecit Cotys, mari ad me profecto mitti poterit, ſi quidem ita tu velis.

8. Secundum haec datis acceptisque dextris, Cotys dimiſſus fuit. Quumque properare hominem Ageſilaus intellexiſſet, ſtatim inſtructa trireme, datoque Calliae Lacedaemonio auehendae puellae negotio; Daſcylium ipſe profectus eſt, quo in loco regia Pharnabazi erat, et circum eam vici frequentes, ampli, copia commeatus abundantes. Erant et peramoenae venationes partim in hortis vndique ſeptis, partim patentibus in locis. Circumfluebat amnis plenus omnigenis piſcibus. Nec deerat illis ingens volatilium copia, qui vti aucupio poterant. Atque hic in hybernis manſit, et partim indidem, partim praedas actum ſuos educendo, commeatum exercitui parabat.

9. Quumque milites aliquando, contemtis hoſtibus, et incaute commeatum quaererent, quod ante id temporis aduerſi nihil eis accidiſſet; forte Pharnabazus in eos per planiciem palatos, cum duobus falcatis curribus, et cccc

ἱππεῖς δὲ ὡς τετρακοσίους. οἱ δὲ Ἕλληνες ὡς εἶδον αὐτὸν προσελαύνοντα, ξυνέδραμον ὡς ἐς ἑπτακοσίους. ὁ δ' οὐκ ἐμέλλησεν, ἀλλὰ προσησάμενος τὰ ὅπλα, αὐτὸς δὲ σὺν τοῖς ἱππεῦσιν ὅπισθεν γενόμενος, ἐκέλευσεν ἐλαύνειν ἐς αὐτούς. ὡς δὲ τὰ ὅπλα ἐμβαλόντα διεσκέδασε τὸ ἀθρόον, ταχὺ οἱ ἱππεῖς κατέβαλον ὡς ἐς ἑκατὸν ἀνθρώπους, οἱ δ' ἄλλοι κατέφυγον πρὸς Ἀγησίλαον. ἐγγὺς γὰρ ἔτυχε σὺν τοῖς ὁπλίταις ὤν.

ι. Ἐκ δὲ τούτου τρίτῃ ἢ τετάρτῃ ἡμέρᾳ αἰσθάνεται ὁ Σπιθριδάτης τὸν Φαρνάβαζον ἐν Καυῇ κώμῃ μεγάλῃ στρατοπεδευόμενον, ἀπέχοντα σταδίους ὡς ἑξήκοντα καὶ ἑκατόν· καὶ εὐθὺς λέγει πρὸς τὸν Ἡριππίδαν. καὶ ὁ Ἡριππίδας, ἐπιθυμῶν ἀεὶ λαμπρόν τι ἐργάζεσθαι, αἰτεῖ τὸν Ἀγησίλαον ὁπλίτας τε ἐς δισχιλίους, καὶ πελτασὰς ἄλλους τοσούτους, καὶ ἱππέας τούς τε Σπιθριδάτου, καὶ τοὺς Παφλαγόνας, καὶ τῶν Ἑλλήνων ὁπόσους πείσειεν. ἐπεὶ δὲ ὑπέσχετο αὐτῷ, ἐθύετο· καὶ ἅμα δείλῃ καλλιερησάμενος, κατέλυσε τὴν θυσίαν. ἐκ δὲ τούτου δειπνήσαντας παρήγγειλε παρεῖναι

equitibus incidit. Eum Graeci adequitantem conſpicati, ad ſeptingentos celeriter vnum in globum coeunt. Ille nihil cunctatus, conſtitutis in fronte curribus, quos ipſe a tergo cum equitatu ſubſequebatur, agi eos in hoſtem iubet. Poſtcaquam immiſſi currus globum Graecorum diſiecisſent, mox equites ad centum homines proſternunt: caeteri fuga ſe ad Ageſilaum recepere, qui cum graui armatura non procul aberat.

10. Secundum haec tertio vel quarto die Spithridates caſtra Pharnabazum habentem amplo in vico, cui nomen Caue, plus minus CLX ſtadiis abeſſe comperit, ac mox ea de re certiorem Herippidam facit. Ille parandi praeclari facinoris cupidus, grauis armaturae pedites IICIↃ, totidemque cetratos, et Spithridatae, Paphlagonum, Graecorum equites ab Ageſilao poſtulat, quoſcunque permouere ſuadendo poſſet. Hos quum Ageſilaus promiſiſſet, exta conſulit. Quumque ſub veſperam perlitaſſet, ſacrificii finem fecit. Poſt illa milites coenatos adeſſe pro caſtris iuſſit. Tenebris ingruentibus,

ναι πρόσθεν τῶ στρατοπέδω. σκότους δὲ γενομένου, ὀδ' οἱ ἡμίσεις ἑκάστων ἐξῆλθον. ὅπως δὲ μὴ, εἰ ἀποτρέποιτο, καταγελῶεν αὐτῶ οἱ ἄλλοι Τριάκοντα, ἐπορεύετο σὺν ᾗ εἶχε δυνάμει.

ια'. Ἅμα δὲ τῇ ἡμέρᾳ ἐπιπεσὼν τῇ Φαρναβάζου στρατοπεδείᾳ, τῆς μὲν προφυλακῆς αὐτῶ, Μυσῶν ὄντων, πολλοὶ ἔπεσον, αὐτοὶ δὲ διαφεύγουσι, τὸ δὲ στρατόπεδον ἁλίσκεται, καὶ πολλὰ μὲν ἐκπώματα, καὶ ἄλλα δὴ, οἷα Φαρναβάζου κτήματα, πρὸς δὲ τούτοις σκεύη πολλὰ, καὶ ὑποζύγια σκευοφόρα. διὰ γὰρ τὸ φοβεῖσθαι μὴ, εἴ που καταφαίη, κυκλωθεὶς πολιορκοῖτο, ἄλλοτε ἄλλῃ τῆς χώρας ἐπῄει, ὥσπερ οἱ Νομάδες, καὶ μάλα ἀφανίζων τὰς στρατοπεδεύσεις. ἐπεὶ δὲ τὰ ληφθέντα χρήματα ἀπήγαγον οἵ τε Παφλαγόνες καὶ ὁ Σπιθριδάτης, ὑποσήσας* Ἡριππίδας ταξιάρχους καὶ λοχαγοὺς, ἀφείλετο ἅπαντα τόν τε Σπιθριδάτην καὶ τοὺς Παφλαγόνας, ἵνα δὴ πολλὰ ἀπαγάγοι τὰ αἰχμάλωτα τοῖς λαφυροπώλαις. ἐκεῖνοι μέντοι ταῦτα παθόντες, οὐκ ἤνεγκαν, ἀλλ' ὡς ἀδικηθέντες καὶ ἀτιμα-

bus, ne dimidia quidem ſingulorum pars egreſſa eſt. Ne tamen, ſi reuerteretur in caſtra, ludibrio reliquis Trigintauiris eſſet, cum ea, quam habebat, militum manu profectus eſt.

11. Vbi prima luce caſtra Pharnabazi aggreſſus eſſet, collocati ante ea cuſtodes Myſi magna ex parte trucidantur: fugiunt Perſae: caſtra multis cum poculis, et aliis rebus, ſupellectile praeſertim Pharnabazi, magna impedimentorum copia, iumentis impedimenta vehentibus capiuntur. Etenim quod ſibi metueret, ne ſicubi ſubſiſteret, circumdatus obſideretur: Nomadum inſtar alias aliam regionis partem adibat, et caſtrorum metationes, quantum poterat, occultabat. Poſteaquam deinde res captas Paphlagones et Spithridates auehebant, collocatis Herippidas alicubi cohortium manipulorumque ductoribus, omnia Spithridatae ac Paphlagonibus ademit, vt magnam mancipiorum copiam manubiarum venditoribus afferret. At illi, poſteaquam hoc eis accidiſſet, non tulerunt: ſed vt iniuria contumeliaque af-

fecti,

* Leuncl. malit ὑπισήσας, quod et interpretando reddidit.

ἀτιμαθέντες, νυκτὸς συσκευασάμενοι ᾤχοντο ἀπιόντες ἐς Σάρδεις πρὸς Ἀριαῖον, πιστεύοντες ὅτι καὶ ὁ Ἀριαῖος ἀποστὰς βασιλέως ἐπολέμησεν αὐτῷ.

ιβ'. Ἀγησιλάῳ μὲν δὴ τῆς ἀπολείψεως* τῷ Σπιθριδάτᾳ καὶ τῷ ** Μεγαβύζῳ καὶ τῶν Παφλαγόνων ὧδὲ ἐγένετο βαρύτερον ἐν τῇ στρατείᾳ. ἦν δέ τις Ἀπολλοφάνης Κυζικηνὸς, ὃς καὶ Φαρναβάζῳ ἐτύγχανεν ἐκ παλαιῶ ξένος ὢν, καὶ Ἀγησιλάῳ κατ' ἐκεῖνον τὸν χρόνον ἐξενώθη. ὅστος ἂν εἶπε πρὸς τὸν Ἀγησίλαον, ὡς οἴοιτο συναγαγεῖν ἂν αὐτῷ ἐς λόγους περὶ φιλίας Φαρνάβαζον. ὡς δ' ἤκουσεν αὐτῶ, σπονδὰς λαβὼν καὶ δεξιὰν, παρῆν ἄγων τὸν Φαρνάβαζον ἐς συγκείμενον χωρίον.

ιγ'. Ἐνθα δὴ Ἀγησίλαος καὶ οἱ περὶ αὐτὸν Τριάκοντα χαμαὶ ἐν πόᾳ τινὶ κατακείμενοι ἀνέμενον· ὁ δὲ Φαρνάβαζος ἧκεν ἔχων στολὴν πολλῶ χρυσῶ ἀξίαν. ὑποτιθέντων δὲ αὐτῷ τῶν θεραπόντων ῥαπίδα, ἐφ' ὧν καθίσουσιν*** οἱ Πέρσαι μαλακῶς, ᾐσχύνθη ἐντρυφῆσαι, ὁρῶν τῶ Ἀγησιλάῳ τὴν φαυλότητα. κατεκλίνθη ἂν καὶ αὐτὸς, ὥσπερ

fecti, rebus ſuis noctu collectis, Sardes ad Ariaeum ſe conferunt, habita ei fide propterea, quod etiam ipſe aliquando defecerat, ac bellum cum rege geſſerat.

12. Ageſilao quidem iſta Spithridatae, Megabyzi, Paphlagonum deſertione, nihil hac in expeditione grauius accidit. Caeterum Cyzicenus quidam erat Apollophanes, cui iam olim cum Pharnabazo hoſpitii neceſſitudo erat, et hoc fere tempore in hoſpitii neceſſitudinem admiſſus ab Ageſilao fuerat. Is Ageſilao ſignificat, exiſtimare ſe, poſſe opera ſua Pharnabazum in colloquium de ineunda amicitia adduci. Ea re audita, induciis ac fide ab Ageſilao acceptis, Pharnabazum ad locum conſtitutum adducit.

13. In eo iam Ageſilaus, et adiuncti ei Trigintauiri, in gramine humi decumbentes, Pharnabazum opperiebantur. Veniebat is amictu maximi pretii ornatus, quumque miniſtri puluinos ſubtiles ſubſternerent, in quos ſe molliter Perſae collocant; conſpecto vili cultu Ageſilai, deliciis illis vti prae verecundia noluit. Quapropter et ipſe ita, vti veſtitus

* Al. ἀπολήψεως. ** Al. Μεγαβάτῳ *** Al. καθίζουσιν.

ὥσπερ εἶχε, χαμαί. καὶ πρῶτα μὲν ἀλλήλοις χαίρειν προσεῖπον, ἔπειτα τὴν δεξιὰν προτείναντος τῷ Φαρναβάζῳ, ἀντιπρῶτεινε καὶ ὁ Ἀγησίλαος. μετὰ δὲ τοῦτο ἤρξατο λόγου ὁ Φαρνάβαζος· καὶ γὰρ ἦν πρεσβύτερος·

ιδ'. "Ω Ἀγησίλαε, καὶ πάντες οἱ παρόντες Λακεδαιμόνιοι, ἐγὼ ὑμῖν, ὅτε τοῖς Ἀθηναίοις ἐπολεμεῖτε, φίλος καὶ ξύμμαχος ἐγενόμην· καὶ τὸ μὲν ὑμέτερον ναυτικὸν, χρήματα παρέχων, ἰσχυρὸν ἐποίουν· ἐν δὲ τῇ γῇ, αὐτὸς ἀπὸ τοῦ ἵππου μαχόμενος μεθ' ὑμῶν, ἐς τὴν θάλατταν κατεδίωκον τοὺς πολεμίους. καὶ διπλοῦν, ὥσπερ Τισσαφέρνους, οὐδὲν πώποτέ μου ἴστε ποιήσαντος ἅτ' εἰπόντος πρὸς ὑμᾶς ἔχοιτ' ἂν κατηγορῆσαι. τοιοῦτος δὲ γενόμενος, ὅτῳ νῦν διάκειμαι ὑφ' ὑμῶν, ὡς οὐδὲ δεῖπνον ἔχω ἐν τῇ ἐμαυτοῦ χώρᾳ, εἰ μή τι, ὧν ἂν ὑμεῖς λίπητε, ξυλλέξομαι, ὥσπερ τὰ θηρία. ἃ δέ μοι ὁ πατὴρ καὶ οἰκήματα καλὰ, καὶ παραδείσους καὶ δένδρων καὶ θηρίων μεστοὺς κατέλιπεν, ἐφ' οἷς εὐφραινόμην, ταῦτα πάντα ὁρῶ τὰ μὲν κατακεκαυμένα, τὰ δὲ κατακεκομμένα. εἰ δ' ἔστιν ἐγὼ μὴ γιγνώσκω μήτε

vestitus erat, humi se reclinat. Deinde dicta primum vtrinque salute, mox dextram Pharnabazo porrigente, suam vicissim ei porrigit Agesilaus. Eo peracto, Pharnabazus, qui natu grandior esset, ita loqui coepit:

14. Ego vobis, Agesilae, vosque Lacedaemonii omnes, qui adestis, amicus et foederatus fui, quo tempore bellum aduersus Athenienses gerebatis; neque tantum classem vestram suppeditatis pecuniis corroboraui: verum etiam ipse in terra ex equo vobiscum pugnans, hostes vsque in ipsum mare persequebar. Neque vero accusare me potestis, quasi vnquam Tissaphernis more, duplici erga vos animo, vel in sermone vel factis fuerim. Talem quum me gesserim, eo nunc a vobis redactus sum, vt ne coena quidem mihi mea in ditione sit reliqua, nisi forte bestiarum instar id colligam, quod a vobis sit relictum. Omnia quae relicta mihi a patre acceperam, aedificia pulchra, horti arboribus ac feris referti, quibus animum oblectabam, nunc partim exusta, partim excisa video. Proinde si, quid aequum sanctumque sit, ego non

 intelligo;

μήτε τὰ δίκαια, μήτε τὰ ὅσια, ὑμεῖς δὲ διδάξατέ με, ὅπως ταῦτ' ἐστὶν ἀνδρῶν ἐπισαμένων χάριτας ἀποδιδόναι.»

ιέ. Ὁ μὲν ταῦτ' εἶπεν. οἱ δὲ Τριάκοντα πάντες μὲν ἐπησχύνθησαν αὐτὸν, καὶ ἐσιώπησαν· ὁ δὲ Ἀγησίλαος χρόνῳ ποτὲ εἶπεν· «Ἀλλ' οἶμαι μέν σε, ὦ Φαρνάβαζε, εἰδέναι, ὅτι καὶ ἐν ταῖς Ἑλληνικαῖς πόλεσι ξένοι ἀλλήλοις γίνονται οἱ ἄνθρωποι. ὅτοι δὲ, ὅταν αἱ πόλεις πολέμιαι γένωνται, σὺν ταῖς πατρίσι καὶ τοῖς ἐξενωμένοις πολεμοῦσι, καὶ ἐὰν ὅτῳ τύχωσιν, ἔστιν ὅτε καὶ ἀπέκτειναν ἀλλήλους. καὶ ἡμεῖς ὧν νῦν βασιλεῖ τῷ ὑμετέρῳ πολεμοῦντες, πάντα ἠναγκάσμεθα τὰ ἐκείνου πολέμια νομίζειν· σοί γε μέντοι φίλοι γενέσθαι, περὶ παντὸς ἂν ποιησαίμεθα. καὶ εἰ μὲν ἀλλάξασθαί σοι ἔδει ἀντὶ δεσπότου βασιλέως ἡμᾶς δεσπότας, οὐκ ἂν ἔγωγέ σοι ξυνεβούλευον. νῦν δὲ ἔξεστί σοι μεθ' ἡμῶν γενομένῳ, μηδένα προσκυνοῦντα, μηδὲ δεσπότην ἔχοντα, ζῆν καρπούμενον τὰ σαυτοῦ. καίτοι ἐλεύθερον

intelligo; vos me velim doceatis, quinam exiſtimari debeat, haec ab hominibus referendae gratiae non ignaris proficiſci.

15. His dictis, Trigintauiri omnes verecundia ducti ſilebant. Tandem aliquando Ageſilaus in hanc ſententiam reſpondit: At enim, Pharnabaze, non ignorare te arbitror, etiam Graecis in vrbibus hoſpitiorum neceſſitudines inter homines contrahi. Nihilominus vbi bellum inter vrbes ipſas geri coeptum eſt, vna cum patria quilibet hoſpitibus bellum facit. Quin etiam ſi res ita ferat, nonnunquam mutuo ſe hoſpites occidunt. Eadem ratione nos quoque bellum aduerſus regem veſtrum gerentes, neceſſe fuit omnia, quae ipſius eſſent, hoſtilia ducere: quanquam tecum amicitiam colere ſummopere cuperemus. Quod ſi tibi pro rege domino commutandi nos eſſemus, quos dominorum deinde loco haberes; equidem tibi nequaquam hac in parte quidquam conſulerem. Nunc tibi licet, ſi quidem nobiſcum te velis coniungere, neminem ſumminiſſe veneranti, neminem agnoſcenti dominum, ita viuere, tuis vt rebus nihilominus fruare.

ἐλεύθερον εἶναι, ἐγὼ μὲν οἶμαι ἀντάξιον εἶναι τῶν πάντων χρημάτων. ὑδὲ μέντοι τοῦτό σε κελευόμεν, πένητα μὲν, ἐλεύθερον δ' εἶναι, ἀλλ' ἡμῖν ξυμμάχοις χρώμενον αὔξειν μὴ τὴν βασιλέως, ἀλλὰ τὴν σαυτοῦ ἀρχὴν, τὰς νῦν ὁμοδούλους σοι καταστρεφόμενον, ὥστε σὰς ὑπηκόους εἶναι. καίτοι εἰ ἅμα τ' ἐλεύθερος εἴης, καὶ πλούσιος γένοιο, τίνος ἂν δέοιο, μὴ οὐχὶ πάμπαν εὐδαίμων εἶναι;„

ις'. Οὐκοῦν, ἔφη ὁ Φαρνάβαζος, ἁπλῶς ὑμῖν ἀποκρίνομαι, ἅπερ ποιήσω. πρέπει γοῦν σοι. "Εγωὶ τοίνυν, ἔφη, ἐὰν βασιλεὺς ἄλλον μὲν στρατηγὸν πέμπῃ, ἐμὲ δὲ ὑπήκοον ἐκείνῳ τάττῃ, βουλήσομαι ὑμῖν καὶ φίλος καὶ σύμμαχος εἶναι· ἐὰν μέντοι μοι τὴν ἀρχὴν προστάττῃ, (τοιοῦτόν τι, ὡς ἔοικε, φιλοτιμία* ἐστὶ) εὖ χρὴ εἰδέναι, ὅτι πολεμήσω ὑμῖν ὡς ἂν δύνωμαι ἄριστα.„

ις'. Ακούσας ταῦτα ὁ Αγησίλαος, ἐλάβετο τῆς χειρὸς αὐτοῦ, καὶ εἶπεν· "εἴθ' ὦ λῷστε, σὺ τοιοῦτος ὢν, φίλος ἡμῖν γένοιο. ἐν δ' ἴσθι, ἔφη, ἐπίσω, ὅτι νῦν τε ἄπειμι ὡς ἂν δύνωμαι

fruare. Atqui libertatem opibus ego vniuerſis anteferendam arbitror. Nec interim id nos volumus, vt liber quidem, at pauper ſis: ſed vt ſocietate noſtra fretus, non regis, ſed tuum imperium propages, ac redactis in poteſtatem tuam hoc tempore conſeruis, loco ſubditorum eis vtare. Quod ſi pariter et liber ſis, et opulentus fias: quid tibi defuerit, quo minus plane ſis beatus?

16. Ergo vobis, inquit Pharnabazus, ſimpliciter, quid facturus ſim, reſpondebo. Id vero te decet, ſubiecit Ageſilaus. Quod ſi rex, ait, praetorem alium miſerit, cui me iubeat dicto audientem eſſe; vobis et amicus et ſocius eſſe volam. Sin me praeeſſe cum imperio iuſſerit, quandoquidem huiuſmodi quiddam eſt, vti videtur, gloriae cupiditas, omnino ſcitote, me pro mea virili bellum adverſus vos fortiſſime geſturum.

17. Ea verba quum audiiſſet Ageſilaus, Pharnabazi manu prehenſa: Vtinam, inquit, vir optime, quum talis ſis, amico te vtamur. Vnum quidem hoc ſcito, me iam, quanta celeritate potero, tuis e finibus exceſſurum;

* Al. φιλοτιμίας.

δύνωμαι τάχιστα ἐκ τῆς χώρας τῆς σῆς, τῶ τε λοιπῶ, κἂν πόλεμος ᾖ, ἕως ἂν ἐπ' ἄλλον ἔχωμεν στρατεύεσθαι, σῶ τε καὶ τῶν σῶν ἀφεξόμεθα.„

ιή. Τούτων δὲ λεχθέντων, διέλυσαν τὸν σύλλογον. καὶ ὁ Φαρνάβαζος ἀναβὰς ἐπὶ τὸν ἵππον, ἀπῄει· ὁ δὲ ἐκ τῆς Παραπίτας υἱὸς αὐτῶ, καλὸς ἔτι ὤν, ὑπολειφθεὶς καὶ προσδραμὼν, ξένον σε, ἔφη, ὦ Ἀγησίλαε, ποιῶμαι. ἐγὼ δέ γε δέχομαι. μέμνησο νῦν, ἔφη. καὶ εὐθὺς τὸ παλτὸν (εἶχε δὲ καλὸν) ἔδωκε τῷ Ἀγησιλάῳ. ὁ δὲ δεξάμενος, Φάλαρα ἔχοντος περὶ τῷ ἵππῳ Ἰδαίου τοῦ γραφέως πάγκαλα, περιελὼν ἀντέδωκεν αὐτῷ. τότε μὲν ὃν ὁ παῖς ἀναπηδήσας ἐπὶ τὸν ἵππον, μετεδίωκε τὸν πατέρα.

ιθ'. Ὡς δ' ἐν τῇ τοῦ Φαρναβάζου ἀποδημίᾳ, ἀποστερῶν ἀδελφὸς τὴν ἀρχὴν, Φυγάδα ἐποίησε τὸν τῆς Παραπίτας υἱὸν, τά τ' ἄλλα ὁ Ἀγησίλαος ἐπεμελεῖτο αὐτοῦ, καὶ ἐραθέντος αὐτοῦ τοῦ Εὐαλκοῦς υἱέως Ἀθηναίου, πάντ' ἐποίησεν ὅπως ἂν δι' ἐκεῖνον ἐγκριθείη * εἰς τὸ στάδιον ἐν Ὀλυμπίᾳ, μέγιστος ὢν τῶν παίδων.

κ'. Καὶ

rum; ac deinceps, tametsi bellum inter nos geretur, fore tamen, vt, quam diu supererit alius, quem hello petamus, abs te rebusque tuis abstineamus.

18. His dictis, finem is congressus habuit. Et iam equo conscenso Pharnabazus abibat, quum eius ex Parapita filius perelegans, nonnihil remanens, et ad Agesilaum adcurrens: Ius, ait, hospitii tecum, Agesilae, iungo. Tum ille: Accipio vero, inquit. At memineris, ait alter: statimque spiculum, quod sane pulchrum erat, Agesilao dedit. Id quum accepisset Agesilaus, quia phaleris ornatum equum pulcherrimis Idaeus pictor habebat: eas detractas vicissim puero donat. Qui tum quidem in equum insiliens, patrem est insequutus.

19. Caeterum deinceps, quum per absentiam Pharnabazi, erepto frater imperio, filium hunc Parapitae in exilium egisset: non solum Agesilaus caeteris in rebus eum fouit, sed etiam amante ipso quendam Athenienſis Eualcis filium, nihil non fecit, vt is ipsius causa Olympicum in stadium admitteretur, quamquam inter pueros maximus esset.

20. Agesi-

* Al. ἐγκριθείη τὸ στάδιον.

κ'. Καὶ τότε δὴ, ὥσπερ εἶπε πρὸς τὸν Φαρνάβαζον, εὐθὺς ἐπεπορεύετο ἀπὸ τῆς χώρας. σχεδὸν δέ τι καὶ ἔαρ ὑπέφαινεν ἤδη. ἀφικόμενος δὲ ἐς Θήβης πεδίον, κατεστρατοπεδεύσατο περὶ τὸ τῆς Ασυρίνης Αρτέμιδος ἱερὸν, καὶ ἐκεῖ πρὸς ᾧ εἶχε ξυνέλεγε πανταχόθεν παμπληθὲς στράτευμα. παρεσκευάζετο γὰρ πορευσόμενος ὡς δύναιτο ἀνωτάτω, νομίζων ὁπόσα ὄπισθεν ποιήσαιτο ἔθνη, πάντα ἀποστερήσειν βασιλέως.

ΚΕΦ. β'.

Ἀγησίλαος μὲν δὴ ἐν τούτοις ἦν. οἱ δὲ Λακεδαιμόνιοι, ἐπεὶ σαφῶς ἤσθοντο τά τε χρήματα ἐληλυθότα ἐς τὴν Ελλάδα, καὶ τὰς μεγίστας πόλεις ξυνεστηκυίας ἐπὶ πολέμῳ πρὸς ἑαυτοὺς, ἐν κινδύνῳ τε τὴν πόλιν ἐνόμισαν, καὶ στρατεύειν ἀναγκαῖον ἡγήσαντο εἶναι. καὶ αὐτοὶ μὲν ταῦτα παρεσκευάζοντο· εὐθὺς δὲ ἐπὶ τὸν Αγησίλαον πέμπουσιν Επικυδίδαν. ὁ δ' ἐπεὶ ἀφίκετο, τά τε ἄλλα διηγεῖτο ὡς

20. Ageſilaus, vti Pharnabazo facturum ſe dixerat, ſtatim ex ipſius finibus diſceſſit. Neque iam procul ver aberat. Vbi Thebes in campum peruenisſet, propter Aſtyrinae Dianae fanum caſtra poſuit: atque iſtic praeter eum, quem habebat, exercitum, ampliores ex omnibus locis copias cogebat. Nam ita ſe parabat, vt quam poſſet longiſſime ſurſum progrederetur; exiſtimans ſe nationes omnes, quotquot a tergo relinqueret, regi ademturum.

CAP. II.

Hic tum conatus Ageſilai erat, quum Lacedaemonii plane cognito, miſſas eſſe pecunias in Graeciam, vrbeſque maximas ad opprimendum ipſos bello conſpiraſſe; verſari rempublicam ſuam in periculo arbitrabantur, et expeditionem neceſſario ſuſcipiendam eſſe. Ad eam ſe comparabant, ſimulque ad Ageſilaum Epicydidam mittunt. Is poſteaquam ad eum veniſſet, cum aliarum rerum ſtatum exponebat; tum

hoc

ὡς ἔχοι, καὶ ὅτι ἡ πόλις ἐπιστέλλοι αὐτῷ βοηθεῖν ὡς τάχιστα τῇ πατρίδι.

β'. Ὁ δὲ Ἀγησίλαος ἐπεὶ ἤκουσε, χαλεπῶς μὲν ἤνεγκεν, ἐνθυμούμενος οἵων τιμῶν καὶ οἵων ἐλπίδων ἀπεστέρητο· ὅμως δὲ ξυγκαλέσας τοὺς ξυμμάχους, ἐδήλωσε τὰ ὑπὸ τῆς πόλεως παραγγελλόμενα, καὶ εἶπεν ὅτι ἀναγκαῖον εἴη βοηθεῖν τῇ πατρίδι. Ἐὰν μέντοι ἐκεῖνα καλῶς γένηται, εὖ ἐπίσασθε, ἔφη, ὦ ἄνδρες ξύμμαχοι, ὅτι ἃ μὴ ἐπιλάθομαι ὑμῶν, ἀλλὰ πάλιν παρέσομαι, πράξων ὧν ὑμεῖς δεῖσθε. ἀκούσαντες δὲ ταῦτα, πολλὰ μὲν ἐδάκρυσαν, πάντες δ' ἐπεψηφίσαντο βοηθεῖν μετ' Ἀγησιλάου τῇ Λακεδαίμονι· εἰ δὲ καλῶς τοῖς γένοιτο, λαβόντες αὐτὸν, πάλιν ἥξειν ἐς τὴν Ἀσίαν.

γ'. Καὶ οἱ μὲν δὴ ξυνεσκευάζοντο ὡς ἀκολουθήσοντες. ὁ δ' Ἀγησίλαος ἐν μὲν τῇ Ἀσίᾳ κατέλιπεν Εὔξενον ἁρμοστὴν, καὶ φρουροὺς παρ' αὐτῷ οὐκ ἔλαττον τετρακισχιλίων, ἵνα δύναιτο διασώζειν τὰς πόλεις. αὐτὸς δὲ, ὁρῶν ὅτι οἱ πολλοὶ τῶν στρατιωτῶν μένειν ἐπεθύμουν μᾶλλον, ἢ ἐφ' Ἕλληνας

hoc etiam, mandare ipsi rempublicam, quamprimum patriae laturus suppetias adesset.

2. Ea re Agesilaus audita, grauiter quidem ille ferre, quum secum ipse, quantis honoribus quantaque spe deiiceretur, expenderet: sed nihilominus aduocare socios ad concionem, quid respublica mandaret, indicare; dicere, necessarium omnino esse, vt auxilium patriae feratur. Quod si res, inquit, eae gerentur ex animi sententia; certo scitote, socii, nequaquam futurum vt vestri obliuiscar. Reuertar scilicet ad vos, perfecturus ea quae vos cupitis. Haec illi audientes, multis cum lacrumis vniuersi ferendam esse cum Agesilao Lacedaemoni opem statuunt, ac si res istic feliciter gererentur, cum eodem in Asiam redeundum esse.

3. Interea dum illi sua colligunt, Agesilaum sequuturi; Euxenum ipse praefectum in Asia cum praesidiariis non paucioribus, quam IIIICIↃ relinquit, vt eorum auxilio tueri ac retinere oppida in fide posset. Et vero quia magnum militum partem istic manere malle videbat, quam aduersus Graecos

Ελληνας στρατεύεσθαι, βυλόμενος ὡς βελτίστους καὶ πλείστους ἄγειν μεθ' ἑαυτοῦ, ἆθλα προὔθηκε ταῖς πόλεσιν, ἥτις ἄριστον στράτευμα πέμποι, καὶ τῶν μισθοφόρων τοῖς λοχαγοῖς, ὅσις εὐοπλότατον λόχον ἔχων συστρατεύοιτο, καὶ ὁπλιτῶν, καὶ τοξοτῶν, καὶ πελτασῶν. προεῖπε δὲ καὶ τοῖς ἱππάρχοις, ὅσις εὐιπποτάτην καὶ εὐοπλοτάτην τάξιν παρέχοιτο, ὡς καὶ τούτοις νικητήριον δώσων.

δ'. Τὴν δὲ κρίσιν ἔφη ποιήσειν, ἐπεὶ διαβαίησαν ἐκ τῆς Ασίας ἐς τὴν Εὐρώπην, ἐν Χερρονήσῳ, ὅπως εὖ εἰδείησαν, ὅτι τοὺς στρατευσομένους δεῖ εὐκρινεῖν. ἦν δὲ τὰ ἆθλα, τὰ μὲν πλεῖστα, ὅπλα ἐκπεπονημένα ἐς κόσμον, καὶ ὁπλιτικὰ, καὶ ἱππικά. ἦσαν δὲ καὶ στέφανοι χρυσοῖ. τὰ δὲ πάντα ἆθλα οὐκ ἔλαττον ἐγένετο, ἢ ἀπὸ τετ[τ]άρων ταλάντων. τοσούτων μέντοι ἀναλωθέντων, παμπόλλων χρημάτων ὅπλα ἐς τὴν στρατιὰν κατεσκευάθη.

ε'. Επεὶ δὲ διέβη τὸν Ελλήσποντον, κριταὶ κατέστησαν, Λακεδαιμονίων μὲν, Μένασκος, καὶ Ηριππίδας, καὶ Ορσιππος· τῶν δὲ ξυμμάχων, εἷς ἀπὸ πόλεως.

cos arma ferre: quo fortiſſimos et plurimos ſecum abduceret, praemia ciuitatibus conſtituit, quae copias lectiſſimas mitterent: itemque conductitiorum ductoribus, ſi qui cum inſtructiſſima vel grauis armaturae peditum, vel ſagittariorum, vel cetratorum cohorte huic expeditioni ſe adiungerent. Quin et praefectis equitum denuntiauit, eis ſe victoriae praemium largiturum, qui turmam longe peritiſſimam equitandi et inſtructiſſimam exhiberent.

4. Eaque de re ſe cogniturum ait, inſtituto iudicio in Cherroneſo, poſteaquam ex Aſia in Europam traieciſſent: vt certo ſcirent, eorum, qui eſſent expeditioni huic interfuturi, accuratum delectum fore. Praemiorum loco magna ex parte propoſita erant arma elaborata quam elegantiſſime, tam militum grauis armaturae, quam equeſtria. Nec aureae coronae deerant. Omnia quidem praemia talentis non minus quatuor conſtitere. Tantis ſumtibus factis, etiam pro exercitu maximis pecuniis arma comparata fuerunt.

5. Poſteaquam Helleſpontum traieciſſet, iudices lecti ſunt; ex Lacedaemoniis, Menaſcus, Herippidas, Orſippus: ex ſociis,

vnus

λεως. καὶ Αγησίλαος μὲν, ἐπεὶ τὴν κρίσιν ἐποίησεν, ἔχων τὸ στράτευμα, ἐπορεύετο τὴν αὐτὴν ὁδὸν, ἥνπερ † βασιλεὺς, ὅτε ἐπὶ τὴν Ελλάδα ἐστράτευεν. ἐν δὲ τούτῳ οἱ μὲν Εφοροι φρουρὰν ἔφαινον· ἡ δὲ πόλις, ἐπεὶ Αγησίπολις παῖς ἔτι ἦν, Αριστόδημον, τὸν γένους ὄντα, καὶ πρόδικον τοῦ παιδὸς, ἡγεῖσθαι τῇ στρατιᾷ ἐκέλευον.

5'. Επεὶ δ' ἐξήεσαν μὲν οἱ Λακεδαιμόνιοι, ξυνειλεγμένοι δ' ἦσαν οἱ ἐναντίοι, ξυνελθόντες ἐβουλεύοντο, πῶς ἂν τὴν μάχην ξυμφορώτατα σφίσιν αὐτοῖς ποιήσοιντο. Τιμόλαος μὲν δὴ Κορίνθιος ἔλεξεν· "Αλλ' ἐμοὶ δοκεῖ, ἔφη, ὦ ἄνδρες ξύμμαχοι, ὅμοιον εἶναι τὸ τῶν Λακεδαιμονίων πρᾶγμα οἷόν περ τὸ τῶν ποταμῶν. οἵ τε γὰρ ποταμοὶ πρὸς μὲν ταῖς πηγαῖς ὐ μεγάλοι εἰσὶν, ἀλλ' εὐδιάβατοι· ὅσῳ δ' ἂν πορρωτέρω γένωνται, ἐπεμβάλλοντες ἕτεροι ποταμοὶ, ἰσχυρότερον αὐτῶν τὸ ῥεῦμα ποιοῦσι. καὶ οἱ Λακεδαιμόνιοι ὡσαύτως, ἔνθεν μὲν ἐξέρχονται αὐτοὶ, μόνοι εἰσί· προϊόντες δὲ, καὶ παραλαμβάνοντες τὰς πόλεις, πλείονές τε καὶ δυσμαχώτεροι γίγνονται. ὁρῶ δ' ἔγω γ', ἔφη,

vnus ex oppido quolibet. Peracto iudicio, cum copiis Ageſilaus eadem via progrediebatur, qua rex profectus fuerat id temporis, quum Graeciae bellum faceret. Interea contrahebant Ephori copias et praeſidia; cives autem, quod Ageſipolis adhuc puer eſſet, Ariſtodemum agnatum, ac tutorem pueri, ducem exercitus eſſe iubent.

6. Poſteaquam Lacedaemonii copias eduxiſſent, hoſtes eorum collecti, quo pacto cum ipſis maximo ſuo commodo manum conſererent, in conuentu deliberabant. Ibi Timolaus Corinthius hac oratione vſus eſt: Res Lacedaemoniorum, ſocii, fluminum inſtar habere ſe mihi videntur. Quippe flumina iuxta fontes ſuos non magna ſunt, traiicique non difficulter poſſunt. Verum quo profluunt longius, eo magis ab aliis adaucta fluuiis, vehementiori cum impetu proruunt. Itidem Lacedaemonii ſoli ſunt, vbi primum egrediuntur: ac progrediendo, et oppida ſibi adiungendo, tum copias augent, tum illud efficiunt, vt expugnari difficilius poſſint. Equidem eos quoque video, qui veſpas extingue-

re

† Xerxem intelligit.

ἔφη, καὶ ὁπόσοι σφῆνας ἐξαιρεῖν βάλονται, ἐὰν μὲν ἐνθέοντας τὰς σφῆνας πειρῶνται θηρᾶν, ὑπὸ πολλῶν τυπτομένους· ἐὰν δ' ἔτι ἔνδον ὄντων τὸ πῦρ προσφέρωσι, πάσχοντας μὲν ἀδὲν, χειρωμένους δὲ τὰς σφῆνας. Ταῦτ' ἂν ἐνθυμηθέντες ἡγεμὼν κράτιστον εἶναι, μάλιστα μὲν ἐν αὐτῇ· εἰ δὲ μὴ, ὅτι ἐγγύτατα τῆς Λακεδαίμονος τὴν μάχην ποιεῖσθαι.„

ζ'. Δόξαντος δ' εὖ λέγειν αὐτῷ, ἐψηφίσαντο ταῦτα. ἐν ᾧ δὲ περὶ ἡγεμονίας τε διεπράττοντο, καὶ διωμολογοῦντο, ἐς ὁπόσους δέοι τάττεσθαι πᾶν τὸ στράτευμα, ὅπως μὴ λίαν βαθείας τὰς φάλαγγας ποιούμενοι αἱ πόλεις κύκλωσιν τοῖς πολεμίοις παρέχοιεν, ἐν τούτῳ οἱ Λακεδαιμόνιοι, καὶ δὴ Τεγεάτας παρειληφότες καὶ Μαντινέας, ἐξῆεσαν * τὴν ἀμφίαλον.

η'. Καὶ πορευόμενοι σχεδόν τι ἅμα, οἱ μὲν περὶ τὰς Κορινθίους ἐν τῇ Νεμέᾳ ἦσαν, οἱ δὲ Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι, ἐν τῷ Σικυῶνι. ἐμβαλόντων δὲ αὐτῶν κατὰ τὴν Επιεικίαν, τὸ μὲν πρῶτον ἐκ τῶν ὑπερδεξίων βάλλοντες αὐτοὺς καὶ τοξεύοντες, μάλα κακῶς ἐποίουν οἱ γυμνῆτες τῶν ἀντιπάλων·

re volunt, ſi egreſſas venari conentur, a multis pungi: at ſi tum ignem admoueant, quum adhuc incluſae ſunt, nullo ſuo cum incommodo eas opprimere. Quapropter nos haec cum animis noſtris expendentes, rectiſſime facturos arbitror; ſi ad ipſam in primis Lacedaemonem, vel ſi hoc fieri nequeat, proxime ad eam manus conferamus.

7. Haec quum recte dici ab eo ſtatuerentur, decretum in eandem ſententiam factum eſt. Interea vero, dum illi tranſigunt inter ſe de belli huius principatu, et in quot homines inſtrui aciem totius exercitus oporteat, conſtituunt; ne ſi denſas admodum phalanges efficerent vrbes Lacedaemoniis infeſtae, circumdandi ſe poteſtatem hoſti facerent: Lacedaemonii, adiunctis ſibi Tegeaeis ac Mantinenſibus, via maritima egrediuntur.

8. Quumque pergerent eodem fere tempore, Corinthii quidem cum ſuis erant in Nemea, Lacedaemonii vero cum ſociis Sicyone. Hinc propter Epieceam facta impreſſione, primum velites aduerſariorum de ſuperioribus locis tela ſagittaſque iacientes, vehementer Lacedaemonios premebant.

* Deſiderari videtur κατά.

ἀντιπάλων· ὡς δὲ κατέβησαν ἐπὶ τὴν θάλατταν, ταύτῃ προσήεσαν διὰ τῶ πεδίω, τέμνοντες καὶ καίοντες τὴν χώραν. καὶ οἱ ἕτεροι μέντοι ἐλθόντες κατεστρατοπεδεύσαντο, ἔμπροσθεν ποιησάμενοι τὴν χαράδραν. ἐπεὶ δὲ προϊόντες οἱ Λακεδαιμόνιοι ἀπέτι δέκα στάδια ἀπεῖχον τῶν πολεμίων, καὶ ἐκεῖνοι αὐτῶ στρατοπεδευσάμενοι ἡσυχίαν εἶχον.

θ'. Φράσω δὲ καὶ τὸ πλῆθος ἑκατέρων. ξυνελέγησαν γὰρ ὁπλῖται Λακεδαιμονίων μὲν, ἐς ἑξακισχιλίους, Ηλείων δὲ, καὶ *Τριφυλλίων, καὶ Ακρωρίων, καὶ Λασιωνέων, ἐγγὺς τρισχίλιοι, καὶ οἱ Σικυωνίων πεντακόσιοι καὶ χίλιοι, Επιδαυρίων δὲ καὶ Τροιζηνίων, καὶ Ερμιονέων, καὶ Αλιέων, ἐγένοντο ὐκ ἐλάττους τρισχιλίων. πρὸς δὲ τούτοις, ἱππεῖς μὲν Λακεδαιμονίων περὶ ἑξακοσίους, Κρῆτες δὲ τοξόται ἠκολούθουν ὡς τριακόσιοι. καὶ μὴν σφενδονῆται Μαργανέων, καὶ **Λεδρίνων, καὶ Αμφιδόλων, ὐκ ἐλάττους τετρακοσίων. φλιάσιοι μέντοι ὐκ ἠκολούθουν· ἐκεχειρίαν γὰρ ἔφασαν ἔχειν. αὕτη μὲν δὴ μετὰ Λακεδαιμονίων δύναμις ἦν.

ι. Η γε μὴν τῶν πολεμίων ἠθροίσθη, Αθηναίων μὲν, ἐς ἑξακισχιλίους

bant. Verum vbi ad mare descendissent, per campum progrediebantur, ferroque ac flamma agrum omnem vastabant. Tum hostes propius accedentes ita castra sunt metati, vt ante se torrentis alueum haberent. Et Lacedaemonii progressi, quum non amplius decem stadiis ab hostibus abessent: ipsi quoque, locatis castris, ibidem se continebant.

9. Exponam et copias amborum. Lacedaemonii grauis armaturae pedites plus minus VICIO collecti erant: ex Eleis, Triphyliis, Acroriis, Lasionensibus, IIICIO propemodum: ex Sicyoniis, CIDIO; ex Epidauriis, Troezeniis, Hermionensibus, Haliensibus, non pauciores IIICIO adfuere. Praeter hos, habebant equites Lacedaemonios IDC, et sagittarios Cretenses CCC: et funditores Marganenses, Ledrini, Amphidoli non pauciores CCCC. Phliasii, quod inducias esse sibi dicerent, sequuti non sunt. Et hae quidem erant Lacedaemoniorum copiae.

10. Apud hostes autem, VICIO collecti grauis armaturae pedites

* Al. Τριφιλίων. ** Al. Ασπρίνων.

ἑξακισχιλίους ὁπλίτας, Ἀργείων δ' ἐλέγοντο περὶ ἑπτακισχιλίους· Βοιωτῶν δὲ, ἐπεὶ Ὀρχομένιοι οὐ παρῆσαν, περὶ πεντακισχιλίους· Κορινθίων γε μὴν, ἐς τρισχιλίους· καὶ μὴν ἐξ Εὐβοίας ἁπάσης, οὐκ ἐλάττους τρισχιλίων. ὁπλιτικὸν μὲν δὴ τοσοῦτον. ἱππεῖς δὲ, Βοιωτῶν μὲν, ἐπεὶ Ὀρχομένιοι οὐ παρῆσαν, ἐς ὀκτακοσίους, Ἀθηναίων δ' ἐς ἑξακοσίους, καὶ Χαλκιδέων τῶν ἐξ Εὐβοίας, ἐς ἑκατὸν, Λοκρῶν δὲ τῶν Ὀπουντίων, ἐς πεντήκοντα. καὶ ψιλὸν δὲ, ξὺν τοῖς τῶν Κορινθίων, πλέον ἦν. καὶ γὰρ Λοκροὶ οἱ Ὀζόλαι, καὶ Μηλιεῖς, καὶ Ἀκαρνᾶνες παρῆσαν αὐτοῖς.

ια'. Αὕτη μὲν δὴ ἑκατέρων ἡ δύναμις ἐγένετο. οἱ δὲ Βοιωτοὶ, ἕως μὲν τὸ εὐώνυμον εἶχον, οὐδέν τι κατήπειγον τὴν μάχην ξυνάπτειν· ἐπεὶ δὲ οἱ μὲν Ἀθηναῖοι κατὰ Λακεδαιμονίους ἐγένοντο, αὐτοὶ δὲ τὸ δεξιὸν ἔσχον, καὶ κατ' Ἀχαιοὺς ἀντετάχθησαν, εὐθὺς τά τε ἱερὰ καλὰ ἔφασαν εἶναι, καὶ παρήγγειλαν παρασκευάζεσθαι, ὡς μάχης ἐσομένης. καὶ πρῶτον μὲν ἀμελήσαντες τῶν ἐς ἑκκαίδεκα, βαθεῖαν

tes Athenienſes erant; Argiui, quemadmodum ferebatur, plus minusue VIIICIↃ: Boeoti, quod Orchomenii non adeſſent, circiter VCIↃ: Corinthii, ad IIICIↃ: ex vniuerſa Euboea, non pauciores IIICIↃ. Et haec quidem grauis erat hoſtium armatura. Iidem habebant equites Boeotos, quanquam Orchomenii non adeſſent, IↃCCC: Athenienſes, IↃↃ: Chalcidenſes ex Euboea, fere centum: Locros Opuntios, ad quinquaginta. Hunc numerum leuis armaturae peditum multitudo, Corinthiis adnumeratis, ſuperabat. Etenim Locri, qui cognominantur Ozolae, et Melienſes, et Acarnanes eis aderant.

II. Tantae igitur erant partis vtriuſque copiae. Caeterum Boeoti, quam quidem diu latus ſiniſtrum tenebant, non admodum ad conſerendum manus properabant. Verum vbi contra Lacedaemonios Athenienſes conſtiterunt, et ipſi dextro in latere Achaeos aduerſos habuere; mox et exta peroptata ſibi offerri confirmabant, et ſuos ad pugnam ineundam parare ſe iubebant. Hinc omiſſa ratione ſtruendi aciem in denos ac ſe-

θεῖαν παντελῶς ἐποιήσαντο τὴν φάλαγγα. ἔτι δὲ καὶ ἦγον ἐπὶ τὰ δεξιὰ, ὅπως ὑπερέχοιεν τῷ κέρατι τῶν πολεμίων· οἱ δὲ Ἀθηναῖοι, ἵνα μὴ διασπασθείησαν, ἐπηκολούθουν, καίπερ γιγνώσκοντες ὅτι κίνδυνος εἴη κυκλωθῆναι.

ιβ'. Τέως μὲν ἂν οἱ Λακεδαιμόνιοι οὐκ ἠθάνοντο προσιόντων τῶν πολεμίων· καὶ γὰρ ἦν λάσιον τὸ χωρίον. ἐπεὶ δ' ἐπαιάνισαν, τότε δὴ ἔγνωσαν, καὶ εὐθὺς ἀντιπαρήγγειλαν ἅπαντας διασκευάζεσθαι ὡς ἐς μάχην. ἐπεὶ δὲ ξυνετάχθησαν, ὡς ἑκάστους οἱ ξεναγοὶ ἔταξαν, παρηγγύησαν μὲν ἀκολουθεῖν τῷ ἡγουμένῳ, ἦγον δὲ καὶ οἱ Λακεδαιμόνιοι ἐπὶ τὰ δεξιά· καὶ ὕτω πολὺ ὑπερέτεινον τὸ κέρας, ὥστε τῶν Ἀθηναίων αἱ μὲν ἓξ φυλαὶ κατὰ τοὺς Λακεδαιμονίους ἐγένοντο, αἱ δὲ τέτταρες κατὰ Τεγεάτας. οὐκέτι δὲ σάδιον ἀπεχόντων, σφαγιασάμενοι οἱ Λακεδαιμόνιοι τῇ Ἀγροτέρᾳ, ὥσπερ νομίζεται, τὴν χίμαιραν, ἡγοῦντο ἐπὶ τοὺς ἐναντίους, τὸ ὑπερέχον ἐπικάμψαντες ἐς κύκλωσιν.

ιγ'. Επεὶ

nos, denſam protinus phalangem inſtituunt. Praeterea dextram verſus ducebant, vt altero cornu hoſtem excederent: Athenienſes, ne acies diuelleretur, ſequebantur eos; quanquam eſſe periculum intelligerent, ne ab hoſtibus circumdarentur.

12. Hactenus hoſtem accedere Lacedaemonii non animadverterant, quod locus ex arboribus ſpiſſus eſſet. At vbi paean inchoatus fuiſſet, mox re intellecta, et ipſi ſuis vniuerſis imperant, ad proelium vti ſe pararent. Quumque iam ita diſpoſiti ſtarent in acie, quemadmodum eam conductitiorum militum duces ſtruxerant: edicunt Lacedaemonii, vt quiſque ducem ſequeretur; ſimul et ipſi dextram verſus ducunt, ac hoſtium cornu, ſemet extendendo, vſque adeo ſuperant, vt ſex Athenienſium cohortes Lacedaemoniis, quatuor oppoſitae Tegeaeis eſſent. Iam non amplius vnius interuallo ſtadii ab ſe invicem aberant, quum Lacedaemonii de more capram Siluicultrici mactant, primique in adverſos pergunt, et partem copiarum, qua hoſtilem aciem excedebant, circumdaturi hoſtem, in orbem flectunt.

13. Ad

γ'. Επεὶ δὲ ξυνέμιξαν, οἱ μὲν ἄλλοι ξύμμαχοι πάντες οἱ τῶν Λακεδαιμονίων ἐκρατήθησαν ὑπὸ τῶν ἐναντίων· Πελληνεῖς δὲ κατὰ Θεσπιέας γενόμενοι, ἐμάχοντό τε καὶ ἐν χώρᾳ ἔπιπλον ἑκατέρων. αὐτοὶ δὲ οἱ Λακεδαιμόνιοι ὅσον τε κατέσχον τῶν Αθηναίων ἐκράτησαν, καὶ κυκλωσάμενοι τῷ ὑπερέχοντι, πολλὰς ἀπέκλεισαν αὐτῶν· καὶ ἅτε δὴ ἀπαθεῖς ὄντες, ξυντεταγμένοι ἐπορεύοντο· καὶ τὰς μὲν τέτταρας φυλὰς τῶν Αθηναίων, πρὶν ἐκ τῆς διώξεως ἐπαναχωρῆσαι, παρῆλθον· ὥστε καὶ ἀπέθανον αὐτῶν, πλὴν εἴ τις ἐν τῇ ξυμβολῇ ὑπὸ Τεγεατῶν.

ιδ'. Τοῖς δὲ Αργείοις ἐπιτυγχάνουσιν οἱ Λακεδαιμόνιοι ἀναχωροῦσι, καὶ μέλλοντος τοῦ πρώτου πολεμάρχου ἐκ τοῦ ἐναντίου ξυμβάλλειν αὐτοῖς, λέγεταί ἄρα τις ἀναβοῆσαι, παρεῖναι τοὺς πρώτους. ὡς δὲ τοῦτ' ἐγένετο, παραθέοντας δὴ παίοντες ἐς τὰ γυμνά, πολλοὺς ἀπέκλεισαν αὐτῶν. ἐπελάβοντο δὲ καὶ Κορινθίων ἀναχωρούντων. ἔτι δ' ἐπέτυχον οἱ Λακεδαιμόνιοι καὶ τῶν Θηβαίων τισὶν ἀναχωροῦσιν ἐκ τῆς

13. Ad manus quum ventum esset, reliqui socii Lacedaemoniorum omnes ab hostibus superati fuere: soli Pellenenses, Thespiensibus oppositi, sic pugnabant, vt vtrinque nonnulli caderent. Lacedaemonii, quotquot Athenienses sibi oppositos nacti sunt, vincunt: parteque copiarum, qua ipsorum aciem excedebant, multos circumdatos interficiunt: simul, quod damni nihil accepissent, integra prorsus acie procedunt, et quatuor illas Athenienſium cohortes, priusquam a persequendo reuerterentur, praetereunt. Ea re factum, vt ex illis nulli occiderentur, extra eos, qui in conflictu a Tegeaeis interfecti sunt.

14. At in Argiuos recedentes incidere Lacedaemonii, quumque primus polemarchus eos aduersos inuasurus esset, exclamasse quidam fertur: permittendum esse, vt primi praeterirent. Id quum fieret, praetercurrentes, qua nudi erant, feriunt; ac multos interficiunt. Itidem Corinthios pedem referentes adorti sunt. Praeterea Lacedaemonii quosdam in Thebanos etiam inciderunt, ex persequutione recedentes, ac

τῆς διώξεως, καὶ ἀπέκλειναν συχνὰς αὐτῶν. τούτων δὲ γενομένων, οἱ ἡττώμενοι τὸ μὲν πρῶτον ἔφευγον ἐς τὰ τείχη· ἔπειτα δ' ἀρξάντων Κορινθίων, πάλιν κατεσκήνωσαν ἐς τὸ ἀρχαῖον στρατόπεδον. Λακεδαιμόνιοι δ' αὖ ἐπαναχωρήσαντες ἔνθα τὸ πρῶτον τοῖς πολεμίοις ξυνέμιξαν, ἐστήσαντο τρόπαιον. καὶ αὕτη μὲν δὴ ἡ μάχη ὅτως ἐγένετο.

ΚΕΦ. γ'.

Ὁ δ' Ἀγησίλαος σπεύδων μὲν ἐκ τῆς Ἀσίας ἐβοήθει· ὄντι δ' αὐτῷ ἐν Ἀμφιπόλει ἀγγέλλει Δερκυλλίδας, ὅτι νικῷέν τε αὖ Λακεδαιμόνιοι, καὶ αὐτῶν μὲν τεθνάναι ὀκτὼ, τῶν δὲ πολεμίων παμπληθεῖς. ἐδήλου δὲ ὅτι καὶ τῶν ξυμμάχων οὐκ ὀλίγοι πεπτωκότες εἶεν. ἐρομένου δὲ τοῦ Ἀγησιλάου· Ἆρ' ἂν, ὦ Δερκυλλίδα, ἐν καιρῷ γένοιτο, εἰ αἱ συμπέμψασαι πόλεις ἡμῖν τοὺς στρατιώτας, τὴν νίκην ὡς τάχιστα πύθοιντο; ἀπεκρίνατο δὴ ὁ Δερκυλλίδας, εὐθυμοτέρους γοῦν εἰκὸς ταῦτ' ἀκούσαντας εἶναι. οὐκοῦν σὺ, ἐπεὶ

plurimos eorum peremerunt. Quod quum fieret, victi primum ad oppida fugiebant: deinde facientibus initium eius rei Corinthiis, ad priora se castra recipiebant. Lacedaemonii vero et ipsi redeuntes ad eum locum, quo primum cum hoste manus conseruerant, tropaeum constituunt. Atque haec quidem pugna in hunc modum pugnata fuit.

CAP. III.

Interim Agesilaus ad ferendum opem suis ex Asia properabat: quumque iam apud Amphipolim esset, Dercyllidas ad eum rei gestae nuntium perfert; vicisse scilicet Lacedaemonios, eorumque tantum octo cecidisse, ingenti hostium multitudine interemta. Significat etiam, non paucos ex sociis periisse. Tum quaerente Agesilao: Fueritne opportunum, Dercyllida, victoriam hanc celeritate, quanta fieri maxima poterit, iis ciuitatibus nunciari, quae copias hasce nobiscum miserunt? respondit Dercyllidas, non abs re videri futurum, vt, eo nuntio accepto, maiorem animis fiduciam conciperent. Ergo tu, subiecit Age-

ἐπεὶ παρεγένω, κάλλις' ἂν ἀπαγγείλαις. ὁ δὲ, ἄσμενος ἀκούσας, (καὶ γὰρ ἀεὶ φιλαπόδημος ἦν) εἶπεν· εἰ σὺ τάττοις. ἀλλὰ τάττω, ἔφη, καὶ προσαπαγγέλλειν κελεύω, ὅτι ἐὰν καὶ τάδε εὖ γένηται, πάλιν παρεσόμεθα, ὥσπερ καὶ ἔφαμεν.

β'. Ο μὲν δὴ Δερκυλλίδας ἀφ' Ελλησπόντου ἤδη ἐπορεύετο· ὁ δὲ Αγησίλαος διαλλάξας Μακεδονίαν, ἐς Θετταλίαν ἀφίκετο. Λαρισσαῖοι μὲν ὄν, καὶ Κρανώνιοι, καὶ Σκοτουσαῖοι, καὶ Φαρσάλιοι, ξύμμαχοι ὄντες Βοιωτοῖς, καὶ πάντες δὲ Θετταλοὶ, πλὴν ὅσοι αὐτῶν φυγάδες τότ' ἐτύγχανον, ἐκακούργουν αὐτὸν ἐπακολουθοῦντες. ὁ δὲ τέως μὲν ἦγεν ἐν πλαισίῳ τὸ στράτευμα, τοὺς ἡμίσεις μὲν ἔμπροσθεν, τοὺς ἡμίσεις δ' ἐπ' οὐρᾷ ἔχων τῶν ἱππέων· ἐπεὶ δὲ ἐκώλυον τῆς πορείας οἱ Θετταλοὶ, ἐπελαύνοντες τοῖς ὄπισθεν, παραπέμπει ἐπ' οὐρὰν καὶ τὸ ἀπὸ τοῦ στόματος ἱππικὸν, πλὴν τῶν περὶ αὐτόν.

γ'. Ως δὲ παρετάξαντο ἀλλήλοις, οἱ μὲν Θετταλοὶ, νομίσαντες

Ageſilaus, quando huc veniſti, nuntius in primis idoneus fueris. Iis verbis perlubenter auditis Dercyllidas, homo caeteroqui peregre degendi ſemper cupidus: Si quidem tu mandas, inquit. Mando vero, ſubiecit Ageſilaus, ac praeterea volo ſignifices; nos ita, vti polliciti ſumus, ad ipſos reuerſuros, ſi res ex ſententia ceſſerint.

2. Secundum haec ab Helleſponto Dercyllidas diſcedit. Ageſilaus autem, Macedonia peragrata, in Theſſaliam venit. Heic et Lariſſaei, et Cranonii, et Scotuſaei, et Pharſalii, Boeotis conſoederati, adeoque Theſſali omnes, exceptis tantum iis, qui tunc in exilio degebant, carpendo extremum agmen infeſtabant. Duxerat autem haſtenus copias Ageſilaus agmine quadrato, equitum parte dimidia translata in frontem, alteraque dimidia relicta a tergo. Verum poſteaquam Theſſali vltimum agmen adorti, quo minus in itinere pergeret, impediuere: tunc et illos equites, qui erant a fronte, poſtremum ad agmen traducit, exceptis tantum iis quos penes ſe habebat.

3. Quumque acies vtrinque ſtructae eſſent, Theſſali, qui exiſtimarent,

μίσαντες ἂν ἐν καλῷ εἶναι πρὸς τοὺς ὁπλίτας ἱππομαχεῖν, στρέψαντες, βάδην ἀπεχώρουν. οἱ δὲ μάλα σωφρόνως* ἐπηκολούθουν. γνοὺς δὲ ὁ Ἀγησίλαος ἀμφοτέροις ἡμάρτανον, πέμπει τοὺς περὶ αὐτὸν μάλα εὐρώστους ἱππέας, καὶ κελεύει τοῖς τε ἄλλοις παραγγέλλειν, καὶ αὐτοὺς διώκειν ὡς τάχιστα, καὶ μηκέτι δοῦναι αὐτοῖς ἀναστροφήν.

δ'. Οἱ δὲ Θετταλοὶ ὡς εἶδον παρὰ δόξαν ἐλαύνοντας, οἱ μὲν αὐτῶν ἔφυγον, οἱ δ' ἀνέστρεψαν, οἱ δὲ πειρώμενοι τοῦτο ποιεῖν, πλαγίους ἔχοντες τοὺς ἵππους ἡλίσκοντο. Πολύμαχος** μέντοι ὁ Φαρσάλιος ἱππαρχῶν ἀνέστρεψέ τε, καὶ μαχόμενος ξὺν τοῖς περὶ αὐτὸν ἀποθνήσκει. ὡς δὲ τοῦτο ἐγένετο, φυγὴ τῶν Θετταλῶν ἐξαισία γίγνεται· ὥστε οἱ μὲν ἀπέθνησκον αὐτῶν, οἱ δὲ καὶ ἡλίσκοντο. ἔσησαν δ' ἂν ἃ πρόσθεν, πρὶν ἐν τῷ ὄρει Ναρθακίῳ ἐγένοντο.

ε'. Καὶ τότε μὲν δὴ ὁ Ἀγησίλαος τρόπαιόν τ' ἐστήσατο

stimarent, non satis commode se aduersus armaturam grauem equestribus cum copiis dimicaturos; conuerso agmine, pedetentim abscedebant. Eos Agesilai equites imprudenter admodum sequebantur. Quare animaduerso Agesilaus vtrosque peccare; summissis equitibus, quos circum se habebat robustissimos, iubet vt et ipsi quam celerrime hostem persequerentur, idemque caeteris etiam denuntiarent, ne conuertendi se facultas amplius hosti concederetur.

4. Hos vbi praeter opinionem suam adequitare Thessali conspexerunt, partim terga dabant, partim se hosti obuertebant: quod sane quicunque facere nitebantur, ab equitibus a latere ingruentibus capiebantur. Polycharmus quidem Pharsalius et se conuertit, et pugnans vna cum iis, quos circum se habebat, est interemtus. Quo facto, fuga Thessalorum ingens sequuta est, in qua nonnulli ex eis perierunt, nonnulli hostium in manus venerunt. Prius quidem non substitere, quam in montem Narthacium peruenissent.

5. Agesilaus, tropaeo inter Prantem et Narthacium excitato,

* Al. μάλ' ἀφρόνως. ** In Agesilao nominatur Πολύχαρμος.

σατο μεταξὺ *Πραντὸς καὶ Ναρθακίᾳ, καὶ αὐτῷ ἔμεινε, μάλα ἡδόμενος τῷ ἔργῳ, ὅτι τὰς μέγιστον φρονοῦντας ἐπὶ ἱππικῇ ἐνενικήκει ξὺν ᾧ αὐτὸς ξυνέλεξεν ἱππικῷ. τῇ δ' ὑστεραίᾳ ὑπερβάλλων τὰ Αχαϊκὰ τῆς Φθίας ὄρη, τὴν λοιπὴν πᾶσαν διὰ φιλίας ἐπορεύετο, μέχρι πρὸς τὰ Βοιωτῶν ὅρια. ὄντος δ' αὐτοῦ ἐπὶ τῇ ἐμβολῇ, ὁ ἥλιος μηνοειδὴς ἔδοξε φανῆναι· καὶ ἠγγέλθη, ὅτι ἡττημένοι εἶεν Λακεδαιμόνιοι τῇ ναυμαχίᾳ, καὶ ὁ ναύαρχος Πείσανδρος τεθναίη.

ς'. Ελέγετο δὲ, καὶ ᾧ τρόπῳ ἡ ναυμαχία ἐγένετο. εἶναι μὲν γὰρ περὶ Κνίδον τὸν ἐπίπλουν ἀλλήλοις, Φαρνάβαζον δὲ, ναύαρχον ὄντα, ξὺν ταῖς φοινίσσαις εἶναι, Κόνωνα δὲ, τὸ Ελληνικὸν ἔχοντα, τετάχθαι ἔμπροσθεν αὐτοῦ. ἀντιπαραταξαμένου δὲ τοῦ Πεισάνδρου, καὶ πολὺ ἐλαττόνων αὐτῷ τῶν νεῶν φανεισῶν τῶν αὐτοῦ τοῦ μετὰ Κόνωνος Ελληνικοῦ, τὰς μὲν ἀπὸ τοῦ εὐωνύμου ξυμμάχους εὐθὺς αὐτῷ φεύγειν, αὐτὸν δὲ συμμίξαντα τοῖς πολεμίοις ἐμβολὰς ἐχόσῃ τῇ τριήρει, πρὸς τὴν γῆν ἐξωσθῆναι· καὶ τὰς μὲν ἄλλας,

tato, ibidem manſit, mirifice delectatus hoc proelio; quod homines ob equeſtris rei peritiam confidentiſſimos, vſus equitatu eo, quem ipſe coëgerat, viciſſet. Poſtridie ſuperatis Achaicis Phthiae montibus, reliquum iter omne per regionem pacatam faciebat, vſque ad Boeotorum fines. In eos quum irrumperet, et ſol inſtar lunae falcatus conſpici viſus eſt, et allatus eſt nuntius, quo ſignificaretur; victos eſſe nauali proelio Lacedaemonios, claſſiſque praefectum Piſandrum occubuiſſe.

6. Narratum etiam, quo pacto proelium illud nauale commiſſum fuiſſet: nimirum haud procul a Cnido claſſes vtrinque concurriſſe: cum nauibus Phoeniſſis Pharnabazum claſſis praefectum adfuiſſe, Cononem cum claſſe Graeca, prima fuiſſe in acie. Quumque Piſander et ipſe ſtruxiſſet aciem, ac longe pauciores habere ſibi naues videretur, quam eſſent in Graeca Cononis claſſe: ſtatim ſocios, qui laeuum obtinuiſſent cornu, fugiſſe: ipſum cum hoſtibus congreſſum triremi roſtrata, compulſum ad terram fuiſſe: Tum caeteros, qui

* Al. Τάπραντος.

ἄλλους, ὅσοι ἐς τὴν γῆν ἐξώθησαν, ἀπολιπόντας τὰς ναῦς, σώζεσθαι ὅποι δύναιντο ἐς τὴν Κνίδον, αὐτὸν δὲ ἐπὶ τῇ νηῒ μαχόμενον ἀποθανεῖν.

ζ'. Ὁ μὲν δὴ Ἀγησίλαος, πυθόμενος ταῦτα, τὸ μὲν πρῶτον χαλεπῶς ἔφερεν. ἐπεὶ μέντοι ἐνεθυμήθη, ὅτι τοῦ στρατεύματος τὸ πλεῖστον εἴη αὐτῷ οἷον ἀγαθῶν μὲν γιγνομένων ἡδέως μετέχειν, εἰ δέ τι χαλεπὸν ὁρῴη, οὐκ ἀνάγκην εἶναι κοινωνεῖν αὐτοῖς· ἐκ τούτου μεταβαλὼν ἔλεγεν, ὡς ἀγγέλλοιτο ὁ μὲν Πείσανδρος τετελευτηκὼς, νικῴη δὲ τῇ ναυμαχίᾳ. ἅμα δὲ ταῦτα λέγων, καὶ ἐθύετο ὡς εὐαγγέλια, καὶ πολλοῖς διέπεμπε τῶν τεθυμένων· ὥστε ἀκροβολισμοῦ ὄντος πρὸς τοὺς πολεμίους, ἐκράτησαν οἱ τοῦ Ἀγησιλάου τῷ λόγῳ, ὡς Λακεδαιμονίων νικώντων τῇ ναυμαχίᾳ.

η'. Ἦσαν δὲ οἱ μὲν ἀντιτεταγμένοι τῷ Ἀγησιλάῳ, Βοιωτοὶ, Ἀθηναῖοι, Ἀργεῖοι, Κορίνθιοι, Αἰνιᾶνες, Εὐβοεῖς, Λοκροὶ ἀμφότεροι. σὺν Ἀγησιλάῳ δὲ, Λακεδαιμονίων

qui et ipsi ad terram compulsi essent, relictis nauibus, qua quisque potuisset, in Cnidum se incolumes recepisse: Pisandrum in naui pugnantem occubuisse.

7. Atque haec Agesilaus audiens, primum permoleste ferebat. Verum vbi ad animum ei accidit, eiusmodi maximam esse suorum militum partem, vt qui perlubenter rerum prosperarum participes esse cuperent; contraque, necessarium haudquaquam esse, vt si quid ipse aduersi cerneret, cum eis communicaret: mutato consilio, nuntiatum esse sibi dixit, Pisandrum quidem vitam cum morte commutasse, sed nihilominus nauali proelio victorem extitisse. Atque haec dicens, etiam boues mactabat, quasi gratulatoria sacra faciens: partemque victimarum ad multos hinc inde mittebat. Quo factum, vt in quadam aduersus hostes velitatione Agesilai milites, hac fama excitati, victoria potirentur; quasi nauali proelio Lacedaemonii vicissent.

8. Erant in acie aduersus Agesilaum Boeoti, Athenienses, Argiui, Corinthii, Aenianes, Euboici, vtrique Locri: ab Agesilai vero

μονίων μὲν μόρα ἡ ἐκ Κορίνθου διαβᾶσα, ἥμισυ δὲ μόρας ἐξ Ορχομενοῦ· ἔτι δὲ οἱ ἐκ Λακεδαίμονος νεοδαμώδεις συστρατευσάμενοι αὐτῷ· πρὸς δὲ τούτοις, ὃν Ηριππίδας ἐξενάγει ξενικοῦ· ἔτι δὲ οἱ ἀπὸ τῶν ἐν τῇ Ασίᾳ πόλεων Ελληνίδων, καὶ ἀπὸ τῶν ἐν τῇ Εὐρώπῃ πόλεων Ελληνίδων, ὅσας διὼν παρέλαβεν. αὐτόθεν δὲ προσεγένοντο ὁπλῖται Ορχομένιοι καὶ Φωκεῖς. πελτασταὶ γεμὴν πολλῷ πλέονες, οἱ μετ' Αγησιλάου. ἱππεῖς δ' αὖ παραπλήσιοι ἀμφοτέροις τὸ πλῆθος. ἡ μὲν δὴ δύναμις αὕτη ἀμφοτέρων.

θ'. Διηγήσομαι δὲ καὶ τὴν μάχην, καὶ πῇ ἐγένετο, οἷα δὴ οὐκ ἄλλη τῶν γ' ἐφ' ἡμῶν. συνῆσαν μὲν γὰρ ἐς τὸ κατὰ Κορώνειαν πεδίον οἱ μὲν σὺν Αγησιλάῳ, ἀπὸ τοῦ Κηφισσοῦ, οἱ δὲ σὺν Θηβαίοις, ἀπὸ τοῦ Ελικῶνος. εἶχε δ' Αγησίλαος μὲν δεξιὸν τὸ μετ' αὐτοῦ, Ορχομένιοι δ' αὐτῷ ἔσχατοι ἦσαν τοῦ εὐωνύμου. οἱ δ' αὖ Θηβαῖοι αὐτοὶ μὲν δεξιὸν εἶχον, Αργεῖοι δ' αὐτοῖς τὸ εὐώνυμον.

ι'. Συνιόν-

vero partibus, vna Lacedaemoniorum cohors, quae Corintho aduenerat, et cohors ex Orchomeno dimidia. Praeterea tirones Lacedaemone missi, quorum in expeditione priori opera fuerat vsus. Tum copiae conductitiae, quibus Herippidas praeerat. Item missi a Graeci nominis tum in Asia tum in Europa ciuitatibus, quotquot earum peragrando, in fidem acceperat. Denique de iis locis, in quibus tum erat, accessere grauis armaturae pedites Orchomenii ac Phocenses. Cetratorum numero Agesilaus superior erat, equitatus vtrinque par. Atque has tunc vtrique copias habebant.

9. Etiam proelium commemorabo, et quo pacto commissum fuerit: tale quidem illud, quale non est aliud ex iis, quae nostra memoria commissa fuere. Nam conuenerunt in campum, propter Coroneam situm, Agesilai quidem copiae a Cephisso, Thebanorum vero ab Helicone. Agesilaus in exercitu suo dextrum cornu tenebat, in sinistro postremi erant Orchomenii. Ex aduerso dextrum Thebani latus habebant, Argivi sinistrum.

ί. Συνιόντων δὲ, τέως μὲν σιγὴ πολλὴ ἐπ' ἀμφοτέρων ἦν· ἡνίκα δ' ἀπεῖχον ἀλλήλων ὅσον στάδιον, ἀλαλάξαντες οἱ Θηβαῖοι δρόμῳ ὁμόσε ἐφέροντο. ὡς δὲ τριῶν ἔτι πλέθρων ἐν μέσῳ ὄντων, ἀντεξέδραμον ἀπὸ τῆς Αγησιλάου φάλαγγος, ὧν Ηριππίδας ἐξενάγει, καὶ σὺν αὐτοῖς Ιωνες, καὶ Αἰολεῖς, καὶ Ελλησπόντιοι· καὶ πάντες ὅτοι τῶν συνεκδραμόντων τε ἐγένοντο, καὶ ἐς δόρυ ἀφικόμενοι ἔτρεψαν τὸ καθ' αὑτούς. Αργεῖοι μέντοι οὐκ ἐδέξαντο τοὺς περὶ Αγησίλαον, ἀλλ' ἔφυγον ἐπὶ τὸν Ελικῶνα.

ια'. Κἀνταῦθα οἱ μέν τινες τῶν ξένων ἐστεφάνουν ἤδη τὸν Αγησίλαον, ἀγγέλλει δέ τις αὐτῷ, ὅτι οἱ Θηβαῖοι τοὺς Ορχομενίους διακόψαντες, ἐν τοῖς σκευοφόροις εἶησαν. καὶ ὁ μὲν εὐθὺς ἐξελίξας τὴν φάλαγγα, ἦγεν ἐπ' αὐτούς· οἱ δ' αὖ Θηβαῖοι ὡς εἶδον τοὺς ξυμμάχους πρὸς Ελικῶνι πεφευγότας, διαπεσεῖν βουλόμενοι πρὸς τοὺς ἑαυτῶν, συσπειραθέντες ἐχώρουν ἐρρωμένως.

ιβ'. Ενταῦθα δὴ Αγησίλαον ἀνδρεῖον μὲν ἔξεστιν εἰπεῖν

10. Dum congrederentur, altum erat tantisper apud vtrosque silentium; donec intervallo vnius stadii ab se inuicem abessent. Tum sublato Thebani vlulatu, in aduersum hostem cursu feruntur. Iam trium plethrûm spatium inter vtrosque intererat, quum de phalange Agesilai vicissim excurrunt illi conductitii milites, quos Herippidas ducebat; itemque cum his Iones, Aeoles, Hellespontii. Hi omnes eorum in numero erant, qui simul in aduersos hostes cursu ferebantur; et quum intra hastam peruenissent, in fugam oppositos sibi vertebant. Enimvero nec Argiui eorum, qui apud Agesilaum erant, impetum sustinuere: sed in Heliconem fuga se receperunt.

11. Heic quum nonnulli hospites Agesilaum iam coronarent, quidam ei nuntiat, Thebanos, Orchomeniis caesis, ad impedimenta peruasisse. Tum Agesilaus mox euoluta phalange, aduersus eos ducit. Thebani vero, vbi socios suos ad Heliconem fugisse vident; vt ad eos euaderent, per cohortes conglobati magno cum impetu procedebant.

12. Heic Agesilaum, extra omnem

πεῖν ἀναμφισβητήτως· ὅ μέντοι εἵλετό γε τὰ ἀσφαλέσατα. ἐξὸν γὰρ αὐτῷ, παρέντι τὺς διαπίπτοντας, ἀπολωθῶντι χειρῶσθαι τὺς ὄπισθεν, οὐκ ἐποίησε τοῦτο, ἀλλ' ἀντιμέτωπος συνέρραξε τοῖς Θηβαίοις· καὶ συμβαλόντες τὰς ἀσπίδας, ἐωθοῦντο, ἐμάχοντο, ἀπέκτεινον, ἀπέθνησκον. τέλος δὲ, τῶν Θηβαίων οἱ μὲν διαπίπτουσι πρὸς τὸν Ελικῶνα, πολλοὶ δὲ ἀποχωρήσαντες ἀπέθανον.

ιγ'. Επεὶ δὲ ἡ μὲν νίκη Αγησιλάῳ ἐγεγένητο, τετρωμένος δ' αὐτὸς προσενήνεκτο πρὸς τὴν φάλαγγα, προσελάσαντές τινες τῶν ἱππέων, λέγουσιν αὐτῷ, ὅτι τῶν πολεμίων ὡς ὀγδοήκοντα σὺν ὅπλοις ὑπὸ τῷ νεῷ εἰσι· καὶ ἠρώτων τί χρὴ ποιεῖν. ὁ δὲ, καίπερ πολλὰ τραύματα ἔχων, ὅμως οὐκ ἐπελάθετο τοῦ θείου, ἀλλ' ἐᾶν τ' ἀπιέναι ἢ βούλοιντο ἐκέλευσε, καὶ ἀδικεῖν οὐκ εἴα. τότε μὲν οὖν (καὶ γὰρ ἦν ἤδη ὀψὲ) δειπνοποιησάμενοι ἐκοιμήθησαν.

ιδ'. Πρωῒ δὲ Γύλιν τὸν πολέμαρχον παρατάξαι τε ἐκέλευσε τὸ στράτευμα, καὶ τρόπαιον ἵστασθαι, καὶ στεφανοῦσθαι

omnem controuerſiam, virum fortem dicamus, licet: neque tamen, quod tutiſſimum erat, elegit. Nam quum poſſet, omiſſis iis, qui elabi conabantur, a tergo ſubſequi, agmenque poſtremum caedere: non hoc fecit; ſed a fronte in aduerſos Thebanos irruit. Itaque colliſis vtrinque clupeis vrgebantur, pugnabant, occidebant, occidebantur. Tandem Thebani, partim ad Heliconem euadunt, partim dum abſcedunt, interficiuntur.

13. Quum Ageſilaus victoria potitus eſſet, atque ipſe vulneratus ad phalangem delatus fuiſſet; nonnulli equis aduecti ſignificant, plus minus LXXX ex hoſtibus armatos templo ſe continere: quid de his faciendum ſit, rogant. Ille quanquam multis affectus vulneribus eſſet, numinis tamen haudquaquam oblitus; vt abeundi, quo vellent, poteſtatem eis facerent, edixit; neque laedi eos paſſus eſt. Ac tum quidem, quod aduenisſet veſpera, coena ſumta, quieti ſe dederunt.

14. Mane vero Gylim polemarchum copias inſtruere iubet, ac tropaeum excitare; ſimul vniuerſos in honorem Dei coronis

νῆσθαι πάντας τῷ Θεῷ, καὶ τὰς αὐλητὰς πάντας αὐλεῖν. καὶ οἱ μὲν ταῦτ' ἐποίουν. οἱ δὲ Θηβαῖοι ἔπεμψαν κήρυκας, ὑποσπόνδους τὰς νεκρὰς αἰτοῦντες θάψαι. καὶ ἕως δὴ αἵ τε σπονδαὶ γίγνονται, καὶ Ἀγησίλαος μὲν ἐς Δελφοὺς ἀφικόμενος δεκάτην τῶν ἐκ τῆς λείας τῷ Θεῷ ἀπέθυσεν, οὐκ ἐλάττω ἑκατὸν ταλάντων. Γύλις δὲ ὁ πολέμαρχος, ἔχων τὸ στράτευμα, ἀπεχώρησεν ἐς Φωκέας, ἐκεῖθεν δ' ἐς τὴν Λοκρίδα ἐμβάλλει.

ιε'. Καὶ τὴν μὲν ἄλλην ἡμέραν οἱ στρατιῶται καὶ σκευὴ ἐκ τῶν κωμῶν, καὶ σῖτον ἥρπαζον· ἐπεὶ δὲ πρὸς ἑσπέραν ἦν, τελευταῖον ἀποχωρούντων τῶν Λακεδαιμονίων, ἐπηκολούθουν αὐτοῖς οἱ Λοκροὶ, βάλλοντες καὶ ἀκοντίζοντες. ὡς δ' αὐτῶν οἱ Λακεδαιμόνιοι ὑποστρέψαντες καὶ διώξαντες κατέβαλόν τινας, ἐκ τούτου ὄπισθεν μὲν οὐκέτι ἐπηκολούθουν, ἐκ δὲ τῶν ὑπερδεξίων ἔβαλλον.

ις'. Οἱ δ' ἐπεχείρησαν μὲν καὶ πρὸς τὸ σιμὸν διώκειν· ἐπεὶ δὲ σκότος ἐγίγνετο, καὶ ἀποχωροῦντες οἱ μὲν διὰ τὴν δυσχωρίαν ἔπιπτον, οἱ δὲ καὶ διὰ τὸ μὴ προορᾶν τὰς ἔμπροσθεν,

coronis se redimire, omnesque tibicines tibia canere. Interim dum hoc illi faciunt, Thebani, caduceatoribus missis, per inducias ad sepulturam mortuorum cadauera repetunt. Ita tum factis induciis, Delphos profectus Agesilaus, decumam de manubiis Deo consecrat, talentis centum non minorem. Gylis autem polemarchus cum copiis in agrum Phocensem abiit, atque ex eo in Locridem irrupit.

15. Die secundum haec alio milites, omnis generis supellectilem, cum frumento, ex vicis rapiunt. Verum vbi iam adueſperascerent, Lacedaemoniis tum demum pedem referentibus, sequuntur eos a tergo Locri, telisque ac iaculis petunt. Quum autem conuersi Lacedaemonii vicissim eos persequerentur, ac nonnullos prostrauissent, non iam Locri amplius a tergo sequebantur, sed de superioribus eos locis petebant.

16. Tum Lacedaemonii conabantur ipsos etiam per accliuia loca persequi: sed quia tenebrae ingruebant, pedem referentes, partim ob locorum difficultatem cadunt, partim quod nihil a fronte prospicerent, partim denique telis confossi.

προσθεν, οἱ δὲ καὶ ὑπὸ τῶν βελῶν· ἐνταῦθα ἀποθνήσκουσι Γύλις τε ὁ πολέμαρχος, καὶ τῶν παρασατῶν * πλεῖστοι, καὶ οἱ πάντες ὡς ὀκτωκαίδεκα τῶν ** Σπαρτιατῶν, οἱ μὲν, καταλευσθέντες, οἱ δὲ, καὶ τραυματισθέντες. εἰ δὲ μὴ ἐβοήθησαν αὐτοῖς ἐκ τῆ στρατοπέδω δειπνῦντες, ἐκινδύνευσαν ἂν ἅπαντες ἀπολέσθαι.

ΚΕΦ. δ'.

Μετὰ τῦτο γεμὴν ἀφείθη μὲν κατὰ πόλεις τὸ ἄλλο στράτευμα, ἀπέπλευσε δὲ καὶ ὁ Αγησίλαος ἐπ' οἴκυ. ἐκ δὲ τύτυ ἐπολέμυν Αθηναῖοι μὲν, καὶ Βοιωτοὶ, καὶ Αργεῖοι, καὶ οἱ σύμμαχοι αὐτῶν, ἐκ Κορίνθυ ὁρμώμενοι, Λακεδαιμόνιοι δὲ καὶ οἱ σύμμαχοι, ἐκ Σικυῶνος. ὁρῶντες δὲ οἱ Κορίνθιοι ἑαυτῶν μὲν καὶ τὴν χώραν δηυμένην, καὶ . . . . . ἀποθνήσκοντας, διὰ τὸ ἀεὶ τῶν πολεμίων ἐγγὺς εἶναι, τὺς δ' ἄλλυς συμμάχυς καὶ αὐτὺς ἐν εἰρήνη ὄντας, καὶ τὰς χώρας αὐτῶν ἐνεργὺς ὄσας, οἱ πλεῖστοι καὶ βέλτιστοι αὐτῶν εἰρήνης ἐπεθύμησαν, καὶ συνισάμενοι ἐδίδασκον ταῦτα ἀλλήλυς.

Β'. Γνόντες

fossi. Perierunt hoc loco Gylis polemarchus, et adstitum e numero complures, et Spartani omnino XVIII, partim lapidibus obruti, partim confecti vulneribus. Quod si e castris milites iam coenantes opem eis non tulissent, periclitati de vita fuissent omnes.

CAP. IV.

Secundum haec dimissae sunt ad ciuitates singulas reliquae copiae, ac domum Agesilaus nauigio vectus fuit. Tum e Corintho factis eruptionibus Athenienses, Boeoti, Argiui, eorumque socii bellum gerebant: Lacedaemonii vero, cum foederatis suis, e Sicyone. Quum autem Corinthii viderent, agrum suum populationibus infestari, ac suos interfici, quod semper ab hostibus prope abessent, reliquis interim foederatis pace fruentibus, agrosque suos colentibus; plurimi eorum, atque optimi quique, pacem expetebant, communicatisque consiliis, mutuo se hac in parte monebant.

2. Ea

* Al: πελλοῖς. ** Al. στρατιωτῶν.

β'. Γνόντες δὲ οἱ Ἀργεῖοι, καὶ Βοιωτοὶ, καὶ Ἀθηναῖοι, καὶ Κορινθίων οἵ τε τῶν παρὰ βασιλέως χρημάτων μετεσχηκότες, καὶ οἱ τῷ πολέμῳ αἰτιώτατοι γεγενημένοι, ὡς, εἰ μὴ ἐκποδὼν ποιήσαιντο τοὺς ἐπὶ τὴν εἰρήνην τετραμμένους, κινδυνεύσει πάλιν ἡ πόλις λακωνίσαι, ὕτω δὴ καὶ σφαγὰς ἐπεχείρουν ποιεῖσθαι. καὶ πρῶτον μὲν τὸ πάντων ἀνοσιώτατον ἐβουλεύσαντο. οἱ μὲν γὰρ ἄλλοι, κἂν νόμῳ τις καταγνωσθῇ, οὐκ ἀποκτιννύουσιν ἐν ἑορτῇ· ἐκεῖνοι δ' Εὐκλείων τὴν τελευταίαν προείλοντο, ὅτι πλείους ἂν ὦσιν λαβεῖν ἐν τῇ ἀγορᾷ, ὥστε ἀποκτεῖναι.

γ'. Ὡς δ' ἐσημάνθη οἷς εἴρητο, ὡς ἔδει ἀποκτεῖναι, σπασάμενοι τὰ ξίφη, ἔπαιον τὸν μέν τινα συνεσηκότα ἐν κύκλῳ, τὸν δὲ καθήμενον, τὸν δέ τινα ἐν θεάτρῳ, ἔστι δὲ ὃν καὶ κριτὴν καθήμενον. ὡς δ' ἐγνώσθη τὸ πρᾶγμα, εὐθὺς ἔφευγον οἱ βέλτιστοι, οἱ μὲν πρὸς τὰ ἀγάλματα τῶν ἐν τῇ ἀγορᾷ θεῶν, οἱ δ' ἐπὶ τοὺς βωμούς. ἔνθα δὴ οἱ ἀνοσιώτατοι, καὶ παντάπασιν οὐδὲν νόμιμον φρονοῦντες, οἵ τε κελεύοντες

2. Ea re Argiui, Boeoti, Athenienſes, Corinthii, quotquot vel miſſae ab rege pecuniae participes facti fuerant, vel imprimis auctores belli extiterant, cognita, quod periculum eſſe viderent, ne rurſum Corinthus Lacedaemoniorum partes ſequeretur, ſi non e medio tollerentur ii, qui ad pacem inclinabant; caedes moliri ſunt aggreſſi, ac primum id, quod maxime impium erat, conſilium cepere. Nam caeteri homines neminem, ne legitime quidem damnatum, feriis perimunt. At hi diem ſibi Eucleorum poſtremum praeſtituere, quod eo ſe plures in foro, quos occiderent, deprehenſuros exiſtimarent.

3. Quumque ſignificatum iis eſſet, quibuſcum res erat communicata, quoſnam interfici oporteret; ſtrictis illi gladiis alium conſiſtentem in circulo feriunt, alium ſedentem, alium in theatro, nonnullos etiam tunc ſedentes vt iudices. Re patefacta, mox optimates partim ad ſigna Deorum, quae in foro erant, partim ad aras fugiunt. Tum vero et illi, qui iubebant, et qui parebant, longe omnium ſceleratiſſimi homines, quorum in animis nihil recti et aequi

reliquum

κελεύοντες καὶ οἱ πειθόμενοι, ἔσφαττον καὶ πρὸς τοῖς ἱεροῖς· ὥς ἐνίοις καὶ τῶν ἀτυπλομένων, νομίμων δ' ὄντων ἀνθρώπων, ἀδημονῆσαι τὰς ψυχάς, ἰδόντας τὴν ἀσέβειαν.

δ'. Ἀποθνήσκουσι δὲ ἔτω τῶν μὲν πρεσβυτέρων πολλοί. μᾶλλον γὰρ ἔτυχον ἐν τῇ ἀγορᾷ ὄντες. οἱ δὲ νεώτεροι, ὑποπτεύσαντος Πασιμήλου τὸ μέλλον ἔσεσθαι, ἡσυχίαν ἔσχον ἐν τῷ Κρανίῳ. ὡς δὲ τῆς κραυγῆς ἤθοντο, καὶ φεύγοντές τινες ἐκ τοῦ πράγματος ἀφίκοντο πρὸς αὐτούς, ἐκ τούτου ἀναδραμόντες κατὰ τὴν Ἀκροκόρινθον, προσκαλόντας μὲν Ἀργείους καὶ τοὺς ἄλλους ἀπεκρύσαντο.

ε'. Βουλευομένων δὲ, τί χρὴ ποιεῖν, πίπτει τὸ κιονόκρανον ἀπὸ τοῦ κίονος, οὔτε σεισμοῦ, οὔτε ἀνέμου γενομένου. θυομένοις δὲ τοιαῦτα ἦν τὰ ἱερὰ, ὥστε οἱ μάντεις ἔφασαν ἄμεινον εἶναι, καταβαίνειν ἐκ τοῦ χωρίου. καὶ τὸ μὲν πρῶτον, ὡς φευξόμενοι, ἔξω τῆς Κορινθίας ἀπεχώρησαν· ἐπεὶ δὲ καὶ οἱ φίλοι αὐτοὺς ἔπειθον, καὶ μητέρες ἦσαν, καὶ ἀδελφοὶ, καὶ αὐτῶν δὲ τῶν ἐν δυνάμει ὄντων ἦσαν οἳ ὀμνύοντες ὑπισχνοῦντο μηδὲν χαλεπὸν αὐτοὺς πείσεσθαι, ἔτω δὴ ἀπῆλθόν τινες οἴκαδε αὐτῶν.

ς'. Ὁρῶν-

reliquum esset, ad ipsa Deum fana mactabant eos: vt iam nonnulli, tametsi non caederentur, homines tamen iusti ac legum obseruantes, grauissime animis, conspecta impietate huiusmodi, angerentur.

4. Ita complures ex senioribus occisi fuere, quod eorum pars maior in foro forte tunc adesset. Iuniores vero, suspicante Pasimelo, futurum huiusmodi quiddam, in Cranio se continebant. At vbi clamor auditus esset, et quidam ex ipsa caede fugientes ad eos peruenissent, ad Acrocorinthum cursu ascendunt, obiectoque tum Argiuos tum alios loco pellunt.

5. Quumque secum ipsi deliberarent, quid faciundum esset; capitellum de columna decidit, nullo neque terrae motu, neque vento decussum. Eam ob rem quum sacrificium facerent, eiusmodi fuerunt exta, vt vates dicerent, rectius facturos, si de loco descenderent. Itaque primo tanquam in exilium abituri, agro Corinthio excedebant: at vbi suaderent amici, matres, fratres, atque etiam nonnulli e magistratu sub iurisiurandi religione futurum pollicerentur, vt nihil eis incommodi accideret, nonnulli domum se receperunt.

6. Quum-

ς'. Ορῶντες δὲ τὰς τυραννευούσας, αἰσθόμενοι δὲ ἀφανιζομένην τὴν πόλιν, διὰ τὸ καὶ ὅρους ἀνασπᾶσθαι, καὶ Ἄργος ἀντὶ Κορίνθου τὴν πατρίδα αὐτῶν ὀνομάζεσθαι, καὶ πολιτείας μὲν ἀναγκαζόμενοι τῆς ἐν Ἄργει μετέχειν, ἧς ἁδὲν ἐδέοντο, ἐν δὲ τῇ πόλει μετοίκων ἔλαττον δυνάμενοι· ἐγένοντό τινες αὐτῶν, οἳ ἐνόμισαν ἅτω μὲν ἂν ἀξιοβίωτον εἶναι, πειρωμένους δὲ τὴν πατρίδα, ὥσπερ ἦν καὶ ἐξ ἀρχῆς, Κόρινθον ποιῆσαι, καὶ ἐλευθέραν ἀποδεῖξαι, καὶ τῶν μὲν μιαιφόνων καθαρὰν, εὐνομίᾳ δὲ χρωμένην, ἄξιον εἶναι, εἰ μὲν δύναιντο καταπρᾶξαι ταῦτα, σωτῆρας γενέσθαι τῆς πατρίδος· εἰ δὲ μὴ δύναιντο, τῶν τε καλλίστων καὶ μεγίστων ἀγαθῶν ὀρεγομένους, ἀξιεπαινετωτάτης τελευτῆς τυχεῖν.

ζ'. Οὕτω δὴ ἐπιχειρεῖτον ἄνδρε δύο, Πασίμηλός τε καὶ Ἀλκιμένης, διαδύντε διὰ χειμάῤῥου, συγγενέσθαι Πραξίτᾳ τῷ Λακεδαιμονίων Πολεμάρχῳ, ὃς ἐτύγχανε μετὰ τῆς ἑαυτοῦ μόρας φρουρῶν ἐν Σικυῶνι· καὶ εἶπον, ὅτι δύναιντ' ἂν αὐτῷ παρασχεῖν εἴσοδον ἐς τὰ κατατείνοντα ἐπὶ Λέχαιον τείχη. ὁ δὲ, καὶ

6. Quumque conſpicerent eos, qui tyrannidem exercebant, et vrbem deleri animadverterent, quod et limites revellerentur, et Argus pro Corintho appellaretur ipſorum patria, cogerentur denique ciuitatis Argiuae ius obtinere, quo minime indigebant, quum ipſa in vrbe minus etiam, quam illi ciues aduenae, poſſent: extitere nonnulli ex ipſis, qui ſic nequaquam ſibi vivendum exiſtimarent, ſed dandam operam, vt priſtinum in ſtatum ac libertatem Corinthus vindicaretur, et ab homicidis expurgata, legibus optimis adminiſtraretur. Dignum ipſis eſſe, vt conſeruatores patriae fierent, ſi quidem id perficere poſſent: ſin autem, vt pulcherrimorum maximorumque bonorum cupiditate ducti, exitu vitae cum primis laudabili potirentur.

7. Ita viri duo, Paſimelus et Alcimenes, torrentem quendam tranſeunt, et Praxitam Polemarchum Lacedaemoniorum conuenire inſtituunt, qui ſua cum cohorte tum Sicyonem praeſidio tenebat. Exponunt huic, intra muros ei ſe aditum poſſe patefacere, qui Lechaeum verſus pertinerent. Ille iampridem

καὶ πρόσθεν γιγνώσκων τὸ ἄνδρε ἀξιοπίστω ὄντε, ἐπίστευσε, καὶ διαπραξάμενος, ὥστε καὶ τὴν ἀπιέναι μέλλουσαν ἐκ Σικυῶνος μοῖραν καταμεῖναι, ἔπρατ[τ]ε τὴν εἴσοδον.

η'. Ἐπεὶ δὲ τῷ ἄνδρε καὶ κατὰ τύχην, καὶ κατ' ἐπιμέλειαν ἐγενέσθην φύλακε κατὰ τὰς πύλας ταύτας, ἔνθαπερ τὸ τρόπαιον ἔστηκεν, ἅτω δὴ ἔρχεται ὁ Πραξίτας, ἔχων τήν τε μόραν, καὶ Σικυωνίως, καὶ Κορινθίων ὅσοι φυγάδες ἐτύγχανον ὄντες. ἐπεὶ δ' ἦν πρὸς ταῖς πύλαις, φοβούμενος τὴν εἴσοδον, ἠβουλήθη τῶν πιστῶν ἄνδρα ἐσπέμψαι, σκεψόμενον τὰ ἔνδον. τῷ δὲ εἰσηγαγέτην, καὶ ἅτως ἁπλῶς ἀπεδείξάτην, ὥστε ὁ εἰσελθὼν ἐξήγγειλε, πάντα εἶναι ἀβόλως, οἷά περ ἐλεγέτην.

θ'. Ἐκ τούτου δ' εἰσέρχεται. ὡς δὲ, πολὺ διεχόντων τῶν τειχῶν ἀπ' ἀλλήλων, παρατατ[τ]όμενοι, ὀλίγοι ἑαυτοῖς ἔδοξαν εἶναι, σαύρωμα τ' ἐποιήσαντο, καὶ τάφρον, οἵαν ἐδύναντο, πρὸ αὐτῶν, ἕως δὴ οἱ σύμμαχοι αὐτοῖς βοηθήσαιεν. ἦν δὲ καὶ ὄπισθεν αὐτῶν ἐν τῷ λιμένι Βοιωτῶν φυλακή. τὴν μὲν

iampridem cognito, vtrumque fide dignum esse, assensus est ipsis; impetratoque, vt illa quoque cohors, quae discessura Sicyone fuerat, ibidem maneret: Corinthum vt ingrederetur, operam dabat.

8. Erant iam illi duo tum fortuna quadam, tum industria sua custodes earum portarum, ad quas tropaeum stabat: quum Praxitas secum et cohortem illam, et Sicyonios, et exules Corinthios ducens aduenit. Ad portas quum accessisset propius, ab ingressu sibi metuens, quendam hominem fidum in vrbem mittere cogitabat, qui omnia prius exploraret. Hunc illi duo introducunt, ac simpliciter commonstrant omnia: quo factum, vt is renunciaret, omnia sine fraude geri, quemadmodum vterque dixisset.

9. Secundum haec Praxitas Corinthum ingreditur. Quum autem, acie instructa, muris admodum a se inuicem distantibus, pauci esse sibi viderentur, vallo se muniunt, itemque fossa tali, quali quidem poterant, donec eis opem socii ferrent. Ipso in portu Boeoticum praesidium a tergo habebant. Ac die

μὲν ἂν ἐπὶ τῇ νυκτὶ, ἣ εἰσῆλθον, ἡμέραν ἄμαχοι διήγαγον· τῇ δ' ὑστεραίᾳ ἦκον οἱ Ἀργεῖοι παρασυδὶ βοηθοῦντες, καὶ εὑρόντες τεταγμένους Λακεδαιμονίους μὲν ἐπὶ τῷ δεξιῷ ἑαυτῶν, Σικυωνίους δὲ ἐχομένους, Κορινθίων δὲ τοὺς φυγάδας ὡς ἐς πεντήκοντα καὶ ἑκατὸν, πρὸς τῷ ἑῴῳ τείχει, ἀντιτάττονται.

ι'. Ἐχόμενοι δὲ τοῦ ἑῴου τείχους οἱ περὶ Φιλοκράτη μισθοφόροι, πρὸς δὲ τούτοις, Ἀργεῖοι· εὐώνυμον δ' εἶχον αὐτοῖς Κορίνθιοι ἐκ τῆς πόλεως. καταφρονήσαντες δὲ τῷ πλήθει, εὐθὺς ἐχώρουν. καὶ τοὺς μὲν Σικυωνίους ἐκράτησαν, καὶ διασπάσαντες τὸ σαύρωμα ἐδίωκον ἐπὶ θάλατταν. καὶ ἐκεῖ πολλοὺς αὐτῶν ἀπέκτειναν. Πασίμαχος δὲ ὁ ἱππαρμοστὴς, ἔχων ἱππέας ὀλίγους πολλοὺς, ὡς ἑώρα τοὺς Σικυωνίους πιεζομένους, καταδήσας ἀπὸ δένδρων τοὺς ἵππους, καὶ ἀφελόμενος τὰς ἀσπίδας αὐτῶν, μετὰ τῶν ἐθελοντῶν ἦει ἐναντίον τοῖς Ἀργείοις. οἱ δὲ Ἀργεῖοι, ὁρῶντες τὰ σίγματα ἐπὶ τῶν ἀσπίδων, ὡς Σικυωνίους, ὀλίγου ἐφο-

die quidem illo, qui ab ea nocte proximus erat, qua fuerant ingreſſi, proelium nullum cum eis committebatur. Verum die ab hoc altero Argiui omnes exciti, ſuppetias laturi adcurrunt. Quumque Lacedaemonios aduerſus cornu dextrum ſibi oppoſitos in acie offendiſſent, proximos his Sicyonios, et exules plus minus centum et quinquaginta Corinthios ad murum, qui ſolem orientem ſpectabat; aciem et ipſi ſuam inſtruunt.

10. Atque huic quidem, verſus orientem ſpectanti muro, Philocratis conductitii milites erant proximi: ſecundum hos, Argiui: laeuum cornu Corinthii, quotquot ex vrbe aderant, obtinebant. Hoſtibus ob copiarum ſuarum amplitudinem contemtis, recta in eos pergunt. Mox Sicyonios ſuperatos, vallo diruto, ad mare vſque perſequuntur, magnamque partem eorum occidunt. Eos vt premi vidit equitum praefectus Paſimachus, qui tamen equites ſecum non multos habebat: religatis ad arbores equis, et clupeos eis adimit, et cum illis, qui ſe ſponte adiungerent, aduerſus Argiuos properat. Illi, conſpectis litteris S in clupeis, plane nihil ab eis ſibi metuebant

ἐφοβῆντο. ἔνθα δὴ λέγεται εἰπὼν ὁ Πασίμαχος, Ναὶ τῷ σιῷ, Αργεῖοι, ψεύσει ὔμμε τὰ σίγματα ταῦτα, χωρεῖν ὁμόσε· καὶ ἄτὼ μαχόμενος μετ' ὀλίγω πρὸς πολλὼς ἀποθνήσκει, καὶ ἄλλοι τῶν περὶ αὐτόν.

ια'. Οἱ μέντοι φυγάδες τῶν Κορινθίων, νικῶντες τὼς καθ' αὑτὼς, διέδυσαν ἄνω, καὶ ἐγένοντο ἐγγὺς τῷ περὶ τὸ ἄστυ κύκλῳ. οἱ δ' αὖ Λακεδαιμόνιοι, ὡς ἤσθοντο κρατούμενα τὰ κατὰ τὼς Σικυωνίους, βοηθῶσιν ἐξελθόντες, ἐν ἀρίστεξᾷ ἔχοντες τὸ σαύρωμα. οἱ γεμὴν Αργεῖοι, ἐπεὶ ἤκουσαν ὄπισθεν ὄντας τὼς Λακεδαιμονίους, στραφέντες δρόμῳ πάλιν ἐκ τῷ σαυρώματος ἐξέπιπλον. καὶ οἱ μὲν ἐν δεξιᾷ ἔσχατοι αὐτῶν, παιόμενοι ἐς τὰ γυμνὰ ὑπὸ τῶν Λακεδαιμονίων, ἀπέθνησκον· οἱ δὲ πρὸς τῷ τείχει, ἀθρόοι σὺν πολλῷ ὄχλῳ πρὸς τὴν πόλιν ἀπεχώρεον. ὡς δ' ἐνέτυχον τοῖς φυγάσι τῶν Κορινθίων, καὶ ἔγνωσαν πολεμίως ὄντας, ἀπέκλιναν πάλιν. ἐνταῦθα μέντοι οἱ μὲν, κατὰ τὰς κλίμακας ἀναβαίνοντες, ἤλλοντο κατὰ τῷ τείχος, καὶ διεφθείροντο· οἱ δὲ, περὶ τὰς κλίμακας ὠθούμενοι καὶ παιόμενοι, ἀπέθνησκον·

bant, vt qui Sicyonii eſſent. Ibi Paſimachus dixiſſe perhibetur: Per geminos Deos, Argiui, hae S literae vos fallent; itaque pedem cum eis contuliſſe. Quumque aduerſus multos cum paucis dimicaret, non ipſe ſolum, ſed etiam alii milites, eum ſequuti, occubuerunt.

11. Exules autem Corinthii, victis hoſtibus oppoſitis ſibi, ſurſum penetrant; adeoque propius ad murum, vrbem ambientem, accedunt. Interea cognito Lacedaemonii, victos eſſe Sicyonios, opem laturi egrediuntur, ac vallum ad ſiniſtrum retinent. Argiui, quum audiiſſent Lacedaemonios a tergo eſſe, conuerſi extra vallum ſe curſu proripiunt. Tum quotquot eorum ad dextram poſtremi fugiebant, a Lacedaemoniis caeſi, qua inermes erant, occumbunt: qui autem muro erant proximi, magno cum tumultu verſus vrbem ſe conferti recipiebant. Quumque Corinthios in exules incidiſſent, eoſque hoſtes eſſe intellexiſſent, rurſus declinabant. Atque heic nonnulli ſcalas aſcendentes, de muro deſiliebant, ac peribant: alii dum iuxta ſcalas vrgentur et caeduntur,

θνησκον· οἱ δὲ, καὶ καταπατούμενοι ὑπ' ἀλλήλων, ἀπεπνίγοντο.

ιβ'. Οἱ δὲ Λακεδαιμόνιοι οὐκ ἠπόρουν, τίνα ἀποκτείνοιεν· ἔδωκε γὰρ τότε γε ὁ Θεὸς αὐτοῖς ἔργον, οἷον οὐδ' εὔξαντό ποτ' ἄν. τὸ γὰρ ἐγχειρισθῆναι αὐτοῖς πολεμίων πλῆθος πεφοβημένον, ἐκπεπληγμένον, τὰ γυμνὰ παρέχον, ἐπὶ τῷ μάχεσθαι οὐδένα τρεπόμενον, ἐς δὲ τὸ ἀπόλλυσθαι πάντας πάντα ὑπηρετοῦντας, πῶς οὐκ ἄν τις θεῖον ἡγήσαιτο; τότε γοῦν ὅτως ἐν ὀλίγῳ πολλοὶ ἔπεσον· ὥστε εἰθισμένοι ὁρᾶν οἱ ἄνθρωποι σωροὺς σίτου, ξύλων, λίθων, τότε ἐθεάσαντο σωροὺς νεκρῶν. ἀπέθανον δὲ καὶ οἱ ἐν τῷ λιμένι τῶν Βοιωτῶν φύλακες, οἱ μὲν, ἐπὶ τῶν τειχῶν, οἱ δὲ, ἐπὶ τὰ τέγη τῶν νεωσοίκων ἀναβάντες.

ιγ'. Μετὰ μὲν τοίνυν τοῦτο οἱ μὲν Κορίνθιοι, καὶ Ἀργεῖοι, τοὺς νεκροὺς ὑποσπόνδους ἀπήγοντο· οἱ δὲ σύμμαχοι τῶν Λακεδαιμονίων ἐβοήθουν. ἐπεὶ δὲ ἠθροίσθησαν, ἔγνω Πραξίτας πρῶτον μὲν τῶν τειχῶν καθελεῖν, ὥστε ὁδὸν στρατοπέδῳ ἱκανὴν εἶναι· ἔπειτα ἀναλαβὼν τὸ στράτευμα, ἦγε

tur, occumbunt: alii ab ſuis conculcati, ſuffocantur.

12. Nec Lacedaemoniis deerant, quos occiderent. Nam Deus hoc eis tempore patrandi facinoris eiuſmodi poteſtatem fecit, quale ne quidem vnquam optaſſent. Quippe cur non divinitus factum quis exiſtimet, vt ingens hoſtium copia in eorum poteſtatem veniret, perterrita metu, perturbata, partes corporis inermes eis caedendas praebens, nemine ad pugnandum ſe conuertente, ſed potius vniverſis in perniciem ſuam omnia ſuggerentibus? Tum quidem exiguo tempore tam multi ceciderunt, vt homines, qui frumenti, lignorum, lapidum acervos intueri conſueſſent, hoc tempore, cadauerum aceruos adſpicerent. Etiam Boeoticum in portu praeſidium interemtum fuit partim in muris, partim in ipſis naualium tectis, quae conſcenderant.

13. Secundum haec Corinthii et Argiui per inducias interfectos auferunt, et iam Lacedaemoniorum focii ſuis opem laturi aderant. Eis collectis, Praxitas primum demoliendam murorum partem cenſuit, vt ingredi copiae poſſent. Deinde cum exercitu, via qua Megarenſem

ἦγε τὴν ἐπὶ Μέγαρα· καὶ αἱρεῖ προσβαλὼν, πρῶτον μὲν Σιδοῦντα, ἔπειτα δὲ Κρομμυῶνα. καὶ ἐν τούτοις τοῖς τείχεσι κατασήσας φρουρὰς, τὸμπαλιν ἐπορεύετο· καὶ τειχίσας Επιεικίαν, ἵνα φρούριον εἴη πρὸ τῆς Φλιάσιας τοῖς ξυμμάχοις, ἔτω διαφῆκε τὸ στράτευμα, καὶ αὐτὸς τὴν ἐπὶ Λακεδαίμονα ἀπεχώρει.

ιδ'. Ἐκ δὲ τούτου στρατιαὶ μὲν μεγάλαι ἑκατέρων διεπέπαυντο, φρουρὰς δὲ πέμπουσαι αἱ πόλεις, αἱ μὲν ἐς Κόρινθον, αἱ δὲ ἐς Σικυῶνα, ἐφύλατ[τ]ον τὰ τείχη. μισθοφόρους γεμὴν ἑκάτεροι ἔχοντες, διὰ τούτων ἐρρωμένως ἐπολέμουν.

ιέ. Ενθα δὴ καὶ Ιφικράτης ἐς Φλιοῦντα ἐμβαλὼν, καὶ ἐνεδρευσάμενος, ὀλίγοις δὲ λεηλατῶν, βοηθησάντων τῶν ἐκ τῆς πόλεως ἀφυλάκ[τ]ως, ἀπέκ[τ]ειτε τοσούτους, ὥστε καὶ τοὺς Λακεδαιμονίους πρόσθεν ὑ δεχόμενοι ἐς τὸ τεῖχος οἱ Φλιάσιοι, φοβούμενοι μὴ τοὺς φάσκοντας ἐπὶ Λακωνισμῷ φεύγειν κατάγοιεν, τότε ἔτω κατεπλάγησαν τοὺς ἐκ Κορίνθου, ὥστε μετεπέμψαντό τε τοὺς Λακεδαιμονίους, καὶ τὴν πόλιν καὶ

garenſem ad vrbem itur, profectus eſt: ac primo copiis admotis Siduntem capit, deinde Cromnyonem: quibus in oppidis relicto praeſidio, via, qua venerat, reuerti coepit: munitaque Epiecia, vt ea ſocii propugnaculi loco, non procul ab amicorum regione diſſiti, vterentur; dimiſit exercitum, ac Lacedaemonem ſe recepit.

14. His ita geſtis, expeditiones vtrinque magnae non ſuſcipiebantur; tantum vrbes, miſſis partim Corinthum, partim Sicyonem praeſidiariis, moenia tutabantur. Mercenario tamen milite, quem vtrinque conduxerant, ſummis viribus inter eos conſligebatur.

15. Tunc et Iphicrates Phliuntem cum copiis inuadens, locatis inſidiis, praedas cum paucis agebat. Quumque ciues ex vrbe non ſatis caute ſuis opem ferrent, tot ex eis occidit, vt Phliaſii, qui antehac Lacedaemonios intra moenia non admiſerant, quod vererentur, ne illi exules reducerent, qui ſe profiterentur eiectos idcirco, quia Lacedaemoniorum ſequuti partes eſſent, ſic tum ab iis ſibi metuerint, qui Corintho venerant, vt, arceſſitis Lacedaemoniis, vrbem et arcem

καὶ τὴν ἄκραν φυλάττειν αὐτοῖς παρέδωκαν. οἱ μέντοι Λακεδαιμόνιοι, καίπερ εὐνοϊκῶς ἔχοντες τοῖς Φυγάσιν, ὅσον χρόνον εἶχον αὐτῶν τὴν πόλιν, οὐδ' ἐμνήσθησαν παντάπασι περὶ καθόδου Φυγάδων· ἀλλ' ἐπεὶ ἀναθαρρῆσαι ἐδόκει ἡ πόλις, ἐξῆλθον, καὶ τὴν πόλιν καὶ τοὺς νόμους παραδόντες, οἵαν περ καὶ παρέλαβον.

ις'. Οἱ δ' αὖ περὶ τὸν Ἰφικράτην πολλαχόσε καὶ τῆς Ἀρκαδίας ἐμβαλόντες, ἐλεηλάτουν τε, καὶ προσέβαλον πρὸς τὰ τείχη. ἔξω γὰρ οἱ τῶν Ἀρκάδων ὁπλῖται παντάπασιν οὐκ ἀντεξήεσαν· οὕτω τοὺς πελταστὰς ἐπεφόβηντο. τοὺς μέντοι Λακεδαιμονίους οὕτως αὖ οἱ πελταστὰὶ ἐδεδίεσαν, ὡς ἐντὸς ἀκοντίσματος οὐ προσήεσαν τοῖς ὁπλίταις. ἤδη γάρ ποτε καὶ ἐκ τοσούτου διώξαντες οἱ νεώτεροι τῶν Λακεδαιμονίων, ἑλόντες, ἀπέκτειναν τινας αὐτῶν.

ιζ'. Καταφρονοῦντες δὲ οἱ Λακεδαιμόνιοι τῶν πελταστῶν, ἔτι μᾶλλον τῶν ἑαυτῶν συμμάχων κατεφρόνουν. καὶ γὰρ οἱ Μαντινεῖς βοηθήσαντές ποτε, ἐπεδραμόντες πελτασταῖς,

tuendam traderent. Illi vero, quanquam benouolis essent in exules animis; tamen quam diu Phliasiorum oppidum habebant in potestate sua, nullam de reducendis exulibus mentionem faciebant. Immo quum iam illi fidentiores facti viderentur, vrbem ac leges ciuibus itidem, vt ipsi acceperant, restituunt, atque egrediuntur.

16. Caeterum Iphicratis milites, saepenumero factis etiam in Arcadiam irruptionibus, praedas abigebant, et ipsos oppidorum muros aggrediebantur. Nam extra haec Arcadum grauis armaturae pedites eis omnino non occurrebant: Adeo sibi a cetratis metuebant. Itidem cetrati vsque adeo metuebant Lacedaemonios, vt intra ictum teli ad grauem ipsorum armaturam non accederent. Nam quum hos quoque iuniores quidam ex Lacedaemoniis aliquando persequuti essent, nonnullos et ceperant, et occiderant.

17. Quumque iam cetratos Lacedaemonii prae se contemnerent, multo etiam magis socios suos contemnebant. Nam quum Mantinei aliquando latum opem adcurrerent, cetratos

ταξαῖς, ἐκ τῆ ἐπὶ Λέχαιον τείνοντος τείχης ἀκοντιζόμενοι, ἐνέκλιναν τε, καὶ ἀπέθανόν τινες αὐτῶν φεύγοντες· ὥστε οἱ μὲν Λακεδαιμόνιοι καὶ ἐπισκώπτειν ἐτόλμων, ὡς οἱ σύμμαχοι φοβοῖντο τὰς πελτασὰς, ὥσπερ μορμῶνας παιδάρια. αὐτοὶ δ' ἐκ τῆ Λεχαίε ὁρμώμενοι σὺν μόρα καὶ τοῖς τῶν Κορινθίων φυγάσι, κύκλῳ περὶ τὸ ἄστυ τῶν Κορινθίων ἐστρατεύοντο.

ιή. Οἱ δ' αὖ Ἀθηναῖοι, φοβέμενοι τὴν ῥώμην τῶν Λακεδαιμονίων, μὴ* ἐπὶ τὰ μακρὰ τείχη τῶν Κορινθίων, ἃ διήρητο, ἔλθοιεν ἐπὶ σφᾶς, ἡγήσαντο κράτιστον εἶναι ἀνατειχίσαι τὰ διηρημένα ὑπὸ Πραξίτα τείχη. καὶ ἐλθόντες πανδημεὶ μετὰ λιθολόγων καὶ τεκτόνων, τὸ μὲν πρὸς Σικυῶνα καὶ πρὸς ἑσπέραν ἐν ὀλίγαις ἡμέραις πάνυ καλὸν ἐξετείχισαν· τὸ δὲ ἑῷον μᾶλλον κατὰ ἡσυχίαν ἐτείχιζον.

ιθ'. Οἱ δ' αὖ Λακεδαιμόνιοι, ἐνθυμηθέντες τὰς Ἀργείας τὰ μὲν οἴκοι καρπεμένας, ἡδομένας δὲ τῷ πολέμῳ, στρατεύσειν ἐπ' αὐτάς. Ἀγησίλαος δὲ ἡγεῖτο,

4. Est quod modo, Abydeni, qui iam ante reipublicae nostrae amici estis, bene de Lacedaemoniis mereamini. Nam secundis rebus fidelem se declarare, magnum quiddam videri non debet: sed demonstrare constantiam suam afflictis amicorum rebus, id scilicet memoriam meretur sempiternam. Neque vero is rerum nostrarum status est, vt, quia nauali proelio victi sumus, nihil iam simus amplius. Immo superiori etiam tempore, quum maris esset imperium penes Athenienses, satis respublica nostra virium habebat et ad bene de amicis merendum, et ad laedendum hostes. Quanto certe magis oppida caetera cum fortuna se a nobis diiunxerunt, tanto erit vestra fides illustrior. Quod si quis est, qui, ne heic terra marique obsideamur, veretur; is mihi consideret velim, modo classem in mari Graecam nullam esse, neque laturam Graeciam, vt barbari

* Al. ὅτι εἰ τῇ.

ἐστιν ἐν τῇ θαλάττῃ· οἱ δὲ βάρβαροι εἰ ἐπιχειρήσουσι τῆς θαλάττης ἄρχειν, οὐκ ἀνέξεται ταῦτα ἡ Ἑλλάς. ὥῳθ' ἑαυτῇ ἐπικουρῆσα, καὶ ὑμῖν σύμμαχος γενήσεται.»

ε'. Οἱ μέντοι, ταῦτα ἀκούοντες, οὐκ ἀκόντως ἀλλὰ προθύμως ἐπείθησαν· καὶ τοὺς μὲν ἰόντας ἀρμοστὰς φίλως ἐδέχοντο, τοὺς δὲ ἀπόντας μετεπέμποντο. ὁ δὲ Δερκυλλίδας, ὡς συνελέγησαν πολλοὶ καὶ χρήσιμοι ἄνδρες εἰς τὴν πόλιν, διαβὰς καὶ εἰς Σηστὸν, καταντικρὺ ὄντα Ἀβύδου, καὶ ἀπέχοντα οὐ πλεῖον ὀκτὼ σταδίων, ὅσοι τε διὰ Λακεδαιμονίους γῆν εἶσχον ἐν Χερρονήσῳ, ἤθροιζε, καὶ ὅσοι αὖ ἐκ τῶν ἐν τῇ Εὐρώπῃ πόλεων ἀρμοσταὶ ἐξέπιπτον, καὶ τούτους ἐδέχετο, λέγων, ὅτι οὐδ' ἐκείνους ἀθυμεῖν δεῖ, ἐννοουμένους, ὅτι καὶ ἐν τῇ Ἀσίᾳ, ἣ ἐξαρχῆς βασιλέως ἐστὶ, καὶ Τῆμνος, οὐ μεγάλη πόλις, καὶ Αἰγιεῖς, καὶ ἄλλα γε χωρία δύνανται οἰκεῖν, οὐχ ὑπήκοα ὄντα βασιλέως. καίτοι, ἔφη, ποῖον μὲν ἰσχυρότερον Σηστοῦ λάβοιτε χωρίον, ποῖον δὲ δυσπολιορκητότερον; ὃ καὶ νεῶν καὶ πε-

barbari maris imperium ad ſe transferant. Quo fiet, vt, ſi quidem ſibi opitulabitur, nobis etiam praeſidio futura ſit.

5. Hac oratione Abydeni audita, non inuite ſed percupide paruerunt: Simul venientes ad ſe praefectos amanter in oppidum admittebant, et arceſſebant abſentes. Iam complures et vtiles reipublicae homines Abydum confluxerant, quum Dercyllidas Seſtum traiicit, oppidum e regione Abydi non amplius quam octo ſtadiorum interuallo ſitum, et quotquot agros in Cherroneſo, Lacedaemoniorum beneficio poſſidebant, quotquot item praefecti ex Europae oppidis eiecti fuerant, ad ſe colligit; non nimium deiectis eos animis eſſe debere, dicens: cogitandum potius, ipſa in Aſia, quae ab initio regis fuerit, et Temnum, oppidum ſane haud amplum, et Aegienſes, et alia quaedam oppida rempublicam ſuam adminiſtrare, regis imperio minime ſubiecta. Atqui, ait, quodnam Seſto magis munitum occupare poſſitis oppidum? quodnam oppugnatu difficilius? tum naues, tum pedeſtres

πεζῶν δεῖται, εἰ μέλλοι πολιορκηθήσεσθαι. τούτους οὖν, τοιαῦτα λέγων, ἔσχε, τοῦ μὴ ἐκπεπλῆχθαι.

ς'. Ὁ δὲ Φαρνάβαζος ἐπεὶ εὗρε τήν τε Ἄβυδον καὶ τὸν Σηστὸν ἔτως ἔχοντα, προηγόρευσεν αὐτοῖς, ὡς, εἰ μὴ ἐκπέμψοιεν τοὺς Λακεδαιμονίους, πόλεμον ἐξοίσει πρὸς αὐτούς. ἐπεὶ δὲ οὐκ ἐπείθοντο, Κόνωνι μὲν προσέταξε κωλύειν αὐτοὺς τὴν θάλατταν πλεῖν, αὐτὸς δὲ ἐδῄου τὴν τῶν Ἀβυδηνῶν χώραν. ἐπεὶ δὲ ἱκανῶς ἐπέραινε πρὸς τὸ καταφρονεῖσθαι, αὐτὸς μὲν ἐπ' οἴκου ἀπῆλθε, τὸν δὲ Κόνωνα ἐκέλευεν εὐτρεπίζεσθαι τὰς καθ' Ἑλλήσποντον πόλεις, ὅπως εἰς τὸ ἔαρ ὁτιπλεῖσον ναυτικὸν ἀθροισθείη. ὀργιζόμενος γὰρ τοῖς Λακεδαιμονίοις, ἀνθ' ὧν ἐπεπόνθει, περὶ παντὸς ἐποιεῖτο ἐλθεῖν τε εἰς τὴν χώραν αὐτῶν, καὶ τιμωρήσασθαι ὅ, τι δύναιτο.

ζ'. Καὶ τὸν μὲν χειμῶνα ἐν τούτοις ὄντες διῆγον. ἅμα δὲ τῷ ἔαρι ναῦς τε πολλὰς συμπληρώσας, καὶ ξενικὸν προσμισθωσάμενος, ἔπλευσεν ὁ Φαρνάβαζός τε, καὶ ὁ Κόνων μετ' αὐτοῦ, διὰ νήσων εἰς Μῆλον· ἐκεῖθεν δὲ ὁρμώμενοι εἰς

pedeſtres copiae neceſſe eſt adſint, ſi quidem obſideri debeat. Ita tum illis hac oratione terrorem eximebat.

6. Pharnabazus autem, poſteaquam in hoc ſtatu Seſtum et Abydum reperit; denuntiat eis, ni Lacedaemonios eiicerent, ſe bellum aduerſus ipſos moturum. Illis non obtemperantibus, Cononi mandat, vt ab vſu maris eos arceret: ipſe Abydenorum agrum vaſtat. Ea re quum nihil efficere ſe in ſubiiciendis eis videret, domum profectus eſt; dato Cononi negotio permouendi oppida, propter Helleſpontum ſita, vti ad ver proximum quam maxima claſſis cogeretur. Nam quia Lacedaemoniis ob ea, quae perpeſſus fuerat, infenſus Pharnabazus erat, nihil malebat quam vti fines ipſorum inuaderet, ſeque totis viribus vlciſceretur.

7. Ac hyems quidem hoc in conatu exacta fuit. Ineunte vere, magno nauium numero inſtructo, praetereaque conducto externo milite, Pharnabazus vna cum Conone per medias inſulas cum claſſe Melum petiit, atque inde ſoluentes Lacedaemonem verſus nauigarunt,

εἰς τὴν Λακεδαίμονα. καταπλεύσας δὲ πρῶτον εἰς * Φηρὰς, ἐδήωσε ταύτην τὴν χώραν· ἔπειτα καὶ ἄλλοσε ἀποβαίνων τῆς παραθαλατ]ίας, ἐκακούργει ὅ, τι ἐδύνατο. Φοβούμενος δὲ τήν τε ἀλιμενότητα τῆς χώρας, καὶ τὰ τῆς βοηθείας, καὶ τὰ τῆς σπανοσιτίας, ταχύ τε ἀνέστρεψε, καὶ ἀποπλέων ὡρμίσθη τῆς Κυθηρίας εἰς Φοινικοῦντα.

η'. Ἐπεὶ δὲ οἱ ἔχοντες τὴν πόλιν τῶν Κυθηρίων, Φοβηθέντες μὴ κατὰ κράτος ἁλοῖεν, ἐξέλιπον τὰ τείχη, ἐκείνους μὲν ὑποσπόνδους ἀφῆκεν εἰς τὴν Λακωνικήν· αὐτὸς δὲ ἐπισκευάσας τὸ τῶν Κυθηρίων τεῖχος, φρουρούς τε, καὶ Νικόφηβον Ἀθηναῖον, ἁρμοστὴν ἐν τοῖς Κυθηρίοις κατέλιπε. ταῦτα δὲ ποιήσας, καὶ εἰς Ἰσθμὸν τῆς Κορινθίας καταπλεύσας, καὶ παρακελευσάμενος τοῖς συμμάχοις προθύμως τε πολεμεῖν, καὶ ἄνδρας πιστοὺς φαίνεσθαι βασιλεῖ, καταλιπὼν αὐτοῖς χρήματα, ὅσα εἶχεν, ὤχετο ἐπ' οἴκου ἀποπλέων.

θ'. Λέγοντος δὲ τοῦ Κόνωνος, εἰ ἐῴη αὐτὸν ἔχειν τὸ ναυτικὸν, θρέψει μὲν ἀπὸ τῶν νήσων, καταπλεύσας δ' εἰς

runt. Primum Pheras delatus, agrum iſtic omnem vaſtabat: deinde in alia quoque maritima loca deſcendens, quantum poterat, damni dabat. Quum autem partim oram hanc, vt importuoſam, partim hoſtium ad ſerendam ſuis opem concurſiones, partim commeatus penuriam metueret; mox conuerſo curſu diſcedit, ſeque in portum Cytheriae Phoenicuntem recipit.

8. Heic quum Cytherii cives, veriti, ne, vi adhibita, caperentur, moenia deſeruiſſent: illos quidem per inducias in Laconicam dimiſit, ipſe, Cytheriorum muro refecto, Nicophebum Athenienſem praefectum, cum praeſidiariis, ibidem reliquit. Quibus rebus geſtis, ad Iſthmum Corinthium nauigat: ſocios, vt alacriter bellum gerant, ſeque regi fidos declarent, hortatur: pecuniis, quas habebat, iiſdem relictis, domum nauigat.

9. Quumque diceret Conon, ſi claſſis vtendae poteſtatem ſibi faceret, velle ſe nauales copias ex inſulis alere, domumque proficiſci,

* Al. εἰς Φερὰς.

εἰς τὴν πατρίδα, συναναστήσει τά τε μακρὰ τείχη τοῖς Αθηναίοις, καὶ τὸ περὶ τὸν Πειραιᾶ τεῖχος· ἃ εἰδέναι, ἔφη, ὅτι Λακεδαιμονίοις ἀδὲν ἂν βαρύτερον γένοιτο. καὶ τᾶτο ἂν, ἔφη, σὺ τοῖς μὲν Αθηναίοις κεχαρισμένος ἔσῃ, τὰς δὲ Λακεδαιμονίας τετιμωρημένος. ἐφ' ᾧ γὰρ πλεῖστα ἐπόνησαν, ἀτελὲς αὐτοῖς ποιήσεις. ὁ δὲ Φαρνάβαζος, ἀκούσας ταῦτα, ἀπέστειλεν αὐτὸν προθύμως εἰς τὰς Αθήνας, καὶ χρήματα προσέθηκεν αὐτῷ εἰς τὸν ἀνατειχισμόν.

ί. Ο δὲ ἀφικόμενος πολὺ τᾶ τείχος ὤρθωσε, τά τε αὐτᾶ πληρώματα παρέχων, καὶ τέκτοσι καὶ λιθολόγοις μισθὸν διδὰς, καὶ ἄλλο, εἴ τι ἀναγκαῖον ἦν, δαπανῶν. ἦν μέντοι τᾶ τείχος, ἃ καὶ αὐτοὶ Αθηναῖοι, καὶ Βοιωτοὶ, καὶ ἄλλαι πόλεις ἐθελούσιαι συνετείχισαν. οἱ μέντοι Κορίνθιοι, ἀφ' ὧν ὁ Φαρνάβαζος κατέλιπε χρημάτων, ναῦς πληρώσαντες, καὶ Αγαθῖνον ναύαρχον ἐπισήσαντες, ἐθαλατοκράτησαν ἐν τῷ περὶ Αχαΐαν καὶ Λέχαιον κόλπῳ.

ια'. Αντεπλήρωσαν δὲ καὶ οἱ Λακεδαιμόνιοι ναῦς, * ὧν ἦρ-

χε

proficiſci, ac longos muros, adlaborantibus ſecum Athenienſibus, vna cum Piraeei moenibus, inſtaurare; quo ſciret accidere Lacedaemoniis grauius nihil poſſe: adderet etiam, eadem opera Pharnabazum gratificaturum Athenienſibus, et Lacedaemonios vlturum, illa refacta irrita, in qua plurimum hi laboraſſent: Pharnabazus, iis auditis, perlubenter hominem Athenas mittit, datis etiam pecuniis ad murorum inſtaurationem.

10. Itaque Conon profectus Athenas, partimque remigum ſuorum vſus opera, partim fabris tignariis et caementariis ſtipendio numerato, aliiſque neceſſariis ſumtibus ſubminiſtratis, magnam muri partem reſtituit. Etiam partem aliquam Athenienſes ipſi, et Boeoti, et vrbes caeterae ſua ſponte abſoluunt. Corinthii nauibus de pecunia, quam Pharnabazus ipſis reliquerat, inſtructis; praefectoque claſſi Agathino, in ſinu, propter Achaiam et Lechaeum ſito, maris imperium occupant.

11. Contra, Lacedaemonii quoque claſſem comparant, ei-

R 2 que

* Al. ὧν Πεδάνεμος ἦρχεν.

χε Πολέμαρχος. ἐπεὶ δὲ ὗτος ἐν προσβολῇ τινι γενόμενος ἀπέθανε, καὶ Πόλλις αὖ ἐπιτολεὺς ὢν, τρωθεὶς ἀπῆλθεν, Ηριππίδας ταύτας ἀναλαμβάνει τὰς ναῦς. Πρόαινος μέντοι Κορίνθιος, τὰς παρ' Αγαθίνυ παραλαβὼν ναῦς, ἐξέλιπε τὸ Ρίον· Λακεδαιμόνιοι δ' αὐτὸ παρέλαβον. μετὰ δὲ τοῦτο Τελευτίας ἐπὶ τὰς Ηριππίδυ ναῦς ἦλθε, καὶ ὗτος τῆ κόλπυ πάλιν αὖ ἐκράτει.

ιβ'. Οἱ δὲ Λακεδαιμόνιοι ἀκούσαντες, ὅτι Κόνων καὶ τὸ τεῖχος τοῖς Αθηναίοις ἐκ τῶν βασιλέως χρημάτων ἀνορθοῖ, καὶ τὸ ναυτικὸν ἀπὸ τῶν ἐκείνυ τρέφων, τάς τε νήσυς καὶ τὰς ἐν τῇ ἠπείρῳ παρὰ θάλατταν πόλεις Αθηναίοις εὐτρεπίζοι, ἐνόμιζον, εἰ ταῦτα διδάσκοιεν Τηρίβαζον βασιλέως ὄντα στρατηγὸν, ἢ καὶ ἀποστῆναι ἂν *πρὸς ἑαυτὺς τὸν Τηρίβαζον, ἢ παῦσαί γ' ἂν τὸ Κόνωνος ναυτικὸν τρέφοντα. γνόντες δὲ ὗτω, πέμπυσιν Ανταλκίδαν πρὸς τὸν Τηρίβαζον, προσάξαντες αὐτῷ ταῦτα διδάσκειν, καὶ πειρᾶσθαι εἰρήνην τῇ πόλει ποιεῖσθαι πρὸς βασιλέα.

ιγ'. Αἰσθό-

que Polemarchum praeficiunt: qui poſteaquam in conflictu quodam interiiſſet, ac Pollis ipſius legatus, acceptis vulneribus, diſceſſiſſet; Herippidas naues haſce ſuam in poteſtatem accepit. Itidem Proaenus Corinthius, acceptis ab Agathino nauibus, exceſſit Rhio, quod deinde Lacedaemonii occupant. Poſt ad claſſem Teleutias profectus, ſinus imperium recuperat.

12. Interim comperto Lacedaemonii, Cononem ſumtu regis et muros Athenienſibus inſtaurare, et claſſem alere, qua tum inſulas, tum maritima in continente ſita oppida rurſum Athenienſibus adiungat: exiſtimabant ſe, ſi ea de re Teribazum ducem regis monuiſſent, vel ſuas hunc in partes traducturos, vel effecturos, vt Cononis ille claſſem amplius haud aleret. Itaque decreto in hanc ſententiam facto, Antalcidam ad Teribazum mittunt; qui et haec doceret hominem, et operam daret, vt pacem inter rempublicam ipſorum, ac regem, faceret.

13. Id

* Al. πρὸς ἑαυτὲς πίστιν τὸν Τηρ.

ιγ'. Αἰσθόμενοι δὲ ταῦτα οἱ Αθηναῖοι, ἀντιπέμπουσι πρέσβεις μετὰ Κόνωνος, Ερμογένη, καὶ Δίωνα, καὶ Καλλισθένη, καὶ Καλλιμέδοντα. συμπαρεκάλεσαν δὲ καὶ ἀπὸ τῶν συμμάχων πρέσβεις· καὶ παρεγένοντο ἀπό τε Βοιωτῶν, καὶ Κορίνθου, καὶ Αργους.

ιδ'. Επεὶ δὲ ἐκεῖ ἦσαν, ὁ μὲν Ανταλκίδας ἔλεγε πρὸς τὸν Τηρίβαζον, ὅτι καὶ εἰρήνης δεόμενος ἥκοι τῇ πόλει πρὸς βασιλέα, καὶ ταύτης οἵας περ βασιλεὺς ἐπεθύμει. τῶν τε γὰρ ἐν τῇ Ασίᾳ Ελληνίδων πόλεων Λακεδαιμονίους βασιλεῖ οὐκ ἀντιποιεῖσθαι, τάς τε νήσους ἁπάσας, καὶ τὰς ἄλλας πόλεις, ἀρκεῖν σφίσιν αὐτονόμους εἶναι. καίτοι, ἔφη, τοιαῦτα ἐθελόντων ἡμῶν, τίνος ἂν ἕνεκα πρὸς ἡμᾶς οἱ Ελληνες ἢ βασιλεὺς πολεμοίη, ἢ χρήματα δαπανώη; καὶ γὰρ οὐδ' ἐπὶ βασιλέα στρατεύεσθαι δυνατὸν, οὔτε Αθηναίοις, μὴ ἡγεμένων ἡμῶν, οὔτε ἡμῖν, αὐτονόμων ὄντων τῶν πόλεων.

ιε'. Τῷ μὲν δὴ Τηρίβάζῳ ἀκούοντι, ἰσχυρῶς ἤρεσκον οἱ τοῦ

13. Id quum Athenienſes perſentiſcerent, et ipſi legatos vna cum Conone mittunt, Hermogenem, Dionem, Calliſthenem, Callimedontem: quibus vt ſocii ſuos adiungerent, petunt. Itaque miſſi ſunt etiam a Boeotis, et Corinthiis, et Argiuis, legati.

14. Poſteaquam ad Teribazum peruentum eſſet, Antalcidas adeſſe ſe dixit, vt a rege pacem reipublicae ſuae peteret, eamque talem, cuiuſmodi rex cuperet. Nam Lacedaemonios nec de ſitis in Aſia Graeci nominis oppidis aduerſus regem contendere, et ſatis eſſe ducere, ſi omnes inſulae, ac reliquae vrbes, libertate legibusque ſuis fruantur. Quare quum eiuſmodi, ait, voluntas noſtra ſit: quid cauſſae ſuperat, quamobrem poſthac aduerſum nos vel Graeci, vel rex bellum gerat, ſumtumque faciat? Nec enim fieri poterit, vt vel Athenienſes, ſi nos eis duces non fuerimus; vel nos, libertate ciuitatibus reſtituta, regi arma inferamus.

15. Hanc Antalcidae orationem quum Teribazus audiiſſet, mirifice

τῷ Ανταλκίδᾳ λόγοι· τοῖς δ' ἐναντίοις *λόγοις ταῦτ' ἦν. οἵ τε γὰρ Αθηναῖοι ἐφοβοῦντο συνθέσθαι αὐτονόμους τὰς πόλεις καὶ τὰς νήσους εἶναι, μὴ Λήμνου, καὶ Ἰμβρου, καὶ Σκίρου στερηθεῖεν· οἵ τε Θηβαῖοι, μὴ ἀναγκασθείησαν ἀφεῖναι τὰς Βοιωτίδας πόλεις αὐτονόμους· οἵ τ' Αργεῖοι, ἃ ἐπεθύμουν, ἂν ἐνόμιζον ἂν τὴν Κόρινθον δύνασθαι ὥσ' Αργος ἔχειν, τοιούτων συνθηκῶν καὶ σπονδῶν γενομένων. αὕτη μὲν ἡ εἰρήνη ὕτως ἐγένετο ἀτελής, καὶ ἀπῆλθον οἴκαδε ἕκαστος.

ις'. Ο μέντοι Τηρίβαζος τὸ μὲν ἄνευ βασιλέως μετὰ Λακεδαιμονίων γενέσθαι, ὐκ ἀσφαλὲς αὐτῷ ἡγεῖτο εἶναι· λάθρα γε μέντοι ἔδωκε χρήματα Ανταλκίδᾳ, ὅπως ἂν πληρωθέντος ναυτικοῦ ὑπὸ Λακεδαιμονίων, οἵ τε Αθηναῖοι καὶ οἱ σύμμαχοι αὐτῶν μᾶλλον τῆς εἰρήνης προσδέοιντο. καὶ τὸν Κόνωνα, ὡς ἀδικοῦντά τε βασιλέα, καὶ ἀληθῆ λεγόντων Λακεδαιμονίων, εἶρξε. ταῦτα δὲ ποιήσας ἀνέβαινε πρὸς βασιλέα, φράσων ἅ τε

mirifice probabat: aduerſariis autem haec nihil aliud erant, quam verba. Verebantur enim Athenienſes in ciuitatum inſularumque libertatem conſentire, ne Lemnum, Imbrum, Scirum amitterent: itidemque Thebani, ne oppida Boeotica dimittere cogerentur, vt libera ſuique iuris ea fierent: Argiui denique, ſi pactiones huiuſmodi foederaque fierent, Corinthum ſe perinde, atque Argos, retinere ſua in poteſtate non poſſe arbitrabantur, quod tamen magnopere cupiebant. Quamobrem hac pace non admiſſa, domum ſinguli rediere.

16. Teribazus autem, quanquam abſque regis auctoritate ſe Lacedaemoniis adiungere non tutum exiſtimabat; nihilominus clam pecunias Antalcidae dabat, vt, claſſe a Lacedaemoniis inſtaurata, tum Athenienſes, tum eorum ſocii propenſiores ad pacem eſſent. Cononem etiam, quaſi aduerſus regem iniurius eſſet, ac verum Lacedaemonii dicerent, in vincula coniecit. Atque haec vbi feciſſet, proficiſcitur ad regem, indicaturus

* Al. λόγῳ.

ἃ τε λέγοιεν οἱ Λακεδαιμόνιοι, καὶ ὅτι Κόνωνα συνειληφὼς εἴη ὡς ἀδικοῦντα, καὶ ἐρωτήσων, τί χρὴ ποιεῖν περὶ τούτων ἁπάντων.

ιζ'. Καὶ βασιλεὺς μὲν, ὡς Τηρίβαζος ἄνω παρ' αὐτῷ ἦν, Στρούθαν καταπέμπει ἐπιμελησόμενον τῶν κατὰ θάλατταν. ὁ μέντοι Στρούθας ἰσχυρῶς τοῖς Αθηναίοις καὶ τοῖς συμμάχοις τὴν γνώμην προσεῖχε, μεμνημένος ὁπόσα κακὰ ἡ τοῦ βασιλέως χώρα ἐπεπόνθει ὑπ' Αγησιλάου. οἱ δὲ Λακεδαιμόνιοι, ἐπεὶ εἶδον τὸν Στρούθαν πρὸς ἑαυτοὺς μὲν πολεμικῶς ἔχοντα, πρὸς Αθηναίους δὲ φιλικῶς, Θίμβρωνα πέμπουσιν ἐπὶ πολέμῳ πρὸς αὐτόν. ὁ δὲ, διαβάς τε καὶ ὁρμώμενος ἐξ Εφέσου τε καὶ τῶν ἐν Μαιάνδρου πεδίῳ πόλεων, Πριήνης τε, καὶ Λευκόφρυος, καὶ Αχιλλείου, ἔφερε καὶ ἦγε τὴν βασιλέως.

ιή. Προϊόντος δὲ τοῦ χρόνου, καταναήσας ὁ Στρούθας, ὅτι Θίμβρων βοηθοίη ἑκάστοτε ἀτάκτως καὶ καταφρονητικῶς, ἔπεμψεν ἱππέας ἐς τὸ πεδίον· καὶ καταδραμόντας ἐκέλευσε περιβαλλομένους ἐλαύνειν ὅ, τι δύναιντο.

rus Lacedaemoniorum poſtulata, et quod Cononem improbe agentem comprehendiſſet: ſimul etiam ſciſcitaturus, quid de his omnibus eſſet ſtatuendum.

17. Rex, poſteaquam ſurſum Teribazus ad ipſum veniſſet, Strutham in Aſiam inferiorem ablegat, qui res maritimas curaret. Is vehementer Athenienſibus, eorumque ſociis addictus erat; quum memoria teneret, quantum ab Ageſilao detrimenti ditio regis accepiſſet. Lacedaemonii animaduerſo, Strutham infeſto erga ſe eſſe animo, in Athenienſes autem amico: Thimbronem mittunt, qui bellum ei faceret. Is quum in Aſiam traieciſſet, cum copiis, Epheſo, ac ſitis in planicie Maeandri oppidis, Prienè, Leucophrye, Achilleo mouens, regis agrum populando vexabat.

18. Poſt aliquod temporis interuallum, quum animaduertiſſet Struthas, Thimbronem incondite contemtimque ſuos educere, mittit in planiciem equites, quos excurſione facta, quidquid facere praedae poterant, abigere iubet. For-

ὁ δὲ Θίμβρων ἐτύγχανεν ἐξ ἀρίστου διασκηνῶν μετὰ Θερσάνδρου τοῦ αὐλητοῦ. ἦν γὰρ ὁ Θέρσανδρος οὐ μόνον αὐλητὴς ἀγαθὸς, ἀλλὰ καὶ ἀλκῆς καὶ ἰσχύος*, ἅτε λακωνίζων, ἀντεποιεῖτο.

ιθ'. Ο δὲ Στρύθας ἰδὼν ἀτάκτως τε βοηθοῦντας, καὶ ὀλίγους τοὺς πρώτους, ἐπιφαίνεται πολλούς τε ἔχων καὶ συντεταγμένους ἱππέας· καὶ Θίμβρωνα μὲν, καὶ Θέρσανδρον, πρώτους ἀπέκτειναν. ἐπεὶ δὲ ἅτοι ἔπεσον, ἐτρέψαντο καὶ τὸ ἄλλο στράτευμα, καὶ διώκοντες παμπληθεῖς κατέβαλον. ἦσαν δὲ οἳ καὶ ἐσώθησαν αὐτῶν εἰς τὰς φιλίας πόλεις, καὶ πλέονες * ἀπελείποντο, διὰ τὸ ὀψὲ αἰσθέσθαι τῆς βοηθείας. πολλάκις γὰρ, καὶ τότε, ὀλίγα παραγγείλας τὴν βοήθειαν ἐποιήσατο. καὶ ταῦτα μὲν ὅτως ἐγεγένητο.

κ'. Ἐπεὶ δ' ἦλθον εἰς Λακεδαίμονα οἱ ἐκπεπτωκότες Ροδίων ὑπὸ τοῦ δήμου, ἐδίδασκον ὡς οὐκ ἄξιον εἴη περιιδεῖν Ἀθηναίους Ρόδον καταιρεψομένους, καὶ τοσαύτην δύναμιν συνθεμένους. γνόντες ἂν οἱ Λακεδαιμόνιοι,

te Thimbron id temporis iam pranſus Therſandri tibicinis contubernio vtebatur: qui non modo tibicen inſignis erat, verum etiam ſtrenuitatem ac robur quoddam, vt qui Laconicis inſtitutis gauderet, ſibi vindicabat.

19. Struthas vbi primos nec multos numero, et incondite ſuis opem ferentes videt; cum magnis equitum, inſtructisque copiis, in eos irruit, ac primos omnium Thimbronem et Therſandrum interficit: qui poſteaquam cecidiſſent, etiam reliquos terga dare cogunt, atque inter perſequendum magnam eorum multitudinem interimunt. Nonnulli amica in oppida ſalui peruenerunt, pars maior a tergo manſit; quia ſero, ſuppetias eſſe ferendas, animaduerſum fuit. Nam ſaepenumero, atque etiam tunc, non monitis militibus, opem ſuis latum excurrebat. Atque haec tum ſic accidere.

20. Venerunt id temporis Lacedaemonem Rhodii quidam, a populo in exilium acti, qui monebant; indignum eſſe committere, vt Rhodum Atheniſes occuparent, tantamque ſibi potentiam adiungerent. Quamobrem Lacedaemonii, qui

* Al. καὶ ἀλκῆς ἰσχύος

** Deſideratur ἀπολείποντο aut ſimilis aliqua vox in Editt. aliis.

νιοι, ὡς εἰ μὲν κρατήσοι ὁ δῆμος, Αθηναίων ἔσαι Ρόδος ἅπασα, εἰ δὲ οἱ πλουσιώτεροι, αὐτῶν· ἐπλήρωσαν αὐτοῖς ναῦς ὀκτὼ, ναύαρχον δὲ Εκδικον ἐπέστησαν.

κα'. Ξυνέπεμψαν δ' ἐπὶ τῶν νεῶν τούτων καὶ Διφρίδαν. ἐκέλευσαν δ' αὐτὸν διαβάντα ἐς τὴν Ασίαν, τάς τε Θίμβρωνα ὑποδεξαμένας πόλεις διασώζειν, καὶ στράτευμα δὲ τὸ περισωθὲν ἀναλαβόντα, καὶ ἄλλο, εἴ ποθεν δύναιτο, συλλέξαντα, πολεμεῖν πρὸς τὸν Στρύθαν. ὁ μὲν δὴ Διφρίδας ταῦτ' ἐποίει, καὶ τά τ' ἄλλα ἐπετύγχανε, καὶ Τιγράνην τὸν τὴν Στρύθα ἔχοντα θυγατέρα, πορευόμενον εἰς Σάρδεις, λαμβάνει σὺν τῇ γυναικὶ, καὶ χρημάτων πολλῶν ἀπέλυσεν· ὥς' εὐθὺς ἐντεῦθεν εἶχε μισθοδοτεῖν.

κβ'. Ην δὲ ὅτος ὁ ἀνὴρ εὐχαρίς τε οὐχ ἧσσον τοῦ Θίμβρωνος, μᾶλλόν τε συντεταγμένος καὶ ἐγχειρητικώτερος στρατηγός. οὐδὲ γὰρ ἐκράτουν αὐτοῦ αἱ τοῦ σώματος ἡδοναὶ, ἀλλ' ἀεὶ πρὸς ᾧ ἦει ἔργῳ, τοῦτο ἔπρασσεν. ὁ δ' Εκδικος ἐπεὶ

ἐς

qui intelligerent, Rhodum vniuerſam Athenienſium fore, ſi ſumma rerum penes populum eſſet; ſin vero penes opulentiores, ſuam; octo naves inſtruunt, eiſque nauarchum Ecdicum praeficiunt.

21. Iiſdem in nauibus miſerunt et Diphridam, iuſſum in Aſiam traiicere, oppidaque in fide continere, quae Thimbronem admiſerant; atque etiam collectis tum illis copiis, quae incolumes euaſerant e clade, tum aliis, quaſcunque poſſet, bellum aduerſus Strutham gerere. Parebat in his Diphridas, ac inter alia, quae proſpere geſſit, etiam Tigranem, quocum erat Struthae nupta filia, Sardes proficiſcentem, vna cum vxore cepit, magnaque pecuniae vi accepta dimiſit. Quamobrem ſtatim hac occaſione nactus eſt, vnde militi ſtipendium numeraret.

22. Erat autem vir hic, quam Thimbron, non minus acceptus, et imperator longe ordinis obſeruantior ac ſollertior. Nec enim vinci ſe corporis a voluptatibus patiebatur; ſed perpetuo id operis agebat, ad quod ſe accinxerat. Ecdicus autem, poſteaquam cum claſſe

ἐς τὴν Κνίδον ἔπλευσε, καὶ ἐπύθετο τὸν ἐν τῇ Ῥόδῳ δῆμον πάντα κατέχοντα, καὶ κρατοῦντα καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν, καὶ διέπλεον διπλασίαις τριήρεσιν, ἢ αὐτὸς εἶχεν, ἡσυχίαν ἦγεν ἐν τῇ Κνίδῳ.

κγ'. Οἱ δ' αὖ Λακεδαιμόνιοι, ἐπεὶ ἤσθοντο αὐτὸν ἐλάττω δύναμιν ἔχοντα, ἢ ὥστε τοὺς φίλους ὠφελεῖν, ἐκέλευσαν τὸν Τελευτίαν σὺν ταῖς δώδεκα ναυσὶν, αἷς εἶχεν ἐν τῷ περὶ Ἀχαΐαν καὶ Λέχαιον κόλπῳ, περιπλεῖν πρὸς τὸν Ἐκδικον, κἀκεῖνον μὲν ἀποπέμψαι, αὐτὸν δὲ τῶν τε βουλομένων φίλων εἶναι ἐπιμελεῖσθαι, καὶ τοὺς πολεμίους ὅ, τι δύναιτο κακὸν ποιεῖν. ὁ δὲ Τελευτίας, ἐπεὶ ἀφίκετο εἰς τὴν Σάμον, προσλαβὼν ἐκεῖθεν ναῦς, ἔπλευσεν εἰς Κνίδον, ὁ δὲ Ἐκδικος, οἴκαδε. ὁ δὲ Τελευτίας ἔπλει ἐς τὴν Ῥόδον, ἤδη ἔχων ναῦς ἑπτὰ καὶ εἴκοσι.

κδ'. Πλέων δὲ περιτυγχάνει Φιλοκράτει τῷ Ἐφιάλτου, πλέοντι μετὰ δέκα τριηρῶν Ἀθήνηθεν εἰς Κύπρον ἐπὶ ξυμμαχίᾳ τοῦ Εὐαγόρου, καὶ λαμβάνει πάσας· ὑπεναντιώτατα

Cnidum appuliſſet, populumque Rhodienſem ſumma rerum terra marique potitum accepiſſet, atque adeo duplo maiori claſſe, quam eſſet ea, cui ipſe praeerat, mare tenere; Cnidi ſe continebat.

23. Inde quum intellexiſſent Lacedaemonii, non ſatis eum habere virium ad commodandum amicorum rebus: Teleutiae mandant, vt cum duodecim illis nauibus, quas in ſito ad Achaiam Lechaeumque ſinu habuerat, ad Ecdicum ſe conferret, ac illo dimiſſo, iis operam daret, qui vti Lacedaemoniorum amicitia vellent; hoſtes vero, quacunque ratione poſſet, damnis afficeret. Poſteaquam in Samum Teleutias venit, adiunctis indidem ſibi nauibus aliquot, Cnidum petit. Inde domum Ecdicus, Teleutias in Rhodum nauigat; ſeptem ac viginti iam nauibus inſtructus.

24. Inter nauigandum forte in Philocratem Ephialtae filium incidit, qui Athenis cum nauibus decem in Cyprum, ad ferendum Euagorae ſubſidium, proficiſcebatur. Has omnes intercepit Teleutias: et in hoc ſane quiddam accidit, quod rebus vtriuſque partis maxime

τατα δὴ ταῦτα ἀμφότεροι ἑαυτοῖς πράσσοντες· οἵ τε γὰρ Ἀθηναῖοι, φίλῳ χρώμενοι βασιλεῖ, ξυμμαχίαν ἔπεμπον Εὐαγόρᾳ τῷ πολεμοῦντι πρὸς βασιλέα· ὅ, τε Τελευτίας, Λακεδαιμονίων πολεμούντων βασιλεῖ, τοὺς πλέοντας ἐπὶ τῷ ἐκείνῳ πολέμῳ διέφθειρεν. ἐπαναπλεύσας δ' εἰς Κνίδον, καὶ διαθέμενός ἃ ἔλαβεν, ἐς Ρόδον αὖ ἀφικόμενος ἐβοήθει τοῖς τὰ αὐτῶν φρονοῦσιν.

κέ. Οἱ δ' Ἀθηναῖοι, νομίσαντες, τοὺς Λακεδαιμονίους πάλιν δύναμιν κεκτῆσθαι ἐν τῇ θαλάττῃ, ἀντεκπέμπουσι Θρασύβυλον τὸν Στυρέα σὺν τετταράκοντα ναυσίν. ὁ δ' ἐκπλεύσας, τῆς μὲν ἐς Ρόδον βοηθείας ἀπέσχε, νομίζων ἴσ' ἂν αὐτὸς ῥᾳδίως τιμωρήσασθαι τοὺς φίλους τῶν Λακεδαιμονίων, τεῖχος ἔχοντας, καὶ Τελευτίᾳ σὺν ναυσὶ παρόντος, συμμάχου ὄντος αὐτοῖς· ἴσ' ἂν τοὺς σφετέρους φίλους ὑπὸ τοῖς πολεμίοις γενέσθαι, τάς τε πόλεις ἔχοντας, καὶ πολὺ πλείονας ὄντας, καὶ μάχῃ γε κεκρατηκότας.

κς'. Εἰς δὲ τὸν Ἑλλήσποντον πλεύσας, καὶ ὑδενὸς ἀντι-

me aduerſaretur. Nam Athenienſes, qui cum rege colebant amicitiam, ſubſidia mittebant Euagorae, bellum aduerſus regem gerenti: Teleutias autem, tametſi bellum regi Lacedaemonii facerent, eos tamen, qui ad inferendum arma regi nauigabant, e medio ſuſtulit. Quumque Cnidum inde repetiuiſſet, manubiis diuenditis, in Rhodum profectus, ſuppetias illis ferebat, qui Lacedaemoniorum partes ſequebantur.

25. Heic Athenienſes, qui Lacedaemonios iterum quandam in mari potentiam nactos putarent, mittunt aduerſus eos Thraſybulum Styrenſem cum XL nauibus. Is poſteaquam Athenis ſoluiſſet, a Rhodienſi nauigatione abſtinuit, quod partim exiſtimaret, ſe non facile de amicis Lacedaemoniorum poenas ſumturum, qui munitione ſe defenderent, ac Teleutiam cum auxiliaribus copiis praeſentem haberent: partim ne ſuarum quidem partium homines in hoſtium poteſtatem venturos, qui et oppida tenerent, et multitudine ſuperiores eſſent, et proelio aduerſarios vicifſent.

26. Itaque in Helleſpontum quum

ἀντιπάλῳ παρόντος, ἐνόμισε καταπρᾶξαι ἄν τι τῇ πόλει ἀγαθόν. καὶ ἅτω δὴ καταμαθὼν πρῶτον μὲν στασιάζοντας Ἀμάδοκόν τε τὸν Ὀδρυσῶν βασιλέα, καὶ Σεύθην τὸν ἐπὶ θαλάττῃ ἄρχοντα, ἀλλήλοις μὲν διήλλαξεν αὐτούς, Ἀθηναίοις δὲ φίλους καὶ συμμάχους ἐποίησε, νομίζων καὶ τὰς ὑπὸ τῇ Θρᾴκῃ ἀκέσας* πόλεις Ἑλληνίδας, φίλων ὄντων τούτων, μᾶλλον προσέχειν ἂν τοῖς Ἀθηναίοις τὸν νοῦν.

κζ'. Ἐχόντων δὲ τούτων τε καλῶς, καὶ τῶν ἐν τῇ Ἀσίᾳ πόλεων, διὰ τὸ βασιλέα φίλον εἶναι τοῖς Ἀθηναίοις εἶναι, πλεύσας εἰς Βυζάντιον, ἀπέδοτο τὴν δεκάτην τῶν ἐκ τοῦ Πόντου πλεόντων. μετέσησε δὲ ἐξ ὀλιγαρχίας εἰς τὸ δημοκρατεῖσθαι τοὺς Βυζαντίους· ὥς γε ἀκηκοέναι ὁ τῶν Βυζαντίων δῆμος Ἀθηναίους ὁτιπλείστους παρόντας ἐν τῇ πόλει.

κή. Ταῦτα δὲ πράξας, καὶ Χαλκηδονίους φίλους προσποιησάμενος, ἀπέπλει ἔξω τοῦ Ἑλλησπόντου. ἐπιτυχὼν

quum nauigaſſet, ac neminem iſtic hoſtem reperiſſet; effecturum ſe quiddam, quod ex vſu reipublicae foret, arbitratus eſt. Primum vbi comperiſſet, Amadocum regem Odryſarum, et Seuthen, qui maritimam oram Thraciae cum imperio tenebat, bellum inter ſe gerere: mutuo eos inter ſe reconciliat, et vtrumque foedere ſocietateque Athenienſibus adiungit. Exiſtimabat enim, illa quoque Graeci nominis oppida, quae ſub ipſa Thracia reſpublicas ſuas adminiſtrarent, magis Athenienſibus adhaeſura, ſi amicitia inter hos reges et Athenienſes intercederet.

27. His ita praeclare compoſitis, quum Aſiaticis etiam vrbibus amicis vteretur, ob eam, qua rex et Athenienſes coniuncti erant, amicitiam; Byzantium nauigat, ac decumam, e Ponto nauigantibus impoſitam, publicanis vendit. Simul rempublicam Byzantiorum, paucorum dominatu liberatam, populo adminiſtrandam tradit. Quae res effecit, vt populus Byzantinus haud grauate maximam Athenienſium multitudinem in vrbe ſua cerneret.

28. His rebus confectis, atque etiam pellectis in amicitiam Chalcedonenſibus, extra Helleſpontum

* Leuncl. legi vult ὑκέσας.

τυχὼν δ' ἐν τῇ Λέσβῳ ταῖς πόλεσι πάσαις, πλὴν Μιτυληναίων, λακωνιζούσαις, ἐπ' ἀδεμίαν αὐτῶν ἦει, πρὶν ἐν Μιτυλήνῃ συνταξας τούς τε ἀπὸ τῶν αὐτῷ νεῶν τετρακοσίους, καὶ τοὺς ἐκ τῶν πόλεων φυγάδας, ὅσοι εἰς τὴν Μιτυλήνην καταπεφεύγεσαν· καὶ αὐτῶν δὲ Μιτυληναίων τοὺς ἐρρωμενεστάτους προσλαβών, καὶ ἐλπίδας ὑποθεὶς, τοῖς μὲν Μιτυληναίοις, ὡς, ἐὰν λάβῃ τὰς πόλεις, προστάται πάσης τῆς Λέσβου ἔσονται, τοῖς δὲ φυγάσιν, ὡς ἐὰν ὁμοῦ ὄντες ἐπὶ μίαν ἑκάστην τῶν πόλεων ἴωσιν, ἱκανοὶ ἔσονται ἅπαντες εἰς τὰς πατρίδας ἀνασωθῆναι· τοῖς δ' αὖ ἐπιβάταις, ὡς φίλην Λέσβον προσποιήσαντες τῇ πόλει, πολλὴν εὐπορίαν χρημάτων διαπεπραγμένοι ἔσονται. ταῦτα δὲ παραμυθησάμενος, καὶ συντάξας, ἦγεν αὐτοὺς ἐπὶ Μήθυμναν.

κθ'. Θηρίμαχος μέντοι, ὃς ἁρμοστὴς ἐτύγχανεν ὢν τῶν Λακεδαιμονίων, ὡς ἤκουσε τὸν Θρασύβουλον προσιόντα, τούς τε ἀπὸ τῶν αὐτῷ νεῶν λαβὼν ἐπιβάτας, καὶ αὐτοὺς τοὺς Μηθυμναίους, καὶ ὅσοι Μιτυληναίων φυγάδες ἐτύγχανον

pontum diſcedit. Quumque oppida in Lesbo vniuerſa, ſolis Mitylenaeis exceptis, Lacedaemoniorum partibus addicta reperiſſet, nullum aggreſſus eſt, prius quam apud Mitylenem de nauibus ſuis quadringentos, et exules, qui caeteris ex oppidis eo ſe receperant, in ordines deſcripſiſſet, eiſque robuſtiſſimum quemque Mitylenaeorum adiunxiſſet: facta omnibus ſpe, Mitylenaeis quidem, futurum vt, ſi oppida reliqua caperet, ipſi Lesbo vniuerſae praeeſſent: exulibus autem, ſi coniuncti ſecum oppida ſingula adorirentur, facultatem recuperandae patriae conſequuturos omnes: claſſiariis denique militibus, ſi Lesbum amicam patriae reddidiſſent, magnam ipſis facultatum copiam paratam fore. Hac igitur omnibus ſpe recreatis, inſtructiſque copiis, Methymnam ducit.

29. Eius aduentu cognito, Therimachus, quem forte tunc Lacedaemonii praefectum in vrbe habebant, vna cum ſuo milite claſſiario, et Methymnenſibus, et Mitylenaeis exulibus ad Methymnenſis

νον αὐτόθι, ἀπήντα ἐπὶ τὰ ὅρια. μάχης δὲ γενομένης, ὁ μὲν Θηρίμαχος αὐτῷ ἀποθνήσκει, τῶν δ' ἄλλων φευγόντων πολλοὶ ἀπέθανον.

λ'. Ἐκ δὲ τούτου τὰς μὲν προσηγάγετο τῶν πόλεων, ἐκ δὲ τῶν ὑπ' αὐτῷ προσχωρησῶν λεηλατῶν, χρήματα τοῖς στρατιώταις παρέχων, ἔσπευδεν εἰς τὴν Ῥόδον ἀφικέσθαι, ὅπως ἂν καὶ ἐκεῖ ἐρρωμενέστατον τὸ στράτευμα ποιήσαιτο, ἐξ ἄλλων τε πολλῶν ἠργυρολόγει, καὶ εἰς Ἀσπενδον ἀφικόμενος, ὡρμίσατο ἐς τὸν Εὐρυμέδοντα ποταμόν. ἤδη δὲ ἔχοντος αὐτῷ χρήματα παρὰ τῶν Ἀσπενδίων, ἀδικησάντων τι ἐκ τῶν ἀγρῶν τῶν στρατιωτῶν, ὀργισθέντες οἱ Ἀσπένδιοι, τῆς νυκτὸς ἐπιπεσόντες, κατακόπτουσιν ἐν τῇ σκηνῇ αὐτόν.

λα'. Καὶ Θρασύβυλος μέντοι, μάλα δοκῶν ἀνὴρ ἀγαθὸς εἶναι, ὅτως ἐτελεύτησεν. οἱ μέντοι Ἀθηναῖοι ἑλόμενοι ἀντ' αὐτοῦ Ἀργύριον, ἐπὶ τὰς ναῦς ἐξέπεμψαν. αἰσθόμενοι δὲ οἱ Λακεδαιμόνιοι, ὅτι ἡ δεκάτη τε τῶν ἐκ τοῦ Πόντου πεπραμένη εἴη ἐν Βυζαντίῳ ὑπ' Ἀθηναίων, καὶ Χαλκηδόνα ἔχουσι, καὶ αἱ ἄλλαι Ἑλλησπόντιαι

nenſis agri fines occurrit. Collata manu, Therimachus iſtic interimitur: ex caeteris, fuga ſibi conſulentibus, multi cadunt.

30. Secundum id partim oppida deditione capit, partim ex illorum agris, quae ſe non dedebant, abacta praeda, de qua militi ſtipendium ſuppeditaretur; Rhodum inde ſe conferre properat. Atque vt iſtic etiam militis animos maxime confirmaret, cum ab aliis pecunias exigit, tum etiam Aſpendum profectus, Eurymedontem amnem nauibus ſubit. Iam pecunias ab Aſpendiis acceperat, quum, militibus per iniuriam aliquid ex agris abigentibus, irati Aſpendii noctu irruunt, eumque ſuo in tentorio obtruncant.

31. Hic Thraſybuli, maxima virtute viri, exitus fuit. Eius in locum Athenienſes Argyrium ſurrogatum ad claſſem mittunt. Interea cognito Lacedaemonii, venditam ab Athenienſibus eſſe rerum e Ponto vectarum decumam Byzantii, et Chalcedonem ab eis teneri, caeterorumque oppidorum Helleſponticorum ſtatum non incommo-

τιαι πόλεις, φίλος ὄντος αὐτοῖς Φαρναβάζου, εὖ ἔχοιεν, ἔγνωσαν ἐπιμελητέον εἶναι.

λβ'. Τῷ μὲν δὴ Δερκυλλίδᾳ οὐδὲν ἐμέμφοντο. Ἀναξίβιος μέντοι, φίλων αὐτῷ γενομένων τῶν Ἐφόρων, διεπράξατο, ὥστε αὐτὸς ἐκπλεῦσαι ἁρμοσὴς εἰς Ἄβυδον. εἰ δὲ λάβοι ἀφορμὴν καὶ ναῦς, καὶ πολεμήσειν ὑπισχνεῖτο τοῖς Ἀθηναίοις, ὥσε μὴ ἔχειν ἐκείνοις καλῶς τὰ ἐν Ἑλλησπόντῳ.

λγ'. Οἱ μὲν δὴ δόντες καὶ τρεῖς τριήρεις, καὶ ἀφορμὴν ἐς ξένους χιλίους, ἐξέπεμψαν τὸν Ἀναξίβιον. ὁ δὲ ἐπειδὴ ἀφίκετο, κατὰ γῆν μὲν ἀθροίσας ξενικὸν, τῶν τε Αἰολίδων πόλεων παρεσπάτό τινας τῷ Φαρναβάζου, καὶ ἐπιστρατοπεδεύσας *ταῖς πόλεσιν ἐπὶ τὴν Ἄβυδον, ἀντεπεστράτευε, καὶ ἐπορεύετο, καὶ ἐδῄου τὴν χώραν αὐτῶν. καὶ ναῦς δὲ, πρὸς αἷς εἶχε, ξυμπληρώσας ἐξ Ἀβύδου τρεῖς ἄλλας, κατῆγεν, εἴ τι που λαμβάνοι ἀπ' Ἀθηναίων πλοῖον, ἢ τῶν ἐκείνων ξυμμάχων.

λδ'. Αἰσθό-

incommodum esse, quod amico Pharnabazo vterentur; minime illa sibi negligenda censebant.

32. Quanquam vero Dercyllidae cur succenserent, causa nulla esset; Anaxibius tamen, Ephororum amicitia sibi conciliata, perficit, vt ipse Abydum nauigaret, et eius oppidi praefectus esset. Quod si praeterea sumtus, nauesque darent, etiam ita se bello Athenienses oppugnaturum pollicetur, vt omnino res ipsorum in Hellesponto sit turbari necesse.

33. Quamobrem Lacedaemonii tribus ei triremibus, et pro CIↃ conductitiis militibus stipendio dato, hominem ablegant. Anaxibius posteaquam Abydum veniisset, primum terra coactis conductitiis copiis, quaedam ex Aeolicis oppidis a Pharnabazi fide auellebat, quumque is vna cum vrbibus aliis Abydo copias admouisset: Anaxibius vicissim eis arma inferebat, et cum suis progressus agrum ipsorum vastabat. Deinde praeter eas naues, ex Abydo tres alias instruens, si quod vel Athenienstium, vel eisdem societate coniunctorum nauigium caperet, id secum abducebat.

34. Qui-

* Al. coniicit ἐπιστρατεύσαντος σὺν ταῖς πόλεσιν. Al. ἐπιστρατοπεδεύσαις.

λδ'. Αἰσθόμενοι δὲ ταῦτα οἱ Ἀθηναῖοι, καὶ δεδιότες, μὴ διαφθαρείη σφίσιν, ἃ κατεσκεύασεν ἐν τῷ Ἑλλησπόντῳ Θρασύβυλος, ἀντεκπέμπουσιν Ἰφικράτην ναῦς ὀκτὼ ἔχοντα, καὶ πελταστὰς ἐς διακοσίους καὶ χιλίους. οἱ δὲ πλεῖστοι αὐτῶν ἦσαν, ὧν ἐν Κορίνθῳ ἦρξεν. ἐπεὶ γὰρ οἱ Ἀργεῖοι τὴν Κόρινθον Ἄργος ἐπεποίηντο, ὠδὲν ἔφασαν αὐτῶν δεῖσθαι. καὶ γὰρ ἀπεκλίνει τινὰς τῶν ἀργολιζόντων.

λέ. Καὶ ὅτως ἀπελθὼν Ἀθήναζε, οἴκοι ἐτύγχανεν ὤν. ἐπεὶ δ' ἀφίκετο ἐς Χερρόνησον, τὸ μὲν πρῶτον Ἀναξίβιος καὶ ὁ Ἰφικράτης, λῃστὰς διαπέμποντες, ἐπολέμων ἀλλήλοις· προϊόντος δὲ τοῦ χρόνου, ὁ Ἰφικράτης, αἰσθόμενος καὶ Ἀναξίβιον οἰχόμενον ἐς Ἀνταν δρον σύν τε τοῖς μισθοφόροις καὶ σὺν τοῖς περὶ αὐτὸν Λακωνικοῖς, καὶ σὺν Ἀβυδηνοῖς διακοσίοις ὁπλίταις, καὶ ἀκούσας ὅτι τὴν Ἀνταν δρου φιλίαν προσειληφὼς εἴη, ὑπονοῶν ὅτι κατασήσας αὖ τὴν ἐκεῖ φρουρὰν ἀποπορεύσοιτο πάλιν, καὶ ἀπάξοι τοὺς Ἀβυδηνοὺς οἴκαδε, διαβὰς τῆς νυκτὸς ἧ ἐρημότατον ἦν τοῖς Ἀβυδηνοῖς, καὶ ἐπανελθὼν ἐς τὰ ὄρη,

34. Quibus rebus Athenienſes cognitis, veriti ne labefactarentur ea, quae Thraſybulus in Helleſponto effecerat: Iphicratem cum octo nauibus et cetratis CIↃCC, quorum magna pars erant ii, quibus ad vrbem Corinthum praefuerat, aduerſus Anaxibium mittunt. Nam Argiui, poſtea quam Corinthum in Argos redegerant, nihil egere ſe ipſorum opera dixerant: Quoſdam enim rebus Argiuorum fauentes Iphicrates e medio ſuſtulerat.

35. Itaque domum reuerſus, in patria ſe continebat. Quamprimum in Cherroneſum venit, dimiſſis hinc inde praedonibus, per eos bellum inter ſe Anaxibius et Iphicrates gerebant. Poſt aliquod deinde temporis interuallum, quum animaduertiſſet Iphicrates, Antandrum cum copiis conductitiis, Laconicis, et CC Abydenis grauis armaturae peditibus profectum eſſe Anaxibium, audiſſetque Antandrum eius ſe amicitiae adiunxiſſe; ſuſpicatus, ipſum, impoſito iſtic praeſidio, reuerſurum, Abydenoſque domum reducturum, noctu ea parte tranſiens, quae Abydenorum in agro ſolitudines imprimis habebat, conſcenſis

ὄρη, ἐνέδραν ἐποιήσατο. τὰς δὲ τριήρεις, αἳ διήγαγον αὐτὸν, ἐκέλευε παραπλεῖν ἅμα τῇ ἡμέρᾳ παρὰ τὴν Χερρόνησον τὴν ἄνω, ὅπως δοκοίη, ὥσπερ εἰώθει, ἐπ' ἀργυρολογίαν ἐπαναπεπλευκέναι.

λς'. Ταῦτα δὲ ποιήσας, οὐκ ἐψεύσθη· ἀλλ' ὁ Ἀναξίβιος ἀπεπορεύετο, ὡς μὲν ἐλέγετο, οὐδὲ τῶν ἱερῶν γεγενημένων ἐκείνῃ τῇ ἡμέρᾳ, ἀλλὰ καταφρονήσας, ὅτι διὰ φιλίας τε ἐπορεύετο, καὶ ἐς πόλιν φιλίαν, καὶ ὅτι ἦκε τῶν ἀπαντώντων τὸν Ἰφικράτην ἀναπεπλευκέναι τὴν ἐπὶ Προικόννησον, ἀμελέστερον ἐπορεύετο.

λζ'. Ὅμως δὲ ὁ Ἰφικράτης, ἕως μὲν ἐν τῷ ἰσοπέδῳ τὸ στράτευμα τῦ Ἀναξιβίυ ἦν, οὐκ ἐξανίστατο· ἐπεὶ δὲ οἱ μὲν Ἀβυδηνοὶ ἀφηγούμενοι ἤδη ἐν τῷ παρὰ Κρεμαστὴν ἦσαν πεδίῳ, ἔνθα ἐστὶ τὰ χρύσεια αὐτοῖς, τὸ δ' ἄλλο στράτευμα ἐν τῷ κατάντει ἦν, ὁ δὲ Ἀναξίβιος ἄρτι κατέβαινε ξὺν τοῖς Λακωνικοῖς· ἐν τούτῳ ὁ Ἰφικράτης ἐξανίστησι τὴν ἐνέδραν, καὶ δρόμῳ ἐφέρετο πρὸς αὐτόν.

λη'. Καὶ

scenſis montibus inſidias locat. Triremes vero, quae ipſum tranſuexerant, diluculo ſecundum Cherroneſum litus ſurſum verſus legere iubet: vt pro more ſuo pecuniae colligendae cauſſa videretur eo nauigaſſe.

36. Quum haec ita inſtituiſſet, minime ſpe ſua falſus eſt. Nam quum Anaxibius illo die non perlitaſſet, vti quidem ferebatur, nihilominus, ea re ſpreta, diſceſſit Antandro; ac partim quod per agrum pacatum ad vrbem ſociam pergeret, partim quod audiiſſet ex iis, quos habebat obuios, Iphicratem Proeconneſum verſus nauigaſſe, negligentius iter faciebat.

37. Neque tamen Iphicrates, quam diu loco aequabili erant Anaxibii copiae, de inſidiis ſe proripuit: ſed poſteaquam Abydeni, qui erant prima in fronte, ad eum campum peruenerant, qui eſt iuxta Cremaſtem, vbi et fodinas auri habent, reliquae vero copiae per decliuia ſubſequerentur, ac iam Anaxibius ipſe cum Laconicis militibus deſcenderet: tum prorumpere ſuos ex inſidiis iubet, et ipſe curſu in Anaxibium pergit.

λή. Καὶ ὁ Ἀναξίβιος, γνὺς μὴ εἶναι ἐλπίδα σωτηρίας, ὁρῶν ἐπὶ πολύ τε καὶ στενὸν ἐκτεταμένον τὸ ἑαυτῶν στράτευμα, καὶ νομίζων πρὸς τὸ ἄναντες οὐκ ἂν δύνασθαι σαφῶς βοηθῆσαι αὐτῷ τοὺς παρεληλυθότας, ὁρῶν δὲ καὶ ἐκπεπληγμένους ἅπαντας, ὡς εἶδον τὴν ἐνέδραν, εἶπε πρὸς τοὺς παρόντας· Ἄνδρες, ἐμοὶ μὲν καλὸν ἐνθάδε ἀποθανεῖν· ὑμεῖς δὲ, πρὶν συμμίξαι τοῖς πολεμίοις, σπεύδετε ἐς τὴν σωτηρίαν.

λθ'. Καὶ ταῦτ' ἔλεγε, καὶ παρὰ τὴν ὑπασπιστῶν λαβὼν τὴν ἀσπίδα, ἐν χώρᾳ αὐτῇ μαχόμενος ἀποθνήσκει. καὶ τὰ παιδικὰ μέντοι αὐτῷ παρέμεινε, καὶ τῶν Λακεδαιμονίων δὲ τῶν συνεληλυθότων ἐκ τῶν πόλεων ἀρμοστήρων, ὡς δώδεκα μαχόμενοι συναπέθανον· οἱ δ' ἄλλοι, φεύγοντες, ἔπιπτον. οἱ δ' ἐδίωκον μέχρι τῆς ἄσεος. καὶ τῶν τε ἄλλων ὡς διακόσιοι ἀπέθανον, καὶ τῶν Ἀβυδηνῶν ὁπλιτῶν περὶ πεντήκοντα. ταῦτα δὲ πράξας ὁ Ἰφικράτης, ἀνεχώρησε πάλιν ἐπὶ τὴν Χερρόνησον.

ΞΕΝΟ-

38. Ille quum animaduertisset, nullam salutis spem reliquam esse, quod arcto loco suos in longum extensos esse cerneret, ac fieri non posse duceret, vt, qui iam transierant, sibi per accliuia suppetias ferrent, perterritos denique videret vniuersos, conspectis insidiis; eos, qui aderant ipsi, compellans: Me quidem, inquit, heic decet occumbere, milites. Vos prius quam manum cum hoste conseratis, saluti vestrae properanter consulite.

39. Quae vbi dixisset, accepto a satellite scuto, ibidem pugnans cadit. Nec is deseruit ipsum, quem in amoribus habuerat: et praefecti vrbium Lacedaemonii, qui ad eum se contulerant, numero plus minus duodecim, vna cum eo pugnantes occubuerunt. Caeteri inter fugiendum caesi sunt, hostibus eos ad vrbem vsque persequentibus. Ceciderunt ex aliorum quidem numero ducenti, Abydeni vero grauis armaturae pedites fere quinquaginta. Ea re gesta, rursus in Cherronesum Iphicrates se contulit.

XENO-

ΞΕΝΟΦΩΝΤΟΣ

ΕΛΛΗΝΙΚΩΝ ΙΣΤΟΡΙΩΝ

ΒΙΒΛΙΟΝ ΠΕΜΠΤΟΝ.

ΚΕΦ. α'.

Καὶ τὰ μὲν δὴ περὶ Ελλήσποντον Αθηναίοις τε καὶ Λακεδαιμονίοις τοιαῦτα ἦν. ὧν δὲ πάλιν ὁ Ετεόνικος ἐν τῇ Αἰγίνῃ, καὶ ἐπιμιξίᾳ χρωμένων τὸν πρόσθεν χρόνον τῶν Αἰγινητῶν πρὸς τὰς Αθηναίας, ἐπεὶ φανερῶς κατὰ θάλατταν ἐπολεμεῖτο ὁ πόλεμος, ξυνδόξαν καὶ τοῖς Εφόροις, ἐφίησι λῃΐζεσθαι τὸν βουλόμενον ἐκ τῆς Αττικῆς.

β'. Οἱ δ' Αθηναῖοι πολιορκούμενοι ὑπ' αὐτῶν, πέμψαντες

XENOPHONTIS

HISTORIARVM GRAECARVM

LIBER QVINTVS.

CAP. I.

Hoc tum in ſtatu res Athenienſium ac Lacedaemoniorum apud Helleſpontum erant. Interim Eteonicus agens in Aegina, quum ſuperioribus temporibus inter Aeginetas et Athenienſes commercia interceſſiſſent, coorto palam maritimo bello, poteſtatem eis facit, Ephoris etiam conſentientibus, vt pro lubitu quiſque praedas ageret ex Attica.

2. Quamobrem oppugnati ab Aeginetis Athenienſes, armatura

ψαντες ἐς Αἴγιναν καὶ ὁπλίτας καὶ στρατηγὸν αὐτῶν Πάμφιλον, ἐπετείχισαν Αἰγινήτας, καὶ ἐπολιόρκων αὐτὸς καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν δέκα τριήρεσιν. ὁ μέντοι Τελευτίας, τυχὼν ἐπὶ τῶν νήσων ποι ἀφιγμένος κατὰ χρημάτων πόρον, ἀνήσας ταῦτα περὶ τῷ ἐπιτειχισμῷ, ἐβοήθει τοῖς Αἰγινήταις. καὶ τὸ μὲν ναυτικὸν ἀπήλασε, τὸ δ' ἐπιτείχισμα διεφύλαττεν ὁ Πάμφιλος.

γ'. Εν δὲ τούτῳ ἀπὸ Λακεδαιμονίων Ιέραξ ναύαρχος ἀφικνεῖται. κἀκεῖνος μὲν παραλαμβάνει τὸ ναυτικόν· ὁ δὲ Τελευτίας μακαριώτατα δὴ ἀποπέπλευκεν οἴκαδε. ἡνίκα γὰρ ἐπὶ θάλατταν κατέβαινεν, ἐπ' οἴκου ὁρμώμενος, οὐδεὶς ἐκεῖνον τῶν στρατιωτῶν ἐς ὄκ ἐδεξιώσατο. καὶ ὁ μὲν ἐστεφάνωσεν, ὁ δὲ ἐταινίωσεν, οἱ δ' ὑστερήσαντες, ὅμως καὶ ἀναγομένῳ, ἔρριπτον ἐς τὴν θάλατταν στεφάνους, καὶ εὔχοντο αὐτῷ πολλὰ καὶ ἀγαθά.

δ'. Γιγνώσκω μὲν ὅν, ὅτι ἐν τούτοις οὔτε δαπάνημα, οὔτε κίνδυνον, οὔτε μηχάνημα ἀξιόλογον οὐδὲν διηγοῦμαι· ἀλλὰ ναὶ μὰ Δία τόδε ἄξιον μοι δοκεῖ εἶναι ἀνδρὶ ἐννοεῖν, τί

matura graui duce Pamphilo in Aeginam miſſa, muro Aeginetas cingunt, eosque terra et mari decem triremibus obſident. Hac obſidionis fama Teleutias ad ſe delata, qui tum forte quaſdam ad inſulas pecuniae cogendae cauſſa navigarat; opem Aeginetis laturus properat, et hoſtium claſſem abigit, Pamphilo factum ad obſidionem opus defendente.

3. Interea miſſus a Lacedaemoniis praefectus claſſis Hierax aduenit, et claſſem accipit, Teleutia feliciſſime in patriam redeunte. Nam quum domum tendens ad mare deſcenderet, nemo militum erat, qui dextram eius non prehenderet. Alius eum ſerto redimibat, alius vitta: quod ſi qui tardius acceſſiſſent, nihilominus etiam tunc, quum in altum proueheretur, in mare corollas abiiciebant, ac ſimul ei multa, eaque fauſta, precabantur.

4. Nec ignoro equidem, in his a me, neque memorabiles ſumtus factos, neque ſuſcepta pericula, neque molitionem alicuius rei memoratu dignam, exponi. Sed profecto id homini conſideratu dignum eſſe arbitror, qua re Teleutias effecerit,

τί ποτε ποιῶν ὁ Τελευτίας ὕτω διέθηκε τὰς ἀρχομένας. τοῦτο γὰρ ἤδη πολλῶν καὶ χρημάτων καὶ κινδύνων ἀξιολογώτατον ἀνδρὸς ἔργον ἐστίν.

ε'. Ο δ' αὖ Ἱέραξ, τὰς μὲν ἄλλας ναῦς λαβὼν, πάλιν ἔπλει ἐς Ῥόδον· ἐν Αἰγίνῃ δὲ τριήρεις δώδεκα κατέλιπε, καὶ Γοργώπαν τὸν αὐτῷ ἐπισολέα ἁρμοσήν. καὶ ἐκ τούτου ἐπολιορκοῦντο μᾶλλον οἱ ἐν τῷ ἐπιτειχίσματι τῶν Αθηναίων, ἢ οἱ ἐν τῇ πόλει· ὥσε ὑπὸ ψηφίσματος Αθηναῖοι πληρώσαντες ναῦς πολλὰς, ἀπεκομίσαντο ἐξ Αἰγίνης πέμπτῳ μηνὶ τὰς ἐκ τῆς Φρυγίας. τούτων δὲ γενομένων, οἱ Αθηναῖοι πάλιν αὖ πράγματα εἶχον ὑπό τε τῶν ληστῶν καὶ τῆ Γοργώπα· καὶ ἀντιπληροῦσι ναῦς τρισκαίδεκα, καὶ αἱροῦνται Εὔνομον ναύαρχον ἐπ' αὐτάς.

ς'. Ουτος δὲ τῶ Ιέρακος ἐν τῇ Ῥόδῳ, οἱ Λακεδαιμόνιοι Ανταλκίδαν ναύαρχον ἐκπέμπουσι, νομίζοντες καὶ Τηριβάζῳ τοῦτο ποιοῦντες μάλις' ἂν χαρίζεσθαι. ὁ δὲ Ανταλκίδας, ἐπεὶ ἀφίκετο ἐς Αἴγιναν, ξυμπαραλαβὼν καὶ τὰς τῆ Γοργώπα ναῦς, ἔπλευσεν ἐς Εφεσον, καὶ

effecerit, vt tales in ipſum eſſent illorum animi, quibus cum imperio praeerat. Nam hoc eſt tale viri opus, quod multis et opibus et periculis anteferri commemorando longiſſime debet.

5. Caeterum Hierax naues alias ſecum ſumens in Rhodum nauigabat, duodecim tantum triremes in Aegina, praefecto eis Gorgopa legato ſuo, reliquit. Iam vero magis obſidebantur Athenienſes, qui opere ſe munito continebant, quam hoſtes ipſorum in oppido. Quo factum, vt Athenienſes, ex decreto publico multis nauibus inſtructis, menſe quinto milites oppidum obſidentes domum abducerent. Quod vbi accidiſſet, rurſum Athenienſes a praedonibus et Gorgopa vexabantur. Itaque naues aduerſus hos XIII naualibus copiis complent, eiſque cum imperio praeficiunt Eunomum.

6. Interea dum in Rhodo eſſet Hierax, Antalcidam praefectum claſſis Lacedaemonii domo proficiſci iubent, quod in eo ſe rem Teribazo maxime gratam facturos exiſtimarent. Antalcidas poſteaquam in Aeginam veniſſet, ſumtis ſecum Gorgopae nauibus, Epheſum

καὶ τὸν Γοργώπαν πάλιν ἀποπέμπει εἰς Αἴγιναν ξὺν ταῖς δέκα ναυσίν· ἐπὶ δὲ ταῖς ἄλλαις Νικόλοχον ἐπέστησε τὸν ἐπιστολέα. καὶ ὁ μὲν Νικόλοχος βοηθῶν Αβυδηνοῖς, ἔπλει ἐκεῖσε. παρατρεπόμενος δὲ ἐς Τένεδον, ἐδῄου τὴν χώραν, καὶ χρήματα λαβὼν, ἀπέπλευσεν ἐς Αβυδον.

ζ'. Οἱ δὲ τῶν Αθηναίων στρατηγοὶ, ἀθροισθέντες ἀπὸ Σαμοθρᾴκης τε, καὶ Θάσου, καὶ τῶν κατ' ἐκεῖνα τὰ χωρία, ἐβοήθουν τοῖς Τενεδίοις. ὡς δ' ἤσθοντο ἐς Αβυδον καταπεπλευκότα τὸν Νικόλοχον, ὁρμώμενοι ἐκ Χερρονήσου, ἐπολιόρκουν αὐτὸν ἔχοντα ναῦς πέντε καὶ εἴκοσι, δύο καὶ τριάκοντα ταῖς μεθ' ἑαυτῶν. ὁ μέντοι Γοργώπας ἀποπλέων ἐξ Εφέσου, περιτυγχάνει Εὐνόμῳ. καὶ τότε μὲν κατέφυγεν ἐς Αἴγιναν, μικρὸν πρὸ ἡλίου δυσμῶν· ἐκβιβάσας δ' εὐθὺς, ἐδείπνιζε τοὺς στρατιώτας.

η'. Ο δ' Εὔνομος, ὀλίγον χρόνον ὑπομείνας, ἀπέπλει. νυκτὸς δ' ἐπιγενομένης, φῶς ἔχων, ὥσπερ νομίζεται, ἀφηγεῖτο, ὅπως μὴ πλανῶνται αἱ ἑπόμεναι. ὁ δὲ Γοργώπας,

contendit: mox Gorgopam cum decem nauibus in Aeginam remittit, caeteris legatum ſuum Nicolochum praeficit. Is Abydenis latum ſuppetias, Abydum ſe contulit. In itinere deflectens ad Tenedum, vaſtato Tenediorum agro, et accepta pecunia, inde Abydum navigat.

7. Interim duces Athenienſium e Samothrace, Thaſo, vicinis locis, opem Tenediis latum properabant. Verum vbi certiores facti eſſent, Nicolochum ſe Abydum recepiſſe: profecti ex Cherroneſo cum triginta duabus nauibus, ipſum xxv naues habentem obſident. Gorgopas interea, dum Epheſo in Aeginam nauigaret, forte in Eunomum incidit; ac tum quidem in Aeginam ſe paullum ante ſolis occaſum fuga recepit, eductisque mox ſuis, coenare militem iubet.

8. Eunomus parumper ibi quum ſubſtitiſſet, diſceſſit. Vbi vero nox ingruiſſet, lumen ipſe accenſum habens, pro more praecedebat; ne ſequentes eum naues aberrarent. Tum Gorgopas, ſuis naves

πας, ἐμβιβάσας, εὐθὺς ἐπηκολούθει κατὰ τὸν λαμπῆρα ὑπολειπόμενος, ὅπως μὴ φανερὸς εἴη, μηδ' αἴσθησιν παρέχοι, λίθων τε ψόφῳ τῶν κελευστῶν ἀντὶ φωνῆς χρωμένων, καὶ παραγωγῇ τῶν κωπῶν.

θ'. Ἐπεὶ δὲ ἦσαν αἱ τῶ Εὐνόμω πρὸς τῇ γῇ, περὶ Ζωστῆρα τῆς Ἀτ[ικῆς, ἐκέλευε τῇ σάλπιγγι ἐπιπλεῖν. τῷ δὲ Εὐνόμῳ ἐξ ἐνίων μὲν τῶν νεῶν ἄρτι ἐξέβαινον, οἱ δὲ καὶ ἔτι ὡρμίζοντο, οἱ δὲ καὶ ἔτι κατέπλεον. ναυμαχίας δὲ πρὸς τὴν σελήνην γενομένης, τέτ[αρας τριήρεις λαμβάνει ὁ Γοργώπας, καὶ ἀναδησάμενος, ᾤχετο ἄγων ἐς Αἴγιναν· αἱ δὲ ἄλλαι νῆες αἱ τῶν Ἀθηναίων ἐς τὸν Πειραιᾶ κατέφυγον.

ι'. Μετὰ ταῦτα Χαβρίας ἐξέπλει ἐς Κύπρον βοηθῶν Εὐαγόρᾳ, πελτασάς τ' ἔχων ὀκ[ακοσίους, καὶ δέκα τριήρεις. προσλαβὼν δὲ καὶ Ἀθήνηθεν ἄλλας τε ναῦς καὶ ὁπλίτας, αὐτὸς δὲ τῆς νυκτὸς ἀποβὰς ἐς τὴν Αἴγιναν, πορρωτέρω τῶ Ἡρακλείῳ ἐν κοίλῳ χωρίῳ ἐνήδρευσεν, ἔχων τὺς πελτασάς.

ves ingredi iuſſis, mox aliquo ex interuallo, ne conſpici poſſet, vel hoſtibus vllum indicium ſui praeberet, qua fax lucebat, ſubſequebatur: ſimul et lapidum ſtrepitu, vocis loco nautarum incitatores, et remorum impulſu leni, vtebantur.

9. Poſteaquam Eunomi naves haud procul abeſſent a terra propter Zoſterem Atticae, Gorgopas ſuos cum tubae clangore iubet hoſtem adoriri. Iam Eunomi copiae partim navibus egreſſae fuerant, partim in portum ſe conferebant, partim denique adhuc ad terram nauigabant. Commiſſo nauali ad lunam praelio, quatuor triremes Gorgopas capit; iisque religatis ad ſuas, in Aeginam reuertitur. Caeterae naves Athenienſium fuga ſe in Piraeeum receperunt.

10. Secundum haec in Cyprum Chabrias, Euagorae laturus opem, cum octingentis cetratis, ac decem triremibus, nauigat. Quumque ſecum Athenis et naues alias, et grauis armaturae pedites ſumſiſſet, ac noctu in Aeginam deſcendiſſet; vna cum cetratis loco concauo vltra fanum Herculis in inſidiis

σάς. ἅμα δὲ τῇ ἡμέρᾳ, ὥσπερ ξυνέκειτο, ἦκον οἱ τῶν Ἀθηναίων ὁπλῖται, Δειμαινέτου αὐτῶν ἡγουμένου, καὶ ἀνέβαινον τῷ Ἡρακλείῳ ἐπέκεινα ὡς ἑκκαίδεκα σταδίους, ἔνθα ἡ Τριπυργία καλεῖται.

ια'. Ακούσας δὲ ταῦτα Γοργώπας, ἐβοήθει μετά τε τῶν Αἰγινητῶν καὶ ξὺν τοῖς τῶν νεῶν ἐπιβάταις, καὶ Σπαρτιατῶν οἳ ἔτυχον αὐτόθι παρόντες ὀκτώ. καὶ ἀπὸ τῶν πληρωμάτων δὲ τῶν ἐκ τῶν νεῶν ἐκήρυξε βοηθεῖν, ὅσοι ἐλεύθεροι εἶεν· ὡς ἐβοήθουν καὶ τούτων πολλοί, ὅ, τι ἐδύνατο ἕκαστος ὅπλον ἔχων.

ιβ'. Επεὶ δὲ παρήλλαξαν οἱ πρῶτοι τὴν ἐνέδραν, ἐξανίστανται οἱ περὶ τὸν Χαβρίαν, καὶ εὐθὺς ἠκόντιζον καὶ ἔβαλλον. ἐπῆσαν δὲ καὶ οἱ ἐκ τῶν νεῶν ἀποβεβηκότες ὁπλῖται. καὶ οἱ μὲν πρῶτοι, ἅτε ἀδενὸς ἀθρόου ὄντος, ταχὺ ἀπέθανον· ὧν ἦν Γοργώπας τε καὶ οἱ Λακεδαιμόνιοι. ἐπεὶ δὲ ἔτοι ἔπεσον, ἐτράπησαν δὴ καὶ οἱ ἄλλοι. καὶ ἀπέθανον Αἰγινητῶν μὲν, ὡς πεντήκοντα καὶ ἑκατόν· ξένοι δὲ, καὶ μέτοικοι, καὶ ναῦται καταδεδραμηκότες, οὐκ ἐλάττους διακοσίων.

ιγ'. Ex

se abdit. Prima luce, quemadmodum conuenerat, grauis Athenienſium armatura, duce Demaeneto, aderat, vltraque ſanum Herculis ad ſtadia XVI aſcendit, quem locum Tripyrgiam, (tribus a turribus) vocant.

11. Ea de re Gorgopas certior factus, vna cum Aeginetis, et milite claſſiario, et Spartanis octo, qui forte tum iſtic aderant, ad coercendos hoſtes properat. Praeterea per praeconem denuntiari iubet, vt e copiis naualibus, quotquot eſſent ingenui, ſuppetias ferrent. Quo facto, vt multi ex his adcurrerent, inſtructi armorum genere, quodcunque ad manum eſſet.

12. Poſteaquam primi locum inſidiarum praeteriiſſent, ſurrexere Chabriae milites, ſtatimque iacula in hoſtem, ac tela vibrabant. Iam et grauis armaturae pedites irruebant, qui e nauibus in terram deſcenderant. Itaque primi celeriter interemti ſunt, quod copiae numeroſae non eſſent. In iis et Gorgopas et Lacedaemonii periere. Poſteaquam hi occubuiſſent, caeteri fugam arripiunt. Interfecti ex Aeginetis CL conductitii milites, inquilini, nautae, qui de nauibus adcurrerant, non pauciores CC.

13. Ex

ιγ'. Ἐκ δὲ τούτου οἱ μὲν Ἀθηναῖοι, ὥσπερ ἐν εἰρήνῃ, ἔπλεον τὴν θάλατταν. οὐδὲ γὰρ τῷ Ετεονίκῳ * πείθεσθαι ἤθελον οἱ ναῦται, καίπερ ἀναγκάζοντι ἐμβάλλειν, ἐπεὶ μισθὸν οὐκ ἐδίδου. ἐκ δὲ τούτου οἱ Λακεδαιμόνιοι Τελευτίαν αὖ ταύτῃ ἐκπέμπουσιν ἐπὶ ταύτας τὰς ναῦς ναύαρχον. ὡς δὲ εἶδον αὐτὸν ἥκοντα οἱ στρατιῶται, ὑπερήθησαν. ὁ δ' αὐτοὺς ξυγκαλέσας, εἶπε τοιάδε·

ιδ'. "Ω ἄνδρες στρατιῶται, ἐγὼ χρήματα μὲν οὐκ ἔχων ἥκω· ἐὰν μέντοι Θεοὶ ἐθέλῃ, καὶ ὑμεῖς συμπροθυμῆσθε, πειράσομαι τὰ ἐπιτήδεια ὑμῖν ὡς πλεῖστα πορίζειν. εὖ δ' ἴσε, ὅταν ὑμῶν ἐγὼ ἄρχω, εὔχομαι ἡδὺν ἧττον ζῆν ὑμᾶς, ἢ καὶ ἐμαυτόν· τά τε ἐπιτήδεια θαυμάσετε μὲν ἴσως εἰ φαίην βούλεσθαι ὑμᾶς μᾶλλον ἢ ἐμὲ ἔχειν. ἐγὼ δὲ νὴ τοὺς Θεοὺς καὶ δεξαίμην ἂν αὐτὸς μᾶλλον δύο ἡμέρας ἄσιτος, ἢ ὑμᾶς μίαν γενέσθαι.

Ἡ γεμὴν θύρα ἡ ἐμὴ ἀνέῳκτο μὲν δήπου καὶ πρόσθεν εἰσιέναι τῷ δεομένῳ τι ἐμοῦ, ἀνέῳκται δὲ καὶ νῦν· ὥσε ὅταν ὑμεῖς

13. Ex eo tempore non aliter ac si pax esset, mari Athenienses vtebantur. Nam parere nolebant Eteonico nautae, quantumuis eos vrgeret, vt naves ingrederentur, quia stipendium non numerabat. Secundum haec rursus eo Lacedaemonii Teleutiam mittunt, vt classis illius praefectus esset. Quem vbi venientem videre milites, mirifice sunt exhilarati. Conuocatis omnibus, huiusmodi orationem habuit:

14. Equidem, milites, nullas mecum pecunias affero: verum si Deo visum erit, ac vos alacriter operam mihi dabitis, enitar maximam vobis parare necessariorum copiam. Hoc quidem scitote, optare me, vt quam diu vobis praeero, non minus meipso victum habeatis. Ac mirabimini fortasse, si dicam etiam me malle, vt a necessariis vos potius instructi sitis, quam ego. Atqui Deos testor, lubentius me passurum, vt biduum ipse cibo caream, quam vos diem vnum.

Patuit ante hac ianua mea cuiuis a me quiddam petenti, ac nunc quoque patet. Quapropter vbi vobis abunde necessaria

 suppe-

* Desideratur vox πείθεσθαι in aliis Editt.

ὑμεῖς πλήρη ἔχητε τὰ ἐπιτήδεια, τότε καὶ ἐμὲ ὄψεσθε ἀφθονώτερον διαιτώμενον· ἢν δὲ ἀνεχομένου με ὁρᾶτε καὶ ψύχη, καὶ θάλπη, καὶ ἀγρυπνίαν, οἴεσθε καὶ ὑμεῖς ταῦτα πάντα καρτερεῖν. ὧδὲν γὰρ τούτων κελεύω ὑμᾶς ποιεῖν, ἵνα ἀνιᾶσθε, ἀλλ' ἵνα ἐκ τούτων ἀγαθόν τι λαμβάνητε. καὶ ἡ πόλις δέ τοι, ὦ ἄνδρες στρατιῶται, ἡ ἡμετέρα, *ἣ εὐδαίμων εἶναι δοκεῖ, εὖ ἴστε ὅτι τὰ ἀγαθὰ καὶ τὰ καλὰ ἐκτήσατο ῥᾳθυμοῦσα, ἀλλ' ἐθέλουσα καὶ πονεῖν καὶ κινδυνεύειν, ὁπότε δέοι.

Καὶ ὑμεῖς δ' ἦτε μὲν καὶ πρότερον, ὡς ἐγὼ οἶδα, ἄνδρες ἀγαθοί· νῦν δὲ πειρᾶσθαι χρὴ ἔτι ἀμείνονας γίγνεσθαι, ἵν' ἡδέως μὲν ξυμπονῶμεν, ἡδέως δὲ ξυνευδαιμονῶμεν. τί γὰρ ἥδιον, ἢ μηδένα ἀνθρώπων κολακεύειν, μήτε Ἕλληνα, μήτε βάρβαρον, εἵνεκα μισθοῦ, ἀλλ' ἑαυτοῖς ἱκανὰς εἶναι τὰ ἐπιτήδεια πορίζεσθαι, καὶ ταῦτα, ὅθεν περ κάλλιστον; ἡ γάρ τοι ἐν πολέμῳ ἀπὸ τῶν πολεμίων ἀφθονία, εὖ ἴστε ὅτι ἅμα τροφήν τε καὶ εὐκλειαν ἐν πᾶσιν ἀνθρώποις παρέχεται.„

ιε'. Ο

ſuppetent, tum me quoque videbitis victitantem largius. At ſi me frigora, calores, vigilias perferentem adſpicitis: etiam vobis haec omnia toleranda putate. Nam nihil horum idcirco vos facere iubeo, vt cum moleſtiis conflictemini: ſed vt ex his aliquid emolumenti capiatis. Etenim patriam quoque noſtram, milites, quatenus eſſe beata videtur, ſcitote non per ſecordiam haec bona, atque haec decora conſecutam eſſe: ſed perferendi labores, obeundique pericula ſtudio, quoties neceſſitas poſceret.

Vos quoque viros antehac fortes fuiſſe ſcio, ſed nunc opera danda erit, vt virtutem etiam priſtinam ſuperetis: quo fiet, vt et iucunde labores vna obituri ſimus, et communi felicitate fruituri. Quid enim iucundius eſſe poſſit, quam ſi hominum nemini, neque Graeco, neque barbaro, ſtipendii nomine adulemur: ſed ad paranda neceſſaria ſatis ipſi virium habeamus, et quidem inde, vnde haec peti honeſtum imprimis eſt? Nam belli tempore hoſtibus ademta rerum copia, mihi credite, non ſolum alimenta, ſed inſignem quoque famam inter omnes homines ſuppeditat.

15. Haec

* Al. ἡ δοκεῖ εὐδαίμων εἶναι.

ις'. Ο μὲν ταῦτα εἶπεν· οἱ δὲ, πάντες ἀνεβόησαν παραγγέλλειν ὅ, τι ἂν δέοι, ὡς σφῶν ὑπηρετησόντων. ὁ δὲ τεθυμένος ἐτύγχανεν· εἶπε δέ· Αγετε, ὦ ἄνδρες, δειπνήσατε μὲν ἅπερ καὶ ὡς ἐμέλλετε· προπαράσχετε δέ μοι μιᾶς ἡμέρας σῖτον. ἔπειτα δὲ ἥκετε ἐπὶ τὰς ναῦς αὐτίκα μάλα, ὅπως πλεύσωμεν ἔνθα Θεὸς ἐθέλοι, ἐν καιρῷ ἀφιξόμενοι.

ις'. Επειδὴ δὲ ἦλθον, ἐμβιβασάμενος αὐτὺς ἐς τὰς ναῦς, ἔπλει νυκτὸς ἐς τὸν λιμένα τῶν Αθηναίων, τοτὲ μὲν ἀναπαύων καὶ παραγγέλλων ἀποκοιμᾶσθαι, τοτὲ δὲ νώπαις προσκομιζόμενος. εἰ δέ τις ὑπολαμβάνοι, ὡς ἀφρόνως ἔπλει δώδεκα τριήρεις ἔχων, ἐπὶ πολλὰς ναῦς κεκλημένυς, ἐννοησάτω τὸν ἀναλογισμὸν αὐτῦ.

ιζ'. Εκεῖνος γὰρ ἐνόμισεν ἀμελέστερον μὲν ἔχειν τὺς Αθηναίυς περὶ τὸ ἐν τῷ λιμένι ναυτικὸν, Γοργώπα ἀπολωλότος· εἰ δὲ καὶ εἶεν τριήρεις ὁρμῶσαι, ἀσφαλέστερον ἡγήσατο ἐπ' εἴκοσι ναῦς Αθήνησιν ὅσας πλεῦσαι,

15 Haec quum Teleutias dixiſſet, clamare vniuerſi, quidquid vellet, mandaret, ſe paratos eſſe ad faciundum imperata. Forte iam rem ſacram fecerat, quum eos compellans: Agite, inquit, coenam ſumite, milites, quam caeteroqui ſumturi eratis: atque etiam cibi tantum comparate, quantum in diem vnam ſufficiat: Deinde mox ad naues praeſto ſitis, vt quo Deo viſum fuerit, nauigemus; atque in tempore veniamus.

16. Vbi iam adeſſent, naues eos conſcendere iubet, ac noctu portum Athenienſium petit: nonnunquam interquieſcens, ſuis ſomno ſe recreare iuſſis, nonnunquam remigio propius accedens. Quod ſi quis eum feciſſe putat imprudenter, qui duodecim triremibus illos adortus ſit, qui magnam nauium copiam poſſidebant: is velim ratiocinationem ipſius conſideret.

17. Exiſtimabat, Athenienſes, interemto Gorgopa, claſſem in portu ſuam negligentius cuſtodire. Quod ſi etiam maxime triremes quaedam in ſtatione diſpoſitae eſſent, arbitrabatur pergi tutius aduerſus naues xx, quae Athenis eſſent;

σαι, ἢ ἄλλοθι δέκα. τῶν μὲν γὰρ ἔξω, ἤδει, ὅτι κατὰ ναῦν ἔμελλον οἱ ναῦται σκηνήσειν· τῶν δὲ Ἀθήνησιν ἐγίγνωσκεν, ὅτι οἱ μὲν τριήραρχοι οἴκοι καθευδήσοιεν, οἱ δὲ ναῦται ἄλλος ἄλλῃ σκηνήσοιεν.

ιή. Ἐπλει μὲν ταῦτα διανοηθείς. ἐπεὶ δὲ ἀπεῖχε πέντε ἢ ἓξ στάδια τῦ λιμένος, ἡσυχίαν εἶχε, καὶ ἀνέπαυσεν. ὡς δὲ ἡμέρα ὑπέφαινεν, ἠγεῖτο· οἱ δὲ ὑπηκολούθων. καὶ καταδύειν μὲν οὐδὲν εἴα στρογγύλων πλοίων, οὐδὲ λυμαίνεσθαι ταῖς ἑαυτῶν ναυσίν· εἰ δέ που τριήρη ἴδοιεν ὁρμοῦσαν, ταύτην πειρᾶσθαι ἄπλων ποιεῖν, τὰ δὲ φορτηγικὰ πλοῖα καὶ γέμοντα ἀναδυμένους, ἕξω ἄγειν· ἐς δέ τι τῶν μειζόνων ἐμβαίνοντας, ὅπου δύναιντο τοὺς ἀνθρώπους λαμβάνειν. ἦσαν δέ τινες οἳ καὶ ἐκπηδήσαντες ἐς τὸ Δεῖγμα, ἐμπόρους τέ τινας καὶ ναυκλήρους ξυναρπάσαντες, ἐς τὰς ναῦς εἰσήνεγκαν.

ιθ'. Ὁ μὲν δὴ ταῦτα ἐπεποιήκει. τῶν δὲ Ἀθηναίων οἱ μὲν αἰσθόμενοι ἔνδοθεν, ἔθεον ἔξω, σκεψόμενοι τίς ἡ κραυγή·

sent; quam aduerſus decem alibi. Nam in nauibus ſingulis, quae abeſſent domo, ſciebat cubaturos nautas: de iis vero, quae Athenis eſſent, ſtatuebat, praefectos earum domi ſuae ſomnum capturos, nautas alios alibi hoſpitium habituros.

18. Haec ratiocinatus ſecum Teleutias, nauigationem eam inſtituit. Caeterum vbi iam quinque vel ſex ſtadiis aberat a portu, inhibito curſu nonnihil interquieuit. Prima luce recta in portum, ſubſequentibus ſuis, ducit. Ac nauim quidem teretem vllam a ſuis demergi non ſinebat, neque corrumpi: at ſi alicubi triremem in ſtatione viderent, eam ad nauigandum ineptam reddi volebat. Oneraria, mercibusque referta nauigia religari ad naues ſuas, et abduci iubebat: itidem in maiora ſuos inuadere, ac vbicunque poſſent, homines comprehendere. Nonnulli extitere, qui in Digma deſilirent, et mercatores ac nauicularios quoſdam correptos ſuas in naues comportarent.

19. Iam perfecerat haec Teleutias, quum Athenienſes alii, tumultu in vrbe audito, extra vrbem currebant, vt quinam is clamor

κραυγή· οἱ δὲ ἔξωθεν, οἵκαδε ἐπὶ τὰ ὅπλα, οἱ δὲ, καὶ ἐς ἄστυ ἀγγελοῦντες. πάντες δ' Ἀθηναῖοι τότε ἐβοήθησαν καὶ ὁπλῖται καὶ ἱππεῖς, ὡς τῷ Πειραιῶς ἑαλωκότος.

κ'. Ὁ δὲ τὰ πλοῖα μὲν ἀπέσειλεν ἐς Αἴγιναν, καὶ τῶν τριήρων τρεῖς ἢ τέτταρας ξυναπαγαγεῖν ἐκέλευσε· ταῖς δὲ ἄλλαις παραπλέων παρὰ τὴν Ἀτθικὴν, ἅτε ἐκ τοῦ λιμένος πλέων, πολλὰ καὶ ἁλιευτικὰ πλοῖα ἔλαβε, καὶ πορθμεῖα ἀνθρώπων μεστὰ, καταπλέοντα ἀπὸ νήσων. ἐπὶ δὲ Σούνιον ἐλθὼν, καὶ ὁλκάδας γεμούσας, τὰς μέν τινας σίτου, τὰς δὲ καὶ ἐμπολῆς, ἔλαβε.

κα'. Ταῦτα δὲ ποιήσας, ἀπέπλευσεν ἐς Αἴγιναν. καὶ ἀποδόμενος τὰ λάφυρα, μισθὸν μηνὸς προέδωκε τοῖς στρατιώταις. καὶ τὸ λοιπὸν δὴ περιπλέων ἀπελάμβανεν ὅ, τι ἠδύνατο. καὶ ταῦτα ποιῶν, πλήρεις τε τὰς ναῦς ἔτρεφε, καὶ τοὺς στρατιώτας εἶχεν ἡδέως καὶ ταχέως ὑπηρετοῦντας.

κβ'. Ὁ δὲ Ἀνταλκίδας κατέβη μὲν μετὰ Τηριβάζου, διά-

clamor eſſet, viderent: qui extra vrbem erant, partim domum ad arma properabant, partim in vrbem, vt rem ſuis nuntiarent. Tandem vniuerſi tum grauis armaturae milites, tum equites ad ferendum ſuppetias concurrebant, quaſi captus eſſet Piraeeus.

20. Interim nauigia Teleutias in Aeginam mittit, et cum eis tres vel quatuor abduci triremes iubet: caeteris ſuis cum nauibus Atticae litus legens, quia nauigabat ex ipſo portu, multa cepit nauigia piſcatoria, multa quibus homines ex inſulis traiiciebant, eaque vectoribus plena. Poſteaquam Sunium quoque veniſſet, onerarias, partim frumento partim mercibus refertas, intercepit.

21. Quibus iam rebus geſtis, Aeginam verſus nauigat; diſtractisque manubiis, ſtipendium menſtruum militibus necdum debitum numerat. Itidem ex eo tempore circumuectus, quidquid poterat, diripiebat. Ea ratione tum naues milite plenas alebat, tum milites ipſos, ad faciundum imperata lubenter ac celeriter paratos, habebat.

22. Interim cum Teribazo ex Aſia rediit Antalcidas, impetra-

ta

διαπεπραγμένος ξυμμαχεῖν βασιλέα, εἰ μὴ ἐθέλοιεν Ἀθηναῖοι καὶ οἱ ξύμμαχοι χρῆσθαι τῇ εἰρήνῃ, ἣν αὐτὸς ἔλεγεν. ὡς δ' ἤκουσε Νικόλοχον σὺν ταῖς ναυσὶ πολιορκεῖσθαι ἐν Ἀβύδῳ ὑπὸ Ἰφικράτους καὶ Διοτίμου, πεζῇ ὤχετο εἰς Ἄβυδον. ἐκεῖθεν δὲ, λαβὼν τὸ ναυτικὸν, νυκτὸς ἀνήγετο, διασπείρας λόγον, ὡς μεταπεμπομένων τῶν Χαλκηδονίων. ὡρμισάμενος δὲ ἐν Περκώπῃ, ἡσυχίαν εἶχεν.

κγ'. Αἰσθόμενοι δὲ οἱ περὶ Δειμαίνετον, καὶ Διονύσιον, καὶ Λεόντιχον, καὶ Φανίαν, ἐδίωκον αὐτὸν τὴν ἐπὶ Προικοννήσου. ὁ δ', ἐπεὶ ἐκεῖνοι παρέπλευσαν, ὑποστρέψας εἰς Ἄβυδον ἀφίκετο. ἠκηκόει γὰρ, ὅτι προσπλέοι Πολύξενος, ἄγων τὰς ἀπὸ Συρακουσῶν καὶ Ἰταλίας ναῦς εἴκοσιν, ὅπως ἀναλάβῃ καὶ ταύτας. ἐκ δὲ τούτου Θρασύβουλος ὁ *Κολυττεὺς ἔχων ναῦς ὀκτὼ, ἔπλει ἀπὸ Θρᾴκης, βουλόμενος ταῖς ἄλλαις Ἀττικαῖς ναυσὶ ξυμμίξαι.

κδ'. Ὁ δ' Ἀνταλκίδας, ἐπεὶ αὐτῷ οἱ σκοποὶ ἐσήμηναν, ὅτι προσπλέοιεν τριήρεις ὀκτὼ, ἐμβιβάσας τινὰς ναύτας ἐς δώ-

ta regis ſocietate, ſi quidem Athenienſes, eorumque ſocii, pacem, quam ipſe propoſuiſſet, aſpernarentur. Quum autem obſideri Nicolochum, vna cum nauibus, ab Iphicrate ac Diotimo Abydi accepiſſet; itinere terreſtri ſe Abydum contulit. Inde accepta claſſe, noctu in altum prouehitur, rumore didito, quaſi Chalcedonenſes eum arceſſerent. Percopes autem portum ingreſſus, quieſcebat.

23. Hac de re Dimaenetus, Dionyſius, Leontichus, Phanias, certiores facti, qua in Proeconneſum nauigatur, eum perſequi ſtatuunt. Eis iam praeteruectis, Antalcidas, itinere conuerſo, Abydum rediit. Inaudierat enim, Polyxenum adventare, ſecum Syracuſanas et Italicas naues viginti adducentem, quas coniungere cum ſuis cogitabat. Secundum haec Thraſybulus Colyttenſis cum nauibus octo, relicta Thracia, caeteris ſe nauibus Atticis coniungere volebat.

24. Eas vbi propius accedere, de ſpeculatoribus Antalcidas accepiſſet, nautis quibuſdam in naues

* Al. Κοτταλυτεὺς et Κολλυτεὺς.

δώδεκα ναῦς τὰς ἄριστα πλεούσας, καὶ προσπληρώσασθαι κελεύσας, εἴ τις ἐνεδεῖτο, ἐκ τῶν καταλειπομένων, ἐνήδρευσεν ὡς ἤδη ἐδύνατο ἀφανέστατα. ἐπεὶ δὲ παρέπλεον, ἐδίωκεν· οἱ δ' ἰδόντες, ἔφευγον. τὰς μὲν οὖν βραδύτατα πλεούσας ταῖς ἄριστα πλεούσαις ταχύτατα κατειλήφει. παραγγείλας δὲ ταῖς πρωτόπλοις τῶν μεθ' ἑαυτὸν, μὴ ἐμβαλεῖν ταῖς ὑστάταις, ἐδίωκε τὰς προεχούσας. ἐπεὶ δὲ ταύτας ἔλαβεν, ἰδόντες οἱ ὕστεροι ἁλισκομένους σφῶν αὐτῶν τοὺς πρόπλους, ὑπ' ἀθυμίας καὶ τῶν βραδυτέρων ἡλίσκοντο· ὥστ' ἥλωσαν ἅπασαι.

κε'. Ἐπεὶ δὲ ἦλθον αὐτῷ αἵ τε ἐκ Συρακουσῶν νῆες εἴκοσιν, ἦλθον δὲ καὶ αἱ ἀπὸ Ἰωνίας, ὅσης ἐγκρατὴς ἦν Τηρίβαζος, ξυνεπληρώθησαν δὲ καὶ ἐκ τῆς Ἀριοβαρζάνους, (καὶ γὰρ ἦν ξένος ἐκ παλαιοῦ τῷ Ἀριοβαρζάνει· ὁ δὲ Φαρνάβαζος, ἤδη ἀνακεκλημένος, ᾤχετο ἄνω, ὅτε δὴ καὶ ἔγημε τὴν βασιλέως θυγατέρα) ὁ δὲ Ἀν-

naues duodecim expeditiſſimas impoſitis, ac ſi qui deſiderarentur, eorum numero expleri iuſſo, de nauibus quae iſtic relinquebantur; quam occultiſſime poterat, inſidias locat. Quum iam praeterueherentur, perſeqni incipit. Illi vero, conſpectis hiſce, fugam arripiunt. Iam tardiſſime nauigantes, ſuis nauibus expeditiſſimis celeriter admodum aſſequutus erat; quum ſuis in prima fronte denuntiat, ne in poſtremas irruerent: ſimul ipſe praecedentes perſequitur. Quas vbi cepiſſet, ac iam poſtremi etiam primos ex ſuis captos viderent: prae deiectione animi, etiam a tardioribus occupabantur. Ita factum, vt vniuerſae hoſtium in poteſtatem venirent.

25. Caeterum poſteaquam ad Antalcidam naues Syracuſanae viginti veniſſent, et aliae ab Ionia, quae Teribazo parebat, aliae ab ea, cui Ariobarzanes praeerat: (et erat iam olim Antalcidas Ariobarzanis hoſpes: Pharnabazus quidem arceſſitus ad regem, in Aſiam perrexerat, vbi hoc ipſo tempore filiam regis vxorem duxit) tum igitur Antalcidas

Ανταλκίδας, γενομέναις ταῖς πάσαις ναυσὶ πλείοσιν, ἢ ὀγδοήκοντα, ἐκράτει πάσης τῆς θαλάττης· ὥστε καὶ τὰς ἐκ τοῦ Πόντου ναῦς Αθήναζε μὲν ἐκώλυε καταπλεῖν, ἐς δὲ τὰς ἑαυτῶν ξυμμάχους κατῆγεν.

κς'. Οἱ μὲν δὴ Αθηναῖοι, ὁρῶντες μὲν πολλὰς τὰς πολεμίας ναῦς, φοβούμενοι δὲ μή, ὡς πρότερον, καταπολεμηθείησαν, ξυμμάχου Λακεδαιμονίοις βασιλέως γεγενημένου, πολιορκούμενοι δ' ἐκ τῆς Αἰγίνης ὑπὸ ληστῶν, διὰ ταῦτα μὲν ἰσχυρῶς ἐπεθύμουν τῆς εἰρήνης. οἱ δ' αὖ Λακεδαιμόνιοι, φρουροῦντες μόρα μὲν ἐν Λεχαίῳ, μόρα δ' ἐν Ορχομενῷ, φυλάττοντες δὲ τὰς πόλεις, αἷς μὲν ἐπίστευον, μὴ ἀπόλοιντο, αἷς δὲ ἠπίστουν, μὴ ἀποσταῖεν, πράγματα δ' ἔχοντες καὶ παρέχοντες περὶ τὴν Κόρινθον, χαλεπῶς ἔφερον τῷ πολέμῳ. οἱ γεμὴν Αργεῖοι, ἰδόντες φρουράν τε πεφασμένην ἐφ' ἑαυτοὺς, καὶ γινώσκοντες, ὅτι ἡ τῶν μυνῶν * ὑποφορὰ οὐδὲν ἔτι σφᾶς ὠφελήσει, καὶ αὐτοὶ ἐς τὴν εἰρήνην πρόθυμοι ἦσαν.

κζ'. Ως

cidas, classe nauium LXXX numerum excedente, maris imperium obtinebat. Atque adeo prohibebat iam, quo minus naues e Ponto Athenas proficiscerentur, easque suos ad socios subducebat.

26. Quapropter Athenienses, qui magnam esse classem hostium viderent, ac ne nunc quoque perinde, vt prius, bello frangerentur, metuerent; posteaquam rex Lacedaemonïis belli socius factus esset, atque etiam ex Aegina tantum non a praedonibus obsiderentur: ob hasce caussas omnes, pacem vehementer expetebant. Itidem Lacedaemonii, quibus esset necesse cohortis vnius praesidio Lechaeum tenere, alterius, Orchomenum; itemque copiis vrbes munire, ne vel ipsis perirent eae, quibus fidebant, vel deficerent aliae, quibus diffidebant; qui denique apud Corinthum ab aliis vexarentur, ac vicissim alios infestarent; et ipsi bellum geri permoleste ferebant. Argiui autem, qui copias aduersus se decretas viderent, et animaduerterent causssas, quas praetexere consueuissent, nihil eis amplius profuturas; itidem pacis cupidi erant.

27. Quo

* Al. μηνῶν.

κζ'. Ως δ' ἐπεὶ παρήγγειλεν ὁ Τηρίβαζος παρεῖναι τὰς βυλομένας ὑπακῦσαι τὴν βασιλεὺς εἰρήνην καταπέμπει, ταχέως πάντες παρεγένοντο. ἐπεὶ δὲ ξυνῆλθον, ἐπιδείξας ὁ Τηρίβαζος τὰ βασιλέως σημεῖα, ἀνεγίγνωσκε τὰ γεγραμμένα. εἶχε δὲ ὧδε·

κη'. Αρταξέρξης βασιλεὺς νομίζει δίκαιον, τὰς μὲν ἐν τῇ Ασίᾳ πόλεις ἑαυτῷ εἶναι, καὶ τῶν νήσων * Κλαζομενὰς καὶ Κύπρον· τὰς δὲ ἄλλας Ελληνίδας πόλεις, καὶ μικρὰς καὶ μεγάλας, αὐτονόμυς ἀφεῖναι, πλὴν Λήμνυ, καὶ Ιμβρυ, καὶ Σκίρυ· ταύτας δὲ, ὥσπερ τοἀρχαῖον, εἶναι Αθηναίων. ὁπότεροι δὲ ταύτην τὴν εἰρήνην μὴ δέχονται, τύτοις ἐγὼ πολεμήσω μετὰ τῶν ταῦτα βυλομένων, καὶ πεζῇ, καὶ κατὰ θάλατταν, καὶ ναυσὶ, καὶ χρήμασιν.

κθ'. Ακύοντες δ' ταῦτα οἱ ἀπὸ τῶν πόλεων πρέσβεις, ἀπήγγελλον ἐπὶ τὰς ἑαυτῶν ἕκαστοι πόλεις. καὶ οἱ μὲν ἄλλοι πάντες ὤμνυσαν ἐμπεδώσειν ταῦτα, οἱ δὲ Θηβαῖοι ἠξίυν ὑπὲρ πάντων Βοιωτῶν ὀμνῦναι. ὁ δὲ Αγησίλαος ὐκ ἔφη δέξασθαι τὰς ὅρκυς, ἐὰν μὴ ὀμνύωσιν ὥσπερ τὰ βασιλέως

27. Quo factum, vt vbi adesse Teribazus eos iussisset, qui pacis ex Asia superiori missae a rege formulae obedire vellent: mox vniuersi conuenirent. Itaque praesentibus ipsis, Teribazus, regiis signis commonstratis, quae a rege perscripta essent, legit. Eorum haec erat sententia:

28. Rex Artaxerxes aequum esse censet, vt vrbes in Asia sitae, vna cum insulis Clazomenis, et Cypro, sibi pareant: caetera Graeci nominis oppida, parua, magna, sui iuris sunto. Lemnus, Imbrus, Scirus excipiuntor; quas, vt olim, ita nunc etiam Atheuienses obtinento. Hanc pacem quicunque reiecerint, iis equidem bellum, vna cum adprobantibus eam, mari, terra, pecunia, classe inferam.

29. Haec quum vrbium legati audirent, singuli de iis ad suas respublicas referebant. Tandem iusiurandum praestiterunt omnes, rata se haec habituros: tantum Thebani Boeotorum omnium nomine praestare iusiurandum volebant. Id vero negabat accipiendum Agesilaus, nisi

* Al. Κλαζομενίας.

σιλέως γράμματα ἔλεγεν, αὐτονόμους εἶναι καὶ μικρὰν καὶ μεγάλην πόλιν. οἱ δὲ τῶν Θηβαίων πρέσβεις ἔλεγον, ὅτι οὐκ ἐπεσταλμένα σφίσι ταῦτα εἴη. ἴτε νῦν, ἔφη ὁ Ἀγησίλαος, καὶ ἐρωτᾶτε· ἀπαγγέλλετε δ' αὐτοῖς καὶ ταῦτα, ὅτι εἰ μὴ ταῦτα ποιήσοιεν, ἔκσπονδοι ἔσονται.

λ'. Οἱ μὲν δὴ ᾤχοντο. ὁ δὲ Ἀγησίλαος, διὰ τὴν πρὸς Θηβαίους ἔχθραν, οὐκ ἔμελλεν, ἀλλὰ πείσας τὰς Ἐφόρους, εὐθὺς ἐθύετο. ἐπεὶ δὲ ἐγένετο τὰ διαβατήρια, ἀφικόμενος εἰς τὴν Τεγέαν, διέπεμπε τῶν μὲν ἱππέων κατὰ τὰς περιοίκους ἐπισπεύσοντας, διέπεμπε δὲ καὶ ξεναγοὺς εἰς τὰς πόλεις. πρὶν δὲ αὐτὸν ὁρμηθῆναι ἐκ Τεγέας, παρῆσαν οἱ Θηβαῖοι, λέγοντες, ὅτι ἀφιᾶσι τὰς πόλεις αὐτονόμους. καὶ ἄτω Λακεδαιμόνιοι μὲν οἴκαδε ἀπῆλθον, Θηβαῖοι δ' εἰς τὰς σπονδὰς εἰσελθεῖν ἠναγκάσθησαν, αὐτονόμους ἀφέντες τὰς Βοιωτικὰς πόλεις.

λα'. Οἱ δ' αὖ Κορίνθιοι οὐκ ἐξέπεμπον τὴν τῶν Ἀργείων φρουράν. ἀλλ' ὁ Ἀγησίλαος καὶ τούτοις προεῖπε, τοῖς μὲν, εἰ μὴ ἐκπέμψοιεν τοὺς Ἀργείους, τοῖς δὲ, εἰ μὴ ἀπίοιεν ἐκ

nisi iurarent ex sententia regiarum litterarum; oppida, parua, magna, sui iuris fore. Ad ea Thebanorum legati respondebant, sibi nihil eiusmodi mandatum esse. Abite nunc, subiecit Agesilaus, ac de hoc vestros consulite: simul eis hoc quoque renunciate, ni pareant, foederis in societate nequaquam futuros.

30. Discedentibus illis, Agesilaus, ob eas, quas cum Thebanis exercebat inimicitias, non cunctabatur: sed suam in sententiam adductis Ephoris, statim exta consulebat. Ea quum de traducendis copiis ei fausta contigissent, Tegeam profectus, partim equites hinc inde mittebat ad finitimos, qui eos properare iuberent; partim externarum copiarum ductores suas ad vrbes ablegabat. Priusquam Tegea moueret, Thebani aderant, oppidaque se libertati suae restituere significabant. Ita Lacedaemonii quidem domum rediere, Thebani vero tum foederis conditiones accipere, tum oppida Boeotica relinquere libera coacti sunt.

31. Restabant Corinthii, qui praesidium Argiuum non dimittebant. His quoque denunciat Agesilaus, bellum se moturum aduersus Corinthios, ni Argiuos dimitterent

ἐκ τῆς Κορίνθου, ὅτι πόλεμον ἐξοίσει ἐπ' αὐτούς. ἐπεὶ δὲ φοβηθέντων ἀμφοτέρων ἐξῆλθον οἱ Ἀργεῖοι, καὶ αὐτὴ ἐφ' ἑαυτῆς ἡ τῶν Κορινθίων πόλις ἐγένετο, οἱ μὲν σφαγεῖς καὶ οἱ μεταίτιοι τοῦ ἔργου, αὐτοὶ γνόντες, ἀπῆλθον ἐκ τῆς Κορίνθου· οἱ δ' ἄλλοι πολῖται ἑκόντες κατεδέχοντο τοὺς πρόσθεν φεύγοντας.

λβ'. Ἐπεὶ δὲ ταῦτ' ἐπράχθη, καὶ ὁμωμόκεσαν αἱ πόλεις ἐμμένειν τῇ εἰρήνῃ, ἣν κατέπεμψε βασιλεύς, ἐκ τούτου διελύθη μὲν τὰ πεζικὰ, διελύθη δὲ καὶ τὰ ναυτικὰ στρατεύματα. Λακεδαιμονίοις μὲν δὴ, καὶ Ἀθηναίοις, καὶ τοῖς ξυμμάχοις ἅτως ἡ μετὰ τὸν ὕστερον πόλεμον τῆς καθαιρέσεως τῶν Ἀθήνησι τειχῶν, αὕτη πρώτη εἰρήνη ἐγένετο.

λγ'. Ἐν δὲ τῷ πολέμῳ μᾶλλον ἀντιῤῥόπως τοῖς ἐναντίοις πράττοντες οἱ Λακεδαιμόνιοι, πολὺ ἐπικυδέστεροι ἐγένοντο ἐκ τῆς ἐπ' Ἀνταλκίδου εἰρήνης καλουμένης. προστάται γὰρ γενόμενοι τῆς ὑπὸ βασιλέως καταπεμφθείσης εἰρήνης, καὶ τὴν αὐτονομίαν ταῖς πόλεσι πράττοντες, προσέλαβον μὲν ξύμμαχον Κόρινθον, αὐτονόμους δὲ ἀπὸ τῶν Θηβαίων τὰς

dimitterent: aduerſus Argiuos, ni Corintho excederent. Poſteaquam, vtriſque metu perterritis, exceſſiſſent Argiui, iamque Corinthiorum vrbs ſuo iure libertateque frueretur; caedis auctores, et quotquot affines culpae fuerant, ſponte ſua Corintho excedunt, et ciues caeteri non inuite in vrbem eos, qui antehac exulabant, admittunt.

32. His rebus confectis, praeſtitoque ab vrbibus iureiurando, ratam ſe pacem habituras, cuius eſſet a rege miſſa formula: tum deinde non ſolum terreſtres, verum etiam nauales copiae dimiſſae ſunt. Ita tunc inter Lacedaemonios, et Athenienſes, eorumque ſocios, poſt bellum ab euerſione murorum Athenienſium geſtum, haec prima pax conſtituta fuit.

33. Quumque Lacedaemonii, bello durante, non inferiores aduerſariis fuiſſent, multo tamen ampliorem ex pace, quam Antalcideam vocant, gloriam ſunt conſequuti. Nam quia pacis a rege miſſae praeſides facti erant, vrbeſque in libertatem vindicabant: ſimul Corinthum ſocietate ſibi deuinxerunt, et oppida Boeotica Thebanorum

τὰς Βοιωτίδας πόλεις ἐποίησαν, ὅπερ πάλαι ἐπεθύμουν. ἔπαυσαν δὲ καὶ Ἀργείους Κόρινθον σφετεριζομένους, φρουρὰν φήναντες ἐπ' αὐτούς, εἰ μὴ ἐξίοιεν ἐκ Κορίνθου.

ΚΕΦ. β'.

Τούτων δὲ προκεχωρηκότων, ὡς ἐβούλοντο, ἔδοξεν αὐτοῖς, ὅσοι ἐν τῷ πολέμῳ τῶν ξυμμάχων ἐνέκειντο, καὶ τοῖς πολεμίοις εὐμενέστεροι ἦσαν, ἢ τῇ Λακεδαίμονι, τούτους κολάσαι, καὶ κατασκευάσαι, ὥστε μὴ δύνασθαι ἀπιστεῖν*. πρῶτον μὲν οὖν πέμψαντες ὡς τοὺς Μαντινέας, ἐκέλευσαν αὐτοὺς τὸ τεῖχος περιαιρεῖν, λέγοντες, ὡς οὐκ ἂν πιστεύσειαν ἄλλως αὐτοῖς, μὴ ξὺν τοῖς πολεμίοις γενέσθαι.

β'. Αἰσθάνεσθαι γὰρ ἔφασαν, καὶ ὡς σῖτον ἐξέπεμπον τοῖς Ἀργείοις, σφῶν αὐτοῖς πολεμούντων· καὶ ὡς ἔστι μὲν ὅτε οὐδὲ συστρατεύοιεν, ἐκεχειρίαν προφασιζόμενοι· ἐπότε δὲ καὶ ἀκολουθοῖεν, ὡς κακῶς συστρατεύοιεν. ἔτι δὲ γιγνώ-

potestati erepta, quod iam olim expetiuerant, libertati suae restituerunt. Praeterea copiarum delectu aduersus Argiuos, ni Corintho excederent, decreto; perfecerunt, vt illi Corinthum sibi vindicare desinerent.

CAP. II.

Haec quum ipsis ex animi sententia cessissent, ex sociis suis eos, qui hoc ipsis bello molesti fuerant, et amiciore se erga hostes animo, quam ipsos, gesserant, multare decreverunt; eoque redigere, vt deinceps inobedientes esse non possent. Primum ergo missis ad Mantineos legatis, murum vti diruerent, edixerunt. Aiebant enim, caeteroqui se minime credituros, cum hostibus eos suis non conspirasse.

2. Nam comperisse se, frumentum Argiuis missum ab ipsis esse id temporis, quum Lacedaemonii bellum eis facerent. Praeterea nonnunquam ipsos per caussam induciarum adesse sibi in bello gerendo noluisse, ac, si maxime sequuti essent, ignauiter rem gessisse.

* Al. ἀπιστεῖν.

γιγνώσκειν ἔφασαν φθονοῦντας μὲν αὐτοὺς, εἴ τι σφίσιν ἀγαθὸν γίγνοιτο· ἐφηδομένους δ', εἴ τις συμφορὰ προσπίπτοι. ἐλέγοντο δὲ καὶ αἱ σπονδαὶ ἐξεληλυθέναι τοῖς Μαντινεῦσι τούτῳ τῷ ἔτει, αἱ μετὰ τὴν ἐν Μαντινείᾳ μάχην τριακονταετεῖς γενόμεναι.

γ'. Ἐπεὶ δὲ οὐκ ἤθελον καθαιρεῖν τὰ τείχη, φρυκὰν φαίνουσιν ἐπ' αὐτούς. Ἀγησίλαος μὲν οὖν ἐδεήθη τῆς πόλεως, ἀφεῖναι αὐτὸν ταύτης τῆς στρατηγίας· λέγων, ὅτι τῷ πατρὶ αὐτοῦ πολλὰ ὑπηρετήκει ἡ τῶν Μαντινέων πόλις ἐν τοῖς πρὸς Μεσσήνην πολέμοις. Ἀγησίπολις δὲ ἐξήγαγε τὴν φρυκάν, καὶ μάλα Παυσανίᾳ τῷ πατρὸς αὐτοῦ φιλικῶς ἔχοντος πρὸς τοὺς ἐν Μαντινείᾳ τοῦ δήμου προστάτας.

δ'. Ὡς δὲ ἐνέβαλε, πρῶτον μὲν τὴν γῆν ἐδήου. ἐπεὶ δὲ οὐδὲ οὕτω καθῆρουν τὰ τείχη, τάφρον ὤρυττε κύκλῳ περὶ τὴν πόλιν, τοῖς μὲν ἡμίσεσι τῶν στρατιωτῶν προσκαθημένοις σὺν τοῖς ὅπλοις τῶν ταφρευόντων, τοῖς δὲ ἡμίσεσιν

se. Nec non animaduertere ſe commemorabant, Lacedaemoniis eos inuidere, ſi quid ipſis proſpere ceſſiſſet: contraque laetari, ſi qua calamitas accidiſſet. Etiam addebatur, hoc anno finem earum induciarum eſſe, quas in annos xxx cum Lacedaemoniis Mantinei a commiſſo ad Mantineam proelio pepigerant.

3. Poſteaquam moenia diruere Mantinei recuſaſſent, Lacedaemonii delectum aduerſus eos habendum ſtatuunt. Hac in expeditione Ageſilaus, ne imperatorio munere fungi cogeretur, a republica petebat: quum iis in bellis, quae cum Meſſeniis eſſent geſta, patri ſuo Mantineorum rempublicam multis in rebus obſequutam diceret. Itaque copias eas Ageſipolis duxit, quanquam huius quoque pater Pauſanias erga Mantineos populi principes animo perbenevolo eſſet.

4. Poſteaquam fines eorum ingreſſus eſſet, primum agros vaſtabat. Vbi ne tunc quidem muros diruerent, vrbem foſſa circumdedit, dimidia militum parte cum armis fodientium in obſidione perſiſtente, reliquis opere perficiundo

σιν ἐργαζομένοις. ἐπεὶ δὲ ἐξείργαστο ἡ τάφρος, ἀσφαλῶς ἤδη κύκλῳ τεῖχος περὶ τὴν πόλιν ᾠκοδόμησεν. αἰσθόμενος δὲ, ὅτι ὁ σῖτος ἐν τῇ πόλει πολὺς εἴη, εὐετηρίας γενομένης τῷ πρόσθεν ἔτει, καὶ νομίσας χαλεπὸν ἔσεσθαι, εἰ δήσει πολὺν χρόνον τρύχειν στρατιᾶς τήν τε πόλιν καὶ τοὺς ξυμμάχους, ἀπέχωσε τὸν ῥέοντα ποταμὸν διὰ τῆς πόλεως, μάλ' ὄντα εὐμεγέθη.

ε'. Ἐμφραχθείσης δὲ τῆς ἀπορροίας, ἤρετο τὸ ὕδωρ ὑπέρ τε τῶν ὑπὸ ταῖς οἰκίαις καὶ ὑπὲρ τῶν ὑπὸ τῷ τείχει θεμελίων. βρεχομένων δὲ τῶν κάτω πλίνθων, καὶ προδιδόσῶν τὰς ἄνω, τὸ μὲν πρῶτον ἐρρήγνυτο τὸ τεῖχος, ἔπειτα δὲ καὶ ἐκλίνετο. οἱ δὲ χρόνον μέν τινα ξύλα ἀντήρειδον, καὶ ἀντεμηχανῶντο, ὡς μὴ πίπτοι ὁ πύργος. ἐπεὶ δὲ ἡττῶντο τῷ ὕδατος, δείσαντες μὴ πεσόντος πη τοῦ κύκλῳ τείχους δορυάλωτοι γένοιντο, ὡμολόγουν περιαιρήσειν. οἱ δὲ Λακεδαιμόνιοι οὐκ ἔφασαν πείσεσθαι, εἰ μὴ καὶ διοικοῖντο κατὰ κώμας. οἱ δ' αὖ νομίσαντες ἀνάγκην εἶναι, ξυνέφασαν καὶ ταῦτα ποιήσειν.

ς'. Οἱο-

occupatis. Dnĉta iam foſſa, nullo cum periculo vrbem muro cingebat. Quia vero animadverteret, magnam in vrbe frumenti copiam eſſe, quod anni ſuperioris fertilitas inſignis fuerat, et idcirco moleſtum fore ſuis duceret, diuturnis expeditionibus rempublicam ac ſocios exhauriri: amnem ſane amplum, qui vrbem mediam perlabitur, aggere obiecto auertit.

5. Quapropter obſtructo alveo, quo decurrebat, aqua ſe ſupra aedium ac murorum fundamenta attollebat. Quumque lateres inferiores humectarentur, iamque ſuperiores amplius haud ſuſtinerent: primum rimas agere murus, deinde ruinam minari. Mantinei tignis aliquantiſper eum fulcire, neve turris collaberetur, opere facto prohibere. Verum vbi ab aqua vinci ſe conſpexere, veriti ne, muro vndique corruente, vi caperentur: eum ſe diruturos adſenſi ſunt. Tum vero Lacedaemonii ſibi ſatisfactum fore negabant, niſi per vicos ſparſim habitarent. Mantinei neceſſario ſibi ſic faciundum rati, hac etiam in parte adſentiebantur.

6. Quumque

ϛ'. Οἰομένων δὲ ἀποθανεῖσθαι τῶν *ἀργολιζόντων, καὶ τῶν τῷ δήμῳ προσατῶν, διεπράξατο ὁ πατὴρ παρὰ τῆς Αγησιπόλιδος ἀσφάλειαν αὐτοῖς γενέσθαι, ἀπαλλατ]ομένοις ἐκ τῆς πόλεως, ἐξήκοντα ὄντι. καὶ ἀμφοτέρωθεν μὲν τῆς ὁδοῦ, ἀρξάμενοι ἀπὸ τῶν πυλῶν, ἔχοντες τὰ δόρατα οἱ Λακεδαιμόνιοι ἔστησαν, θεώμενοι τοὺς ἐξιόντας, καὶ μισοῦντες αὐτούς, ὅμως ἀπείχοντο αὐτῶν ῥᾷον, ἢ οἱ βέλτιστοι τῶν Μαντινέων. καὶ τοῦτο μὲν εἰρήσθω μέγα τεκμήριον πειθαρχίας.

ζ'. Ἐκ δὲ τούτου καθηρέθη μὲν τὸ τεῖχος, διωκίσθη δὲ ἡ Μαντίνεια τετραχῇ, καθάπερ τὸ ἀρχαῖον ᾤκουν. καὶ τὸ μὲν πρῶτον ἤχθοντο, ὅτι τὰς μὲν ὑπαρχούσας οἰκίας ἔδει καθαιρεῖν, ἄλλας δὲ οἰκοδομεῖν. ἐπεὶ δὲ οἱ ἔχοντες τὰς οὐσίας ἐγγύτερον μὲν ᾤκουν τῶν χωρίων, ὄντων αὐτοῖς περὶ τὰς κώμας, ἀριστοκρατίᾳ δ' ἐχρῶντο, ἀπηλλαγμένοι δ' ἦσαν τῶν βαρέων δημαγωγῶν, ἥδοντο τοῖς πεπραγμένοις. καὶ ἔπεμπον μὲν αὐτοῖς οἱ Λακεδαιμόνιοι οὐ καθ' ἕνα, ἀλλὰ *κατὰ

6. Quumque metuerent ſibi, qui Argiuis ſauebant, ac populo praeerant, ne interficerentur, Pauſanias pater impetrat ab Ageſipolide, vt eis, qui omnino erant LX, ex vrbe tuto diſcedere liceret. Itaque inde vſque ab ipſis portis Lacedaemonii cum haſtis ex vtraque viae parte ſtabant, et exeuntes intuebantur. Ac tametſi eos odiſſent, facilius tamen manus ab eis abſtinebant, quam Mantineorum optimates feciſſent: quod a nobis, vt ingens erga magiſtratus obedientiae argumentum, commemoratum eſto.

7. Secundum haec murus eſt dirutus, et quatuor in partes Mantinea ſparſa, quemadmodum olim habitari conſueverat. Erat autem initio moleſtum ipſis, quod aedes iam exſtructas diruere, ac pro eis alias exſtruere cogerentur. Verum quia propius a praediis ſuis, quae iuxta vicos habebant, opulentiores aberant, et optimates ſummae rerum praeerant, liberata republica popularis a factionis principibus, quos graves experti fuerant; etiam ex iis quae acciderant, voluptatem capiebant. Praeterea Lacedaemonii non ſingulatim, ſed vica-

 tim

* Al. ἀργυρολογιζόντων.

*κατὰ κώμην ἑκάστην ξεναγόν. ξυνεστρατεύοντο δ' ἐκ τῶν κωμῶν πολὺ προθυμότερον, ἢ ὅτε ἐδημοκρατοῦντο. καὶ τὰ μὲν δὴ περὶ Μαντινείας οὕτω διεπέπρακτο, σοφωτέρων γενομένων ταύτῃ γε τῶν ἀνθρώπων, τῷ μὴ διὰ τειχῶν ποταμὸν ποιεῖσθαι.

η'. Οἱ δ' ἐκ Φλιοῦντος φεύγοντες, αἰσθόμενοι τὰς Λακεδαιμονίους ἐπισκοποῦντας τῶν ξυμμάχων ὁποῖοί τινες ἕκαστοι ἐν τῷ πολέμῳ αὐτοῖς ἐγεγένηντο, καιρὸν ἡγησάμενοι, ἐπορεύθησαν ἐς Λακεδαίμονα, καὶ ἐδίδασκον, ὡς ἕως μὲν σφεῖς οἶκοι ἦσαν, ἐδέχετό τε ἡ πόλις τὰς Λακεδαιμονίους ἐς τὸ τεῖχος, καὶ συνεστρατεύοντο ὅποι ἡγοῖντο. ἐπεὶ δὲ σφᾶς αὐτοὶ ἐξέβαλον, ὡς ἕπεσθαι μὲν ἀδαμῶς ἐθέλοιεν, μόνους δὲ πάντων ἀνθρώπων Λακεδαιμονίους ἀ δέχοιντο εἴσω τῶν πυλῶν.

θ'. Ἀκούσασι δὴ ταῦτα τοῖς Ἐφόροις ἄξιον ἔδοξεν ἐπιστροφῆς εἶναι. καὶ πέμψαντες πρὸς τὴν τῶν Φλιασίων πόλιν ἔλεγον, ὡς φίλοι μὲν οἱ φυγάδες τῇ Λακεδαιμονίων πόλει εἶεν, ἀδικοῦντες δ' ἀδὲν φεύγοιεν. ἀξιοῦν δ'

tim copias cogentem mittebant. Itaque longe promtius e vicis ſigna Lacedaemoniorum ſequebantur, quam in ſtatu populari fecerant. Hic rerum apud Mantineam geſtarum fuit exitus: Qui eſſe hominibus documento poteſt, ne per muros amnem in vrbem ducant.

8. Caeterum ii, qui exulabant Phliunte, quum animadverterent, conſiderare Lacedaemonios, quo pacto ſocii ſinguli tempore belli ſe geſſiſſent; idoneam ſe nactos occaſionem arbitrati, Lacedaemonem proficiſcuntur, atque commemorant, ciuitatem ſuam, quamdiu in ea vixiſſent ipſi, Lacedaemonios in vrbem admiſiſſe, ſignaque illorum ſequi conſueviſſe, quocunque duxiſſent: Nunc poſteaquam ipſi eiecti eſſent, nolle ſuos homines Lacedaemoniorum militiam ſequi, ac ſolos omnium mortalium intra portas eos non admittere.

9. Quae quum audiſſent Ephori, viſa ſunt animaduerſione digna eſſe. Quapropter miſſis ad Phliaſiorum ciuitatem legatis, exules hos reipublicae Lacedaemoniorum amicos eſſe, ac per iniuriam in exilium actos ſignificabant. Proinde

* Al. κατὰ γνώμην.

δ' ἔφασαν, μὴ ὑπ' ἀνάγκης, ἀλλὰ παρ' ἑκόντων διαπράξασθαι κατελθεῖν αὐτούς. ἃ δὴ ἀκούσαντες οἱ Φλιάσιοι, ἔδεισαν μὴ, εἰ στρατεύσαιντο ἐπ' αὐτούς, τῶν ἔνδοθεν παρείησάν τινες ἐς τὴν πόλιν αὐτούς. καὶ γὰρ συγγενεῖς πολλοὶ ἔνδον ἦσαν τῶν φευγόντων, καὶ ἄλλως εὐμενεῖς, καὶ (οἷα δὴ ἐν ταῖς πλείσταις πόλεσι) νεωτέρων τινὲς ἐπιθυμοῦντες πραγμάτων, κατάγειν ἐβούλοντο τὴν φυγήν.

ί. Τοιαῦτα μὲν δὴ φοβηθέντες, ἐψηφίσαντο καταδέχεσθαι τοὺς φυγάδας, καὶ ἐκείνοις μὲν ἀποδοῦναι τὰ ἐμφανῆ κτήματα, τοὺς δὲ τὰ ἐκείνων πριαμένους ἐκ δημοσίου, τὴν τιμὴν ἀπολαβεῖν. εἰ δέ τι ἀμφίλογον πρὸς ἀλλήλους γίγνοιτο, δίκῃ διακριθῆναι. καὶ ταῦτα μὲν αὖ περὶ τῶν Φλιασίων φυγάδων ἐν ἐκείνῳ τῷ χρόνῳ ἐπέπρακτο.

ια'. Ἐξ Ἀκάνθου δὲ καὶ Ἀπολλωνίας (αἵπερ μέγισται τῶν περὶ Ὀλυνθον πόλεων) πρέσβεις ἀφίκοντο ἐς Λακεδαίμονα. ἀκούσαντες δὲ οἱ Ἔφοροι ὧν ἕνεκα ἦκον, προσήγαγον αὐτοὺς

inde ſe petere, ne tam vi, quam bona cum ipſorum voluntate, reduci eos paterentur. Iis auditis metuebant Phliaſii, ne qui ex iis ciuibus, in vrbe qui erant, Lacedaemonios intromitterent, ſi cum exercitu adveniſſent. Nam exules ipſi multos in vrbe propinquos habebant, multos erga ſe benevolos: denique nonnulli erant, qui, vt plurimis in rebuſpublicis fieri conſueuit, nouarum rerum cupidi, exules reducere vellent.

10. Quapropter huiuſmodi quaedam veriti Phliaſii, de recipiendis in patriam exulibus decretum promulgant: et addunt, poſſeſſiones, de quibus palam conſtaret, eiſdem reſtituendas eſſe, pretiumque perſoluendum illis, qui a fiſco exulum bona coëmiſſent. Quod ſi eſſet aliquid inter eos vtrinque controuerſiae, de hoc iure diſceptandum. Atque haec tum temporis in Phliaſiorum exulum cauſſa geſta fuerunt.

11. Inde miſſi Acantho et Apollonia, quae vrbes inter alias propter Olynthum ſitas maximae ſunt, legati Lacedaemonem veniunt: quumque accepiſſent Ephori, quamobrem adeſſent, eos ad concilium

αὐτὰς πρός τε τὴν ἐκκλησίαν καὶ τὰς συμμάχους. ἔνθα δὴ Κλειγένης Ακάνθιος ἔλεξεν·

ιβ. "Ω ἄνδρες Λακεδαιμόνιοί τε καὶ οἱ σύμμαχοι, οἰόμεθα λανθάνειν ὑμᾶς πρᾶγμα φυόμενον ἐν τῇ Ελλάδι. ὅτι μὲν γὰρ τῶν ἐπὶ Θρᾴκης μεγίστη πόλις Ολυνθος, σχεδὸν πάντες ἐπίστασθε. ἅτοι τῶν πόλεων προσηγάγοντο ἐς ἓν ἀὲς, ἐφ' ᾧ τε τοῖς αὐτοῖς χρῆσθαι νόμοις, καὶ συμπολιτεύειν. ἔπειτα δὲ καὶ τῶν μειζόνων προσέλαβόν τινας. ἐκ δὲ τούτου ἐπεχείρησαν καὶ τὰς τῆς Μακεδονίας πόλεις ἐλευθερῶν ἀπὸ Αμύντου τοῦ Μακεδόνων βασιλέως.

Επεὶ δὲ εἰσήκουσαν αἱ ἐγγύτατα αὐτῶν, ταχὺ καὶ ἐπὶ τὰς πόρρω καὶ μείζους ἐπορεύοντο· καὶ κατελίπομεν ἡμεῖς ἔχοντας ἤδη ἄλλας τε πολλὰς, καὶ Πέλλαν, ἥπερ μεγίστη τῶν ἐν Μακεδονίᾳ πόλεων. καὶ Αμύνταν δὲ αἰσθανόμεθα ἀποχωροῦντά τε ἐκ τῶν πόλεων, καὶ ὅσον οὐκ ἐκπεπλωκότα ἤδη ἀπάσης Μακεδονίας. πέμψαντες δὲ καὶ πρὸς ἡμᾶς καὶ πρὸς Απολλωνιάτας οἱ Ολύν-

publicum, et ſocios, deducunt. Ibi tum Cligenes Acanthius hanc orationem habuit:

12. Exiſtimamus, Lacedaemonii, voſque ſocii, nec dum vos comperiſſe quidquam de re, quae in Graecia nunc primum quaſi pullulat. Id quidem prope vos vniuerſos ſcire neceſſe eſt, Olynthum inter vrbes Thraciae maximam eſſe. Atque hi quaedam oppida ſibi adiunxerunt, ea conditione, vt legibus iiſdem, tanquam in eadem republica, viuant. Mox quaedam etiam de maioribus oppidis ad ſe pertraxere. Secundum ea porro ad liberandum vrbes Macedoniae, ab Amyntae Macedonum regis imperio, animum adiecere.

Parentibus iis, quae ipſis erant proximae, confeſtim etiam ad remotiores ampliores-que perrexerunt. Nos quidem domo proficiſcentes ita reliquimus eos, vt iam praeter alias complures vrbes, Pellam quoque tenerent, inter oppida Macedoniae reliqua longe maximam. Amyntam ipſum intelligimus oppidis ſuis excedere, tantumque non Macedonia tota iam excidiſſe. Denique iidem Olynthii, miſſis ad nos et Apollonienſes ſuis, denuntiarunt

Ολύνθιοι, προεῖπον ἡμῖν, ὅτι εἰ μὴ παρεσόμεθα συστρατευσόμενοι, ἐκεῖνοι ἐφ' ἡμᾶς ἴοιεν.

Ημεῖς δὲ, ὦ ἄνδρες Λακεδαιμόνιοι, βυλόμεθα μὲν τοῖς πατρίοις νόμοις χρῆσθαι, καὶ αὐτοὶ πολῖται εἶναι. εἰ μέντοι μὴ βοηθήσοι τις, ἀνάγκη καὶ ἡμῖν μετ' ἐκείνων γίγνεσθαι. καὶ τοίνυν γε δὴ αὐτοῖς εἰσιν ὁπλῖται μὲν οὐκ ἐλάττους ὀκτακοσίων, πελτασταὶ δὲ πολὺ πλείους ἢ τοσοῦτοι· ἱππεῖς γε μέντοι, ἐὰν καὶ ἡμεῖς μετ' αὐτῶν γενώμεθα, ἔσονται πλείους ἢ χίλιοι.

Κατελίπομεν δὲ καὶ Αθηναίων καὶ Βοιωτῶν πρέσβεις ἤδη αὐτόθι. ἠκούομεν δὲ, ὡς καὶ αὐτοῖς Ολυνθίοις ἐψηφισμένον εἴη συμπέμπειν πρέσβεις ἐς ταύτας τὰς πόλεις περὶ συμμαχίας. καίτοι εἰ τοσαύτη δύναμις προσγενήσεται τῇ τε Αθηναίων καὶ Θηβαίων ἰσχύϊ, ὁρᾶτε, ἔφη, ὅπως μὴ ὑστέρους εὐμεταχείρισα ἐκεῖνα ἔσαι ὑμῖν.

Επεὶ δὲ καὶ Ποτίδαιαν ἔχουσιν, ἐπὶ τῷ Ισθμῷ τῆς Παλλήνης οὖσαν, νομίζετε καὶ τὰς ἐντὸς ταύτης πόλεις ὑπηκόους ἔσεσθαι αὐτῶν. τεκμήριον δέ τι ἔχω ὑμῖν καὶ τοῦτο, ὅτι

tiarunt nobis; ni noſtras ad ipſos copias mitteremus, quae ſe cum ipſis coniungerent, recta ſe nos inuaſuros.

Cupimus autem nos, Lacedaemonii, legibus vti patriis, et noſtram ipſi rempublicam adminiſtrare: verum ſi nemo ſuppetias nobis tulerit, adiungere nos ipſis cogemur. Habent grauis armaturae pedites non pauciores ıɔccc, cetratos his longe plures. Quod ſi nos etiam cum ipſis coniungamur, equites plures habituri ſunt, quam cıɔ.

Praeterea legatos Athenienſium ac Boeotorum iſtic reliquimus, quibus Olynthios decreuiſſe ſuos ad eaſdem vrbes legatos adiungere, qui cum eis de ineunda ſocietate agant, audiebamus. Atqui ſi ad vires Athenienſium Thebanorumque, tanta potentiae fiat acceſſio: videte, Lacedaemonii, ne deinceps illis haud facile obuiam ituri ſitis.

Et vero quia Potidaeam tenent, ad Pallenes Iſthmum ſitam, exiſtimare debetis, etiam ea mox oppida, quae intra illam ſita ſunt, ipſorum in poteſtatem ventura. Sit autem hoc vobis argumento,

ὅτι ἰσχυρῶς αὗται αἱ πόλεις πεφόβηνται. μάλιστα γὰρ μισοῦσαι τοὺς Ολυνθίους, ὅμως οὐκ ἐτόλμησαν μεθ' ἡμῶν πρεσβείας πέμπειν διδαξούσας ταῦτα.

Ἐννοήσατε δὲ καὶ τόδε, πῶς εἰκὸς ὑμᾶς τῆς μὲν Βοιωτίας ἐπιμεληθῆναι, ὅπως μὴ καθ' ἓν εἴη, πολὺ δὲ μείζονος ἀθροιζομένης δυνάμεως ἀμελῆσαι, καὶ ταύτης οὐ κατὰ γῆν μόνον, ἀλλὰ καὶ κατὰ θάλατταν ἰσχυρᾶς γενομένης. τί γὰρ δὴ καὶ ἐμποδὼν, ὅπου ξύλα μὲν ναυπηγήσιμα ἐν αὐτῇ τῇ χώρᾳ ἐστὶ, χρημάτων δὲ πρόσοδοι ἐκ πολλῶν μὲν λιμένων, ἐκ πολλῶν δὲ ἐμπορίων, πολυανθρωπία γε μὴν διὰ τὴν πολυσιτίαν ὑπάρχει; ἀλλὰ μὴν καὶ γείτονές εἰσιν αὐτοῖς Θρᾷκες οἱ ἀβασίλευτοι, οἳ θεραπεύουσι μὲν καὶ νῦν ἤδη τοὺς Ολυνθίους· εἰ δὲ ὑπ' ἐκείνους ἔσονται, πολλὴ καὶ αὕτη δύναμις προσγένοιτ' ἂν αὐτοῖς.

Τούτων γε μὴν ἀκολουθούντων, καὶ τὰ ἐν τῷ Παγγαίῳ χρύσεια χεῖρα ἂν αὐτοῖς ἤδη ὀρέγοι. καὶ τούτων ἡμεῖς οὐδὲν λέγομεν, ὅ, τι οὐ καὶ ἐν τῷ τῶν Ολυνθίων δήμῳ μυριόλεκτόν

argumento, quantopere ſibi ciuitates illae metuant. Nam quum Olynthios maximo proſequantur odio, non tamen auſae fuerunt legatos nobiſcum mittere, qui haec vobis exponerent.

Quin et illud vobiſcum expendite, qui par ſit vos operam dare, ne ſe Boeotia coniungat; ac multo maiorem potentiam coeuntem negligere, quae quidem non terra modo, ſed etiam mari creſcat. Nam quid illis impedimento fuerit, quum ipſorum in finibus ad claſſem aedificandam materies ſuppetat, neque deſint partim multis ex portubus, partim emporiis, vectigalia, multitudine denique hominum, ob fertilitatem ſoli, abundent? Accedit ad haec, quod Thraces, nullius regis imperio ſubiectos, vicinos habeant: qui quidem nunc etiam Olynthios obſequiis demulcent. Quod ſi etiam ab ipſis ſubigentur, auctі erunt Olynthii potentia non exigua.

Iam ſi haec omnia ſequantur, manum eis etiam aurifodinae in Pangaeo porrigent. Atque horum nihil a nobis dicitur, quod non millies in ipſa Olynthiorum plebe prolatum

ſit.

ριόλεκτόν ἐστι. τὸ γεμὴν φρόνημα αὐτῶν τί ἄν τις λέγοι; καὶ γὰρ ἴσως ὁ Θεὸς ἐποίησεν, ἅμα τῷ δύνασθαι καὶ τὰ φρονήματα αὔξεσθαι τῶν ἀνθρώπων.

Ημεῖς μὲν ἦν, ὦ ἄνδρες Λακεδαιμόνιοί τε καὶ ξύμμαχοι, ἐξαγγέλλομεν ὅτι τάκεῖ ἔτως ἔχει· ὑμεῖς δὲ βουλεύεσθε, εἰ δοκεῖ ἄξια ἐπιμελείας εἶναι. δεῖ γεμὴν ὑμᾶς καὶ τόδε εἰδέναι, ὡς ἦν εἰρήκαμεν δύναμιν μεγάλην ἔσαν, ἔπω δυσπάλαιστός τις ἐστίν. αἱ γὰρ ἄκραι τῶν πόλεων τῆς πολιτείας κοινωνοῦσαι, αὗται, ἄν τι ἴδωσιν ἀντίπαλον, ταχὺ ἀποστήσονται.

Εἰ μέντοι συγκλεισθήσονται ταῖς τε ἐπιγαμίαις καὶ ἐγκτήσεσι παραλλήλαις, ἃς ἐψηφισμένοι εἰσὶ, καὶ γνώσονται, ὅτι μετὰ τῶν κρατούντων ἕπεσθαι κερδαλέον ἐστὶν, (ὥσπερ Αρκάδες, ὅταν μεθ' ὑμῶν ἴωσι, τά τε αὐτῶν σώζουσι, καὶ τὰ ἀλλότρια ἁρπάζουσιν) ἴσως ἀκέθ' ὁμοίως εὔλυτα ἔσαι.„

ιγ'. Λεχθέντων δὲ τούτων, ἐδίδοσαν οἱ Λακεδαιμόνιοι τοῖς

fit. Animos autem, quos gerunt, quamobrem quis commemoret? Fortaſſe diuinitus ita comparati ſumus homines, vt vna cum potentia nobis animi quoque creſcant.

Quapropter nos quidem, Lacedaemonii, voſque ſocii, rerum iſtic ſtatum hunc eſſe vobis nuntiamus: vos, an operae pretium ſit, ea non negligi, deliberate. Omnino tamen hoc quoque vos ſcire volumus, potentiam illam, quam eſſe diximus amplam, necdum inexpugnabilem putari debere. Nam quotquot oppida nunc praeter voluntatem ſuam reipublicae ipſorum ſocietate continentur, ſi quam potentiam aduerſariam conſpexerint, mox ab eis deficient.

At ſi connubiis mutuis, et bonorum alternis acquiſitionibus, quod facere decreuerunt, inter ſe coaleſcent, ac eſſe fructuoſum animaduertent, ſequi eos, qui rerum potiuntur (quemadmodum Arcades, quum vobiſcum in hoſtem pergunt, ſimul et ſua conſeruant, et aliena depopulantur) fortaſſe non tam facile diſſipari vires ipſorum poterunt.

13. Haec vbi fuiſſent dicta, Lacedaemonii ſociis dicendi poteſtatem

τοῖς συμμάχοις λόγον, καὶ ἐκέλευον συμβουλεύειν ὅ, τι γιγνώσκει τὶς ἄριστον τῇ Πελοποννήσῳ καὶ τοῖς συμμάχοις. ἐκ τούτου μέντοι πολλοὶ μὲν ξυνηγόρευον στρατείαν ποιεῖν, μάλιστα δὲ οἱ βουλόμενοι χαρίζεσθαι τοῖς Λακεδαιμονίοις. καὶ ἔδοξε πέμπειν ἐς τὰς μυρίας ξύνταγμα ἐς ἑκάστην πόλιν.

ιδ'. Λόγοι δὲ ἐγένοντο, ἀργύριόν τε ἀντ' ἀνδρῶν ἐξεῖναι διδόναι τῇ βουλομένῃ τῶν πόλεων, τριώβολον Αἰγιναῖον κατ' ἄνδρα· ἱππέας τε εἴ τις παρέχοι, ἀντὶ τεττάρων ὁπλιτῶν μισθὸν τῷ ἱππεῖ δίδοσθαι. εἰ δέ τις τῶν πόλεων ἐκλίποι τὴν στρατείαν, ἐξεῖναι τοῖς Λακεδαιμονίοις ἐπιζημιοῦν κατὰ τὸν ἄνδρα, τῆς ἡμέρας.

ιε. Ἐπεὶ δὲ ταῦτα ἔδοξεν, ἀναστάντες οἱ Ἀκάνθιοι, πάλιν ἐδίδασκον, ὡς ταῦτα καλὰ μὲν εἴη τὰ ψηφίσματα, ἃ μέντοι δυνατὰ ταχὺ περανθῆναι. βέλτιον ἂν ἔφασαν εἶναι, ἐν ᾧ αὕτη ἡ παρασκευὴ ἀθροίζοιτο, ὡς τάχιστα ἄνδρα ἐξελθεῖν ἄρχοντα, καὶ δύναμιν ἐκ Λακεδαίμονός

ſtatem faciunt, et in medium conſulere iubent, quidnam Peloponneſo, reliquisque ſociis, maxime ex vſu fore quiſque cenſeret. Ibi tum complures expeditionem inſtituendam vno ſuadebant ore, ac imprimis ii, qui gratificari Lacedaemoniis volebant. Itaque decretum, vt mitteretur ad ciuitates ſingulas deſcriptio conferendorum militum ad decies mille.

14. Facta eius quoque rei mentio, liberum eſſe cuiuis ciuitati, vt pro arbitratu ſuo pecuniam, militum loco mitteret, nimirum ternos obolos Aegineticos, in ſingulos milites. Quod ſi quis equites ſuppeditaret, numerandum ſingulis eſſe ſtipendium, quod peditum quatuor ſtipendium aequaret. Si qua vero ciuitas expeditionem hanc ſubterfugeret, ius eſſe Lacedaemoniis, multae nomine ſtaterem, in ſingulos pro die quouis, exigere.

15. Poſteaquam haec ſtatuiſſent, rurſus Acanthii ſurgere, ac praeclara quidem haec eſſe decreta dicere: fieri tamen non poſſe, vt breui perficerentur. Quapropter eſſe conſultius, vt interea dum hae copiae cogerentur, quamprimum et dux et exercitus a Lacedaemoniis

caeteris-

νές τε, ὅση ἂν ταχὺ ἐξέλθοι, καὶ ἐκ τῶν ἄλλων πόλεων. τάτε γὰρ γενομένε, τάς τε ἄπω προσκεχωρηκυίας πόλεις σῆναι ἂν, καὶ τὰς βεβιασμένας ἧττον ἂν συμμαχεῖν.

ις'. Δοξάντων δὲ καὶ τάτων, ἐκπέμπεσιν οἱ Λακεδαιμόνιοι Εὐδαμίδαν, καὶ σὺν αὐτῷ νεοδαμώδεις τε, καὶ τῶν περιοίκων, καὶ τῶν Σκιρίτων, ἄνδρας ὡς δισχιλίες. ὁ μέντοι Εὐδαμίδας ἐξιὼν, Φοιβίδαν τὸν ἀδελφὸν ἐδεήθη τῶν Εφόρων, τὲς ὑπολειπομένες τῶν ἑαυτῷ προστεταγμένων ἀθροίσαντα μετιέναι· αὐτὸς δὲ ἐπεὶ ἀφίκετο ἐς τὰ ἐπὶ Θρᾴκης χωρία, ταῖς μὲν δεομέναις τῶν πόλεων φρερὲς ἔπεμπεν, Ποτίδαιαν δὲ καὶ προσέλαβεν ἐκοῦσαν, σύμμαχον ἤδη ἐκείνων οὖσαν. καὶ ἐντεῦθεν ὁρμώμενος ἐπολέμει, ὥσπερ εἰκὸς τὸν ἐλάττω ἔχοντα δύναμιν.

ιζ'. Ο δὲ Φοιβίδας, ἐπεὶ ἠθροίσθησαν αὐτῷ οἱ ὑπολειφθέντες τῷ Εὐδαμίδᾳ, λαβὼν αὐτὲς ἐπορεύετο. ὡς δ' ἐγένοντο ἐν ταῖς Θήβαις, ἐστρατοπεδεύσαντο μὲν ἔξω τῆς πόλεως

caeterisque ſociis ciuitatibus mitteretur, quantus quidem celeriter diſcedere poſſet. Nam id ſi fieret, perſtituras in ſententia ſua ciuitates eas, quae necdum ad Olynthios acceſſiſſent, et vi ab eis coactas, minus ad bellum auxilii praeſtituras.

16. Quibus ita comprobatis, Eudamidam Lacedaemonii mittunt, et cum eo nouos populares, circum vrbem habitantes, Sciritas, plus minus IICIↃ. Quum autem diſcederet Eudamidas, rogabat Ephoros, vt frater ipſius Phoebidas, cum iis militibus, quos ſibi decretos a tergo relinqueret, collectis ſe ſubſequeretur. Ipſe poſtea quam ad oppida Thraciae perueniſſet, praeſidia ciuitatibus iis mittit, quotquot ea poſtularent, ac Potidaeam ſocietate iam Olynthiis coniunctam, deditionem ſponte ſua facientem occupat. Atque hinc hoſtem inuadens, bellum gerebat, vt eum par erat facere, qui a copiis minus eſſet inſtructus.

17. Phoebidas interim, collectis iis, qui Eudamidam ſequuturi erant, iter ingreditur. Poſteaquam Thebas copiae veniſſent, extra vrbem haud procul a gymnaſio caſtra locant.

πόλεως περὶ τὸ γυμνάσιον. ςασιαζόντων δὲ τῶν Θηβαίων, πολεμαρχοῦντες μὲν ἐτύγχανον Ισμηνίας τε καὶ * Λεοντιάδης. διάφοροι δὲ ὄντες ἀλλήλοις, καὶ ** ςρατηγὸς ἑκάτερος τῶν ἑταιρειῶν, ὁ μὲν Ισμηνίας διὰ τὸ μῖσος τῶν Λακεδαιμονίων οὐδὲ ἐπλησίαζε τῷ Φοιβίδᾳ· ὁ μέντοι Λεοντιάδης ἄλλως τε ἐθεράπευεν αὐτὸν, καὶ ἐπεὶ εἰσῳκειώθη, ἔλεγε τοιάδε·

ιή. "Εξεςί σοι, ὦ Φοιβίδα, τῇδε τῇ ἡμέρᾳ μέγιςα ἀγαθὰ τῇ σεαυτοῦ πατρίδι ὑπηργῆσαι. ἐὰν γὰρ ἀκολουθήσῃς ἐμοὶ σὺν τοῖς ὁπλίταις, εἰσάξω σε ἐγὼ ἐς τὴν ἀκρόπολιν. τούτου δὲ γενομένου, νόμιζε τὰς Θήβας παντάπασιν ὑπὸ τοῖς Λακεδαιμονίοις καὶ ἡμῖν, τοῖς ὑμετέροις φίλοις, ἔσεσθαι. καίτοι νῦν μὲν, ὡς ὁρᾷς, ἀποκεκήρυκται μηδένα μετὰ σοῦ ςρατεύειν Θηβαίων ἐπ' Ολυνθίους. ἐὰν δέ γε σὺ ταῦτα μεθ' ἡμῶν πράξῃς, εὐθύς σοι ἡμεῖς πολλοὺς μὲν ὁπλίτας, πολλοὺς δὲ ἱππέας συμπέμψομεν· ὥςτε πολλῇ δυνάμει βοηθήσεις τῷ ἀδελφῷ, καὶ ἐν ᾧ μέλλει ἐκεῖνος

locant. Diffidebant inter ſe Thebani, et forte tunc praetores militares erant Iſmenias ac Leontiades. Inimicitias illi mutuas exercebant, et quia ſuarum factionum vterque dux erat, Iſmenias propter odium, quo Lacedaemonios proſequebatur, ad Phoebidam non accedebat: Leontiades contra, vt officiis eum caeteroqui demulcebat, ita poſteaquam familiarior factus eſſet, huiuſmodi verbis eum compellat:

18. Offertur tibi, Phoebida, facultas hodierno die praeclariſſime de patria tua merendi. Nam ſi me cum armatura graui ſequaris, in arcem ego te introducam. Qua re confecta, velim exiſtimes, omnino Thebas in Lacedaemoniorum, ac noſtra, qui amico ſumus erga vos animo, poteſtate futuras. Iam quidem certe proclamatum edicto publico eſt, quod ipſe vides, ne quis Thebanorum aduerſus Olynthios tecum militatum eat. Ac ſi tu haec nobis adiuuantibus perficias, mox tibi nos et grauem armaturam non exiguam, et equites multos adiungemus. Quo fiet, vt magnis cum copiis fratri ſuppetias ſis laturus: adeoque interim, dum is

* Al. Λεοντίδης. ** Al. ἀρχηγὸς.

ἐκεῖνος Ολυνθον καταστρέφεσθαι, σὺ κατεστραμμένος ἔσῃ Θήβας, πολὺ μείζω πόλιν Ολύνθου.»

ιθ'. Ακούσας δὲ ταῦτα ὁ Φοιβίδας, ἀνεκαφίθη. καὶ γὰρ ἦν τῷ λαμπρόν τι ποιῆσαι πολὺ μᾶλλον, ἢ τῷ ζῆν ἐρασής· ἀ μέντοι λογιστικός γε, οὐδὲ φρόνιμος πάνυ ἐδόκει εἶναι. ἐπεὶ δὲ ὡμολόγησε ταῦτα, προορμῆσαι μὲν αὐτὸν ἐκέλευσεν, ὥσπερ ξυνεσκευασμένος ἦν ἐς τὸ ἀπιέναι· ἡνίκα δ' ἂν ἡ καιρὸς, πρός σε ἥξω ἐγὼ, ἔφη ὁ Λεοντιάδης, καὶ αὐτός σοι ἡγήσομαι.

κ'. Εν ᾧ δὲ ἡ μὲν βουλὴ ἐκάθητο, ἐν τῇ ἀγορᾶς στοᾷ, διὰ τὸ τὰς γυναῖκας ἐν τῇ Καδμείᾳ θεσμοφοριάζειν, θέρους δὲ ὄντος καὶ μεσημβρίας, πλείστη ἦν ἐρημία ἐν ταῖς ὁδοῖς, ἐν τούτῳ προσελάσας ἐφ' ἵππου ὁ Λεοντιάδης, ἀποστρέφει τὸν Φοιβίδαν, καὶ ἡγεῖται εὐθὺς ἐς τὴν ἀκρόπολιν. κατασήσας δὲ ἐκεῖ τὸν Φοιβίδαν καὶ τοὺς μετ' αὐτοῦ, καὶ παραδοὺς αὐτῷ τὴν βαλανάγραν τῶν πυλῶν, καὶ εἰπὼν μηδένα παριέναι ἐς τὴν ἀκρόπολιν, ὁντινα μὴ αὐτὸς κελεύοι, εὐθὺς ἐπορεύετο ἐς τὴν βουλήν. ἐλθὼν δ', εἶπε τάδε·

κα'. Οτι

is Olynthum occupabit, tu Thebas in poteſtatem rediges, vrbemOlyntho longe ampliorem.

19. His auditis, Phoebidas efferri animo coepit. Magis enim ſplendidi alicuius facinoris edendi deſiderio, quam vitae, ardebat: quamquam nec ingenii acrimonia, nec prudentia valere admodum videretur. Poſteaquam de re conueniſſet, progredi Leontiades eum iubet, ita vt tunc ad iter paratus erat. Vbi vero tempus erit, inquit, ad te veniam, et viae dux ero.

20. Itaque dum Senatus in

fori porticu ſederet, mulieribus in Cadmea Cerealia peragentibus, iamque maxima eſſet in viis hominum ſolitudo; (erat enim aeſtas, et meridies appetierat) equo aduectus Leontiades, ex itinere Phoebidam reuocat, eumque recta in arcem ducit. Eam quum Phoebidae, et militum, qui cum ipſo venerant, praeſidio muniuiſſet, ac portarum obicis clauem ei tradidiſſet, ac vt neminem, niſi ſe iubente, in arcem admitteret, edixiſſet: in Senatum deinde ſe confert, et hac oratione vtitur:

κα'. "Οτι μὲν, ὦ ἄνδρες, Λακεδαιμόνιοι κατέχουσι τὴν ἀκρόπολιν, μηδὲν ἀθυμεῖτε· οὐδενὶ γάρ φασι πολέμιοι ἥκειν, ὅσις μὴ πολέμου ἐρᾷ. ἐγὼ δὲ, τῶ νόμω κελεύοντος ἐξεῖναι πολεμάρχῳ λαβεῖν εἴ τις δοκεῖ ἄξια θανάτου ποιεῖν, λαμβάνω τουτονὶ Ισμηνίαν, ὡς πολεμοποιοῦντα. καὶ ὑμεῖς δὲ οἱ λοχαγοί τε καὶ οἱ μετὰ τούτων τεταγμένοι, ἀνίστασθε, καὶ λαβόντες ἀπάγετε τοῦτον ἔνθα εἴρηται."

κβ'. Οἱ μὲν δὴ εἰδότες τὸ πρᾶγμα, παρῆσάν τε καὶ ἐπείθοντο, καὶ ξυνελάμβανον· τῶν δὲ μὴ εἰδότων, ἐναντίων δὲ ὄντων τοῖς περὶ Λεοντιάδην, οἱ μὲν ἔφευγον εὐθὺς ἔξω τῆς πόλεως, δείσαντες μὴ ἀποθάνοιεν· οἱ δὲ καὶ οἴκαδε πρῶτον ἀπεχώρησαν. ἐπεὶ δὲ εἰργμένον τὸν Ισμηνίαν ἤθοντο* ἐν τῇ Καδμείᾳ, τότε δὴ ἀπεχώρησαν ἐς τὰς Ἀθήνας οἱ ταυτὰ γιγνώσκοντες Ανδροκλείδᾳ τε καὶ Ισμηνίᾳ, μάλιστα τετρακόσιοι.

κγ'. Ὡς δὲ ταῦτ' ἐπέπρακτο, πολέμαρχον μὲν ἀντὶ Ισμηνίου ἄλλον εἵλοντο· ὁ δὲ Λεοντιάδης εὐθὺς ἐς Λακεδαίμονα

21. Non est, cur terrori vobis sit, viri, arcem teneri a Lacedaemoniis: Quippe non hostili in quemquam animo se venisse aiunt, qui quidem non ipse belli cupidus sit. Ego vero, quum lex praetori militari potestatem faciat comprehendendi eius, qui mortis supplicio digna committere videtur; Ismeniam hunc, bellum molientem, capio: Vosque adeo cohortium ductores, et quotquot eis adiuncti estis, surgite; comprehensumque Ismeniam constitutum ad locum abducite.

22. Tum illi, quotquot erant rei conscii, accedere, dicto audientes esse, Ismeniam capere: caeteri, qui nihil horum scirent, ac Leontiadis factioni aduersarentur, partim mox vrbem fuga deserere, veriti ne interficerentur; partim prius se domum conferre. Verum postea quam Ismeniam in Cadmea teneri captum ii sensere, qui Androclidae Ismeniaeque partes sequebantur: Athenas se fuga recipiunt, maxime ad CCCC.

23. Quae vbi accidissent, Ismeniae loco praetor militaris alius deligitur, et Leontiades mox Lacedaemonem proficiscitur.

* Al. ἤθοντο οἱ ἐν τῇ Καδ.

δαίμονα ἐπορεύετο. εὗρε δ' ἐκεῖ τὰς μὲν Ἐφόρους καὶ τὸ πλῆθος τῆς πόλεως χαλεπῶς ἔχοντας τῷ Φοιβίδᾳ, ὅτι ἀ προσταχθέντα ὑπὸ τῆς πόλεως ταῦτα ἐπεπράχει. ὁ μέντοι Ἀγησίλαος ἔλεγεν, ὅτι εἰ μὲν βλαβερὰ τῇ Λακεδαίμονι πεπραχὼς εἴη, δίκαιος εἴη ζημιῶσθαι· εἰ δ' ἀγαθά, ἀρχαῖον εἶναι νόμιμον, ἐξεῖναι τὰ τοιαῦτα αὐτοσχεδιάζειν. αὐτὸ δὴ τοῦτ', ἔφη, προσήκει σκοπεῖν, πότερον ἀγαθὰ, ἢ κακά ἐστι τὰ πεπραγμένα.

κδ'. Ἔπειτα μέντοι ὁ Λεοντιάδης ἐλθὼν ἐς τοὺς ἐγκλήτους, ἔλεγε τοιάδε· "Ἄνδρες Λακεδαιμόνιοι, ὡς μὲν πολεμικῶς ὑμῖν εἶχον οἱ Θηβαῖοι, πρὶν τὰ νῦν πεπραγμένα γενέσθαι, καὶ ὑμεῖς ἐλέγετε. ἑωρᾶτε γὰρ ἀεὶ τούτους τοῖς μὲν ὑμετέροις δυσμενέσι φιλικῶς ἔχοντας, τοῖς δὲ ὑμετέροις φίλοις ἐχθροὺς ὄντας. ἆρ' ἐπὶ μὲν τὸν ἐν Πειραιεῖ δῆμον, πολεμιώτατον ὄντα ὑμῖν, ἆρ' ἠθέλησαν συστρατεύειν; Φωκεῦσι δὲ, ὅτι ὑμᾶς εὐμενεῖς ὄντας ἑώρων, ἐπεστράτευον; ἀλλὰ μὴν καὶ πρὸς Ὀλυνθίους εἰδότες

tur. Eo quum veniſſet, offendit et Ephoros et plebem vrbanam grauiter Phoebidae ſuccenſentes, quod iniuſſu reipublicae illa feciſſet. Ageſilaus tamen aiebat, aequum eſſe, vt ſupplicio multaretur, ſi quidem aliquid perpetraſſet, quod Lacedaemoni detrimento foret: Sin egiſſet ex vſu patriae, priſcum inſtitutum eſſe, vt aliquid eiuſmodi celeriter et iniuſſu facere liceat. Quapropter hoc ipſum, inquit, conſiderandum eſt, vtiliane ſint, an cum detrimento coniuncta, quae fuere geſta.

18. Tandem quum multi cum armis progredi non possent, ex vtraque verticis parte scuta supina lapidibus oppleta relinquebant. Coenati sunt Aegosthenis eo die, vti quidem poterant, quod agri Megarensis est oppidum. Postridie reuersi, arma sua tollunt: ac deinde singuli domum se, dimissi a Cleombroto, conferunt.

19. Athenienses, qui Lacedaemoniorum vires perspicerent, iamque non amplius apud Corinthum bellum geri viderent, sed Lacedaemonios Atticam

ἤδη παριόντες τὴν Ἀττικὴν οἱ Λακεδαιμόνιοι εἰς τὰς Θήβας ἐνέβαλλον, ὅτως ἐφοβοῦντο, ὥσε καὶ τῷ δυὼ στρατηγῶ, οἳ συνηπίσαθην τὴν τῦ Μέλλωνος ἐπὶ τὺς περὶ Λεοντιάδην ἐπανάσασιν, κρίναντες, τὸν μὲν ἀπέκτειναν, τὸν δὲ, ἐπεὶ ὐχ ὑπέμεινεν, ἐφυγάδευσαν.

κ'. Οἱ δ' αὖ Θηβαῖοι, καὶ αὐτοὶ φοβύμενοι, εἰ μηδένες ἄλλοι ἢ αὐτοὶ πολεμήσοιεν τοῖς Λακεδαιμονίοις, τοιόνδέ τι εὑρίσκυσι μηχάνημα· πείθυσι τὸν ἐν ταῖς Θεσπιαῖς ἁρμοσὴν Σφοδρίαν, χρήματα δόντες, ὡς ὑπωπτεύετο, ἐμβαλεῖν εἰς τὴν Ἀτ]ικὴν, ἵν' ἐκπολεμήσειε τὺς Ἀθηναίυς πρὸς τὺς Λακεδαιμονίυς. κἀκεῖνος πειθόμενος αὐτοῖς, προσποισάμενος τὸν Πειραιᾶ καταλήψεθαι, ὅτι δὴ ἀπύλωτος ἦν, ἦγεν ἐκ τῶν Θεσπιῶν πρωὶ δειπνήσαντας τὺς στρατιώτας, φάσκων, πρὸ ἡμέρας κατανύσειν εἰς τὸν Πειραιᾶ.

κα'. Θριάσι δ' αὐτῷ ἡμέρα ἐπεγένετο, καὶ ὧδὲ ταῦτ' ἐποίησεν, ὥσε λαθεῖν· ἀλλ' ἐπεὶ ἀπετέτραπ]ο, βοσκήματα διήρπασε, καὶ οἰκίας ἐπόρθησε. τῶν δὲ ἐντυχόντων τινὲς τῆς

cam praetergreſſos, Thebas inuaſiſſe: tanto metu exanimati ſunt, vt duos illos praetores ſuos, qui conſpirationis a Mellone aduerſus Leontiadem initae conſcii fuerant, in iudicium arceſſerent, et alterum quidem morte multarent; alterum vero, quia iudicium expectare noluerat, in exilium agerent.

20. Thebani autem, quum et ipſi metuerent, ne extra ſe alii nulli bellum Lacedaemoniis facerent, huiuſmodi quendam dolum reperiunt: Sphodriae Theſpiis praefecto largitionibus perſuadent, vti quidem erat ſuſpicio, vt Atticam cum copiis inuaderet, ac Athenienſes ad bellum aduerſus Lacedaemonios ſuſcipiendum proritaret. Is quum obtemperaret eis, ac Piraeeum ſe capere velle ſimularet, nullis adhuc portis occluſum: milites ſummo mane, cibo ſumto, Theſpiis educebat, ac ſe ante diem in Piraeeum itinere confecto peruenturum aiebat.

21. Verum ad Thria quum acceſſiſſet, dies exortus eſt; ac ne hoc quidem perfecit, vt eius conſilium ignoraretur; ſed vbi reuerti coepiſſet, pecora diripuit, et domos ſpoliauit. Nonnulli ex eis, qui in ipſum inciderant, noctu in vrbem

τῆς νυκτὸς φεύγοντες εἰς τὸ ἄστυ, ἀπήγγελλον τοῖς Αθηναίοις, ὅτι στράτευμα πάμπολυ προσήει. οἱ μὲν δὴ ταχὺ ὁπλισάμενοι καὶ ἱππεῖς καὶ ὁπλῖται, ἐν φυλακῇ τῆς πόλεως ἦσαν.

κβ'. Τῶν δὲ Λακεδαιμονίων καὶ πρέσβεις Αθήνησιν ἐτύγχανον ὄντες, παρὰ Καλλίᾳ τῷ προξένῳ, Ετυμοκλῆς τε, καὶ Αριστόλοχος, καὶ Ωκελλος· οὓς οἱ Αθηναῖοι, ἐπεὶ τὸ πρᾶγμα ἠγγέλθη, συλλαβόντες ἐφύλασσον, ὡς καὶ τούτους συνεπιβουλεύοντας. οἱ δὲ ἐκπεπληγμένοι τε ἦσαν τῷ πράγματι, καὶ ἀπελογοῦντο, ὡς οὐκ ἄν ποτε μωροὶ οὕτως ἦσαν, ὡς, εἰ ᾔδεισαν καταλαμβανόμενον τὸν Πειραιᾶ, ἐν τῷ ἄστει ἂν ὑποχειρίους αὐτοὺς παρεῖχον· καὶ ταῦτα, παρὰ τῷ προξένῳ, ὃ τάχιστ' ἂν εὑρέθησαν.

κγ'. Ετι δ' ἔλεγον, ὡς εὔδηλον καὶ τοῖς Αθηναίοις ἔσοιτο, ὡς οὐδὲ ἡ πόλις τῶν Λακεδαιμονίων ταῦτα συνήδει. Σφοδρίαν γὰρ εὖ εἰδέναι ἔφασαν ὅτι ἀπολωλότα πεύσοιντο ὑπὸ τῆς πόλεως. κἀκεῖνοι μὲν, κριθέντες μηδὲν συνειδέναι, ἀφείθησαν.

κδ'. Ci

bem fugientes, nuntiabant Athenienſibus, magnas accedere copias. Quamobrem, celeriter correptis armis, tum equites tum grauis armaturae pedites vrbem cuſtodiebant.

22. Forte tunc et Lacedaemoniorum legati Athenis apud Calliam, hoſpitem publicum ciuitati ſuae, aderant; Etymocles, Ariſtolochus, Ocellus. Eos Athenienſes, hac re nuntiata, comprehenſos cuſtodiebant; quaſi qui et ipſi cum aliis inſidiati eſſent. At illi perturbati re noua, purgabant ſe; nunquam ita ſe fatuos futuros fuiſſe, vt, ſi praeſciuiſſent, capiendum eſſe Piraeeum, ſeipſos in vrbe Athenienſium poteſtati traderent, praeſertim apud hoſpitem ciuitatis ſuae publicum, vbi quamprimum inuenti fuiſſent.

23. Addebant praeterea, plane cognituros ipſos etiam Athenienſes, ne Lacedaemoniorum quidem rempublicam harum rerum conſciam eſſe. Nam ſcire ſe, futurum omnino, vt Sphodriam a republica ſua morte multatum aliquando audiant. Itaque iudicati minime conſcii facinoris huius eſſe, dimiſſi ſunt.

24. Ephori

κδ'. Οἱ δ' Ἔφοροι ἀνεκάλεσάν τε τὸν Σφοδρίαν, καὶ ἀπῆγον θανάτῳ. ἐκεῖνος μέντοι φοβούμενος, οὐχ ὑπήκουσεν· ὅμως δὲ, καίπερ οὐχ ὑπακούων εἰς τὴν κρίσιν, ἀπέφυγε. καὶ πολλοῖς ἔδοξεν αὕτη δὴ ἐν Λακεδαιμονίοις ἀδικώτατα δίκη κριθῆναι. ἐγένετο δὲ τοῦτο αἴτιον.

κε'. Ἦν υἱὸς τῷ Σφοδρίᾳ ἡλικίαν τε ἔχων τὴν ἄρτι ἐκ παίδων, Κλεώνυμος ὄνομα, καὶ ἅμα καλλιστός τε καὶ εὐδοκιμώτατος τῶν ἡλίκων. τοῦτον δὲ ἐρῶν ἐτύγχανεν Ἀρχίδαμος ὁ Ἀγησιλάου. οἱ μὲν οὖν τοῦ Κλεομβρότου φίλοι, ἅτε ἑταῖροι ὄντες τῷ Σφοδρίᾳ ἀπολυτικῶς αὐτοῦ εἶχον, τὸν δὲ Ἀγησίλαον καὶ τοὺς ἐκείνου φίλους ἐφοβοῦντο, καὶ τοὺς διὰ μέσου δέ· δεινὰ γὰρ ἐδόκει πεποιηκέναι.

κς'. Ἐκ τούτου δὲ ὁ μὲν Σφοδρίας εἶπε πρὸς τὸν Κλεώνυμον· ἔξεστί σοι, ὦ υἱὲ, σῶσαι τὸν πατέρα, δεηθέντι Ἀρχιδάμου, Ἀγησίλαον εὐμενῆ ἐμοὶ εἰς τὴν κρίσιν παρασχεῖν. ὁ δὲ, ἀκούσας, ἐτόλμησεν ἐλθεῖν πρὸς τὸν Ἀρχίδαμον, καὶ ἐδεῖτο αὐτὸν σωτῆρα τοῦ πατρὸς γενέσθαι. ὁ μέντοι

24. Ephori autem, Sphodria reuocato, capitis in eum iudicium conſtituerunt. Itaque metu conſternatus, non paruit: et quamquam ne ad iudicium quidem compareret, nihilominus eſt abſolutus. Quae res multis viſa eſt iniquiſſime apud Lacedaemonios eſſe iudicata. Fuit autem haec omnino cauſſa.

25. Erat Sphodriae filius Cleonymus, qui et recens e pueris exceſſerat, et inter aequales ſuos omnium erat tum formoſiſſimus, tum probatiſſimis moribus. Hunc Archidamus Ageſilai filius amabat: Propendebant autem in hoc amici Cleombroti, ſodales Sphodriae, vt abſolueretur: verum et Ageſilaum cum ſuis amicis metuebant, et qui inter vtroſque quaſi medii erant: exiſtimabatur enim atrociter deliquiſſe.

26. Quamobrem Sphodrias, ad Cleonymum: Potes, inquit, patrem ſeruare, fili, ſi Archidamum rogaueris, vt Ageſilaum mihi propitium hoc in iudicio reddat. Quibus ille auditis, tantum audaciae ſibi ſumſit; vt Archidamum accederet, eumque rogaret, patrem vti ſibi ſeruare incolumem vellet. Archidamus

τοι Αρχίδαμος ἰδὼν μὲν τὸν Κλεώνυμον κλαίοντα, συνεδάκρυε παρεστώς.

κζ'. Ακούσας δὲ δεομένου, ἀπεκρίνατο· ἀλλ', ὦ Κλεώνυμε, ἴσθι ὅτι ἐγὼ μὲν τῷ ἐμῷ πατρὶ οὐδ' ἀντιβλέπειν δύναμαι, ἀλλ' ἄν τι βούλωμαι διαπράξασθαι ἐν τῇ πόλει, πάντων μᾶλλον ἢ τὸν πατρὸς δέομαι. ὅμως δ', ἐπεὶ σὺ κελεύεις, νόμιζε πᾶσάν με προθυμίαν συνέξειν ταῦτά σοι πραχθῆναι.

κη'. Καὶ τότε μὲν δὴ ἐκ τοῦ *Φιλιτίου εἰς τὸν οἶκον ἐλθὼν ἀνεπαύετο. τῇ δ' ὕστερον ἀναστὰς, ἐφύλαττε μὴ λάθῃ αὐτὸν ὁ πατὴρ ἐξελθών. ἐπεὶ δὲ εἶδεν αὐτὸν ἐξιόντα, πρῶτον μὲν εἴ τις τῶν πολιτῶν παρῆν, **παρίει τούτους διαλέγεσθαι αὐτῷ· ἔπειτα δ', εἴ τις ξένος, ***ἔπειτα δὲ καὶ τῶν θεραπόντων τῷ δεομένῳ παρεχώρει. τέλος δ', ἐπεὶ ἀπὸ τοῦ Εὐρώτα ἀπιὼν ὁ Αγησίλαος εἰσῆλθεν οἴκαδε, ἀπιὼν ὤχετο οὐδὲ προσελθών. καὶ τῇ ὑστεραίᾳ δὲ ταυτὰ ταῦτα ἐποίησεν.

κθ'. Ο

chidamus vbi Cleonymum flentem vidit, adstabat et ipse lacrymans.

27. Posteaquam autem obsecrantem audiisset: Enimuero, inquit, scito, mi Cleonyme, non posse me patrem vel adspicere: sed si quid in republica impetrare cupio, quosuis potius, quam patrem appello. Nihilominus, quia tu iubes, existimato me omne studium cum aliis adhibiturum, vt voti compos fias.

28. Ac tum quidem ex philitio domum reuersus, quieti se dabat. Mane posteaquam surrexisset, obseruabat, ne clam ipso pater exiret. Vbi iam exeuntem videbat, primum si qui cives aderant, eis colloquendi cum ipso facultatem concedebat: deinde si qui hospites, ac si qui denique ministri essent, qui ipsum conuenire cuperent, cedebat omnibus. Tandem quum, discedens Agesilaus ab Eurota, domum suam ingrederetur: Archidamus etiam patre non conuento abibat. Eadem faciebat et postridie.

29. Suspi-

* Al. φιδιτίου. ** Al. παρῆνει.
*** Al. ὕστερα δ' εἴ τις τῶν δεομένων παρεχώρει τῶν θεραπόντων.

κθ'. Ο δ' Αγησίλαος ὑπώπτευε μὲν ὧν ἕνεκεν ἐφοίτα, ὐ μέντοι ἠρώτα, ἀλλ' εἴα αὐτόν. ὁ δ' αὖ Αρχίδαμος ἐπεθύμει μὲν, ὥσπερ εἰκὸς, ὁρᾶν τὸν Κλεώνυμον· ὅπως μέντοι ἔλθοι πρὸς αὐτὸν, μὴ διειλεγμένος τῷ πατρὶ περὶ ὧν ἐκεῖνος ἐδεήθη, ὐκ εἶχεν. οἱ δὲ ἀμφὶ τὸν Σφοδρίαν, ὐχ ὁρῶντες τὸν Αρχίδαμον ἰόντα, πρόσθεν δὲ θαμίζοντα, ἐν παντὶ ἦσαν, μὴ λελοιδορημένος εἴη ὑπ' Αγησιλάυ.

λ'. Τέλος μέντοι ὁ Αρχίδαμος ἐτόλμησε προσελθεῖν, καὶ εἰπεῖν· ὦ πάτερ, Κλεώνυμός με κελεύει σὺ δεηθῆναι, σῶσαί οἱ τὸν πατέρα· καὶ ἐγώ σε ταῦτα δέομαι, εἰ δυνατόν. ὁ δ' ἀπεκρίνατο· ἀλλά σοι μὲν ἔγωγε συγγνώμην ἔχω. αὐτὸς μέντοι ὅπως συγγνώμης τύχοιμι παρὰ τῆς πόλεως, ἄνδρα μὴ καταγιγνώσκων ἀδικεῖν, οἷς * ἐχρημάτισατο ἐπὶ κακῷ τῆς πόλεως, ὐχ ὁρῶ.

λα'. Ο δὲ τότε μὲν πρὸς ταῦτα ὐδὲν εἶπεν, ἀλλ' ἡττηθεὶς τῷ δικαίῳ, ἀπῆλθεν. ὕστερον δὲ ἢ αὐτὸς νοήσας, ἢ διδαχθεὶς ὑπό τυ, εἶπεν ἐλθών· ἀλλ' ὅτι

29. Suſpicabatur autem Ageſilaus, quamobrem ita ſe ſectaretur: non tamen eum interrogabat, ſed abire patiebatur. Interim Archidamus tenebatur quidem ille, ceu par eſt credere, videndi Cleonymi deſiderio: verum vt eum accederet, necdum expoſitis iis patri, quae Cleonymus poſtulauerat, imperare ſibi minime poterat. At amici Sphodriae quum Archidamum non amplius Cleonymum, cui ante id temporis frequens adfuerat, accedere viderent: ne eſſet obiurgatus ab Ageſilao, ſollicite verebantur.

30. Tandem Archidamus conuenire patrem auſus eſt, eumque ſic compellare: Iubet, mi pater, Cleonymus, vti te rogem, patris ſui ſalutem tuearis. Idem vt fiat, ego quoque abs te peto, ſi fieri poteſt. Cui Ageſilaus: Equidem, ait, ignoſco tibi: verum quo pacto a republica ſim impetraturus, vt ignoſcat mihi, ſi non ob iniuſtum quaeſtum hominem condemnavero, quem is cum detrimento reipublicae fecit, non video.

31. Ad ea tum quidem nihil dixit Archidamus, ſed aequitate reſponſi victus, diſceſſit: verum deinceps ſiue re per ſeipſum animaduerſa, ſeu edoctus ab

* Al. *ἰχρήσατο.*

ὅτι μὲν, ὦ πάτερ, εἰ μηδὲν ἠδίκει Σφοδρίας, ἀπέλυσας ἂν αὐτὸν, οἶδα· νῦν δὲ, εἰ ἠδίκηκέ τι, ἡμῶν ἕνεκεν συγγνώμης παρὰ σοῦ τυχέτω. ὁ δὲ εἶπεν· ἐκὼν ἂν μέλλῃ καλὰ ταῦτ' ἡμῖν εἶναι, ἕτως ἔχω. ὁ μὲν δὴ ταῦτα ἀκούσας, μάλα δύσελπις ὢν ἀπῄει.

λβ'. Τῶν δὲ τοῦ Σφοδρίου φίλων τις διαλεγόμενος Ετυμοκλεῖ, εἶπεν· ὑμεῖς μὲν, οἶμαι, ἔφη, πάντες οἱ Αγησιλάου φίλοι ἀποκτενεῖτε τὸν Σφοδρίαν. καὶ ὁ Ετυμοκλῆς, μὰ Δία ἔκ ἄρα ταυτὰ, ἔφη, ποιήσομεν Αγησιλάῳ; ἐπεὶ ἐκεῖνός γε πρὸς πάντας, ὅσοις διείλεκται, ταῦτα λέγει, μὴ ἀδικεῖν μὲν Σφοδρίαν ἀδύνατον εἶναι· ὅτις μέντοι παῖς τε ὢν, καὶ παιδίσκος, καὶ ἡβῶν πάντα τὰ καλὰ ποιῶν διετέλεσε, χαλεπὸν εἶναι τοιοῦτον ἄνδρα ἀποκτιννύναι. τὴν γὰρ Σπάρτην τοιούτων δεῖσθαι στρατιωτῶν.

λγ'. Ο δ' ἀκούσας ταῦτα, ἀπήγγειλε τῷ Κλεωνύμῳ. ὁ δὲ ἡσθεὶς, εὐθὺς ἐλθὼν πρὸς τὸν Αρχίδαμον, εἶπεν· ὅτι μὲν ἡμῶν ἐπιμελῇ, ἤδη ἴσμεν· εὖ δ' ἐπίσω, Αρχίδαμε, ὅτι

ab alio quodam: Equidem, inquit, scio, mi pater, liberaturum te fuisse culpa Sphodriam, si nihil designasset iniqui. Nunc si quid deliquit, velim nostra caussa veniam abs te consequatur. Ad quae Agesilaus: Si honestum hoc nobis erit, inquit, esto sane. His auditis, Archidamus admodum exigua cum spe discedebat.

32. Secundum illa quum quidam amicus Sphodriae sermonem cum Etymocle haberet: Vos, inquit, omnes amici Agesilai, vt equidem arbitror, capitis poena in Sphodriam animaduertetis. Cui Etymocles: Profecto, ait, cur non idem, quod Agesilaus, faciamus? Nam is ad omnes, quibuscum hac de re loquitur, fieri non posse dicit, quin Sphodrias egerit iniuste: verum graue esse, virum eiusmodi interfici, qui et puer, et adolescens, et iuuenis semper honestissime se gesserit. Spartam enim huiusmodi militibus indigere.

33. Quae ille audita Cleonymo refert. Is mirifice delectatus, mox ad Archidamum adcurrens: Esse nos, inquit, tibi curae, iam intelligimus. Te quidem certe scire volumus, mi Archidame, nos quo-

ὅτι καὶ ἡμεῖς πειρασόμεθα ἐπιμελεῖσθαι, ὡς μήποτε σὺ ἐπὶ τῇ ἡμετέρᾳ φιλίᾳ αἰσχυνθῇς. καὶ οὐκ ἐψεύσατο, ἀλλὰ καὶ ζῶν ἅπαντ' ἐποίει, ὅσα καλὰ ἐν τῇ Σπάρτῃ, καὶ ἐν Λεύκτροις πρὸ τοῦ βασιλέως μαχόμενος σὺν Δείνωνι τῷ πολεμάρχῳ, προσπεσὼν πρῶτος τῶν πολιτῶν, ἐν μέσοις τοῖς πολεμίοις ἀπέθανε. καὶ ἠνίασε μὲν εἰς τὰ ἔσχατα Ἀρχίδαμον· ὡς δὲ ὑπέσχετο, οὐ κατήσχυνεν, ἀλλὰ μᾶλλον ἐκόσμησε. τοιούτῳ μὲν δὴ τρόπῳ Σφοδρίας ἀπέφυγε.

λδ'. Τῶν μέντοι Ἀθηναίων οἱ βοιωτιάζοντες ἐδίδασκον τὸν δῆμον, ὡς οἱ Λακεδαιμόνιοι οὐχ ὅπως τιμωρήσαιντο, ἀλλὰ καὶ ἐπαινέσαιεν τὸν Σφοδρίαν, ὅτι ἐπεβούλευσε ταῖς Ἀθήναις. καὶ ἐκ τούτου οἱ Ἀθηναῖοι ἐπύλωσάν τε τὸν Πειραιᾶ, ναῦς τε ἐναυπηγοῦντο, τοῖς τε Βοιωτοῖς ἐβοήθουν πάσῃ προθυμίᾳ.

λε'. Οἱ δ' αὖ Λακεδαιμόνιοι φρουράν τε ἔφηναν ἐπὶ τοὺς Θηβαίους, καὶ τὸν Ἀγησίλαον νομίσαντες φρονιμώτερον ἂν σφίσι τοῦ Κλεομβρότου ἡγεῖσθαι, ἐδέοντο αὐτοῦ ἄγειν τὴν

que daturos enixe operam, vt nunquam tibi amicitia noſtra ſit dehoneſtamento. Qua quidem in re non eum fefellit. Nam et quamdiu viueret, omnia, quae Spartae praeclara ducuntur, praeſtitit; et apud Leuctra dimicans ante regem vna cum Dinone polemarcho, quum primus e ciuibus hoſtem adortus eſſet, medios inter hoſtes occubuit. Qua re attulit quidem ille moerorem Archidamo extremum, non tamen ei dedecori fuit, vti pollicitus erat, ſed potius ornamento. Huiuſmodi quodam modo Sphodrias fuit abſolutus.

34. Tum vero quotquot apud Athenienſes Boeotis fauebant, ſignificare populo, tantum abeſſe, vt in Sphodriam Lacedaemonii animaduertant: vt eundem etiam collaudent, quod Athenis inſidiatus ſit. Itaque ſecundum ea Piraeeum portis occludunt, naues aedificant, animorum alacritate ſumma Boeotis opem ferunt.

35. Lacedaemonii vero nouos aduerſus Thebanos delectus habendos eſſe decernunt: et quia prudentius Ageſilaum copias ducturum exiſtimarent, quam feciſſet Cleombrotus: hunc ipſum orant, exercitum

vti

τὴν στρατιάν. ὁ δὲ εἰπὼν, ὅτι ἡδὺ ἂν, ὃ τῇ πόλει δοκοίη, ἀντείπειεν, παρεσκευάζετο εἰς τὴν ἔξοδον.

λς'. Γιγνώσκων δὲ, ὅτι εἰ μή τις προκαταλήψοιτο τὸν Κιθαιρῶνα, ἃ ῥᾴδιον ἔσαι εἰς τὰς Θήβας ἐμβαλεῖν, μαθὼν πολεμίους τοὺς *Κλητορίους τοῖς Ορχομενίοις, καὶ ξενικὸν τρέφοντας, ἐκοινολογήσατο αὐτοῖς, ὅπως γένοιτο τὸ ξενικὸν αὐτῷ, εἴ τι δεηθείη.

λζ'. Επεὶ δὲ τὰ διαβατήρια ἐγένετο, πέμψας, πρὶν ἐν Τεγέᾳ αὐτοὺς εἶναι, πρὸς τὸν ἄρχοντα τῶν παρὰ τοῖς Κλητορίοις ξένων, καὶ μισθὸν δοὺς μηνὸς αὐτοῖς, ἐκέλευσε προκαταλαβεῖν αὐτοὺς τὸν Κιθαιρῶνα. τοις δ' Ορχομενίοις εἶπεν, ἕως στρατεία εἴη, παύσασθαι τῶ πολέμω. εἰ δέ τις πόλις, στρατιᾶς ὅσης ἔξω, ἐπὶ πόλιν στρατεύσοι, ἐπὶ ταύτην ἔφη πρῶτον ἰέναι κατὰ τὸ δόγμα τῶν συμμάχων.

λη'. Επεὶ δὲ ὑπερέβαλεν εἰς τὸν Κιθαιρῶνα, ἐλθὼν εἰς Θεσπιὰς, ἐκεῖθεν ὁρμηθεὶς, ἦει ἐπὶ τὴν τῶν Θηβαίων

vti duceret. Ille quum diceret, nulla ſe in re, quae reipublicae placeret, aduerſaturum: ad profectionem ſe comparabat.

36. Quia vero animaduerteret, non facile quenquam Thebanum in agrum irrupturum, qui non Cithaeronem ante cepiſſet: certior autem factus eſſet, Cletorios aduerſus Orchomenios bellum gerere, militemque conductitium alere; cum eis egit, vt copias illas conductitias ſibi concederent, ſi eis opus eſſet.

37. Quamprimum exta de traducendis copiis ei fauſta obtigiſſent, antequam Tegeam cum eis peruenisſet, ad conductitii militis apud Cletorios ducem mittit, datoque ipſis ſtipendio menſtruo, Cithaeronem vt occuparent, iubet. Simul Orchomeniis denuntiat, vt huius expeditionis tempore ipſi a bello abſtinerent. Quod ſi qua ciuitas interim, dum peregre abeſſent copiae, adverſus ciuitatem arma caperet; eam ſe primum, ait, de ſententia decreti, a ſociis facti, aggreſſurum.

38. Poſteaquam Cithaeronem ſuperaſſet, ac Theſpias veniſſet: inde productis copiis, Theba-

* Al. Κλειτορίους.

Βαίων χώραν. εὑρὼν δὲ ἀποτεταφρευμένον τε καὶ ἀπεσαυρωμένον κύκλῳ τὸ πεδίον, καὶ τὰ πλείστα ἄξια τῆς χώρας, στρατοπεδευόμενος ἄλλοτε ἄλλη, καὶ μετ' ἄριστον ἐξάγων, ἐδήου τῆς χώρας τὰ πρὸς ἑαυτῷ *ἔξω τῶν σαυρωμάτων καὶ τῆς τάφρου. οἱ γὰρ πολέμιοι, ὅπου ἐπιφαίνοιτο ὁ Ἀγησίλαος, ἀντιπαρήεσαν αὐτῷ ἐντὸς τοῦ χαρακώματος ὡς ἀμυνόμενοι.

λθ'. Καί ποτε ἀποχωροῦντος αὐτοῦ ἤδη τὴν ἐπὶ τὸ στρατόπεδον, οἱ τῶν Θηβαίων ἱππεῖς τε ὡς ἀφανεῖς ὄντες, ἐξαίφνης διὰ τῶν ὡδοποιημένων τοῦ χαρακώματος ἐξόδων ἐξελαύνουσι, καὶ, οἷα δὴ ἀπιόντων πρὸς δεῖπνον, καὶ συσκευαζομένων τῶν πελταστῶν, τῶν δὲ ἱππέων, τῶν μὲν ἔτι καταβεβηκότων, τῶν δ' ἀναβαινόντων, ἐπελαύνουσι· καὶ τῶν τε πελταστῶν συχνοὺς κατέβαλον, καὶ τῶν ἱππέων Κλέωνα καὶ Ἐπιλυτίδαν Σπαρτιάτας, καὶ τῶν περιοίκων ἕνα Εὔδικον, καὶ τῶν Ἀθηναίων τινὰς φυγάδας, ὅπου ἀναβεβηκότας ἐπὶ τοὺς ἵππους.

μ'. Ὡς δὲ ἀνασρέψας σὺν τοῖς ὁπλίταις ἐβοήθησεν ὁ Ἀγησίλαος, οἵ τε ἱππεῖς ἤλαυνον ἐναντίοι τοῖς ἱππεῦσι,

Thebanorum in agrum pergebat. Quumque planitiem, et eximia quaeque regionis loca, vndique foſſa valloque munita reperiret: alias alibi locatis caſtris, et eductis a prandio copiis, ea loca populando vaſtabat, quae verſus ipſum extra vallum foſſamque ſita erant. Nam hoſtes, vbicunque ſe Ageſilaus oſtenderet, intra vallum ei occurrebant, vim propulſaturi.

39. Et accidit aliquando vt, ipſo ad caſtra reuertente, Thebani equites, ab hoſtibus non conſpecti, ſubito per exitus in vallo factos erumperent; eoque tempore, quo cetrati ad coenam diſcedebant, ac iam illam parabant, equites autem partim ab equis deſcenderant, partim in eos conſcendebant; impetum in hoſtes facerent, ac non paucos e cetratis proſternerent, Cleonemque et Epilytidam, Spartanos equites, cum Eudico, qui ex vrbi Spartanae finitimis erat, cumque nonnullis Athenienſibus in exilio degentibus, qui nondum equos aſcenderant, interimerent.

40. Quum autem Ageſilaus, cum graui armatura conuerſus, opem ſuis ferret, equiteſque in aduerſum

* Al. omittunt ἔξω.

ἱππεῦσι, καὶ τὰ δέκα ἀφ' ἥβης ἐκ τῶν ὁπλιτῶν ἔθει σὺν αὐτοῖς. οἱ μέντοι τῶν Θηβαίων ἱππεῖς ἐώκεσαν ὑποπεπλωκόσι πῃ ἐν μεσημβρίᾳ. ὑπέμενον μὲν γὰρ τοῖς ἐπελαύνουσιν, ὡς ἐξακοντίζειν τὰ δόρατα, ἐξικνοῦντο δ' οὔ. καὶ ἀναστρέφοντες δὲ, ἐκ τούτου ἀπέθανον αὐτῶν δώδεκα.

μά'. Ὡς δὲ κατέγνω ὁ Ἀγησίλαος, ὅτι ἀεὶ μετ' ἄριστον οἱ πολέμιοι ἐφαίνοντο, θυσάμενος ἅμα τῇ ἡμέρᾳ, ἦγεν ὡς οἷόν τε τάχιστα, καὶ παρῆλθε δι' ἐρημίας ἔσω τῶν χαρακωμάτων. ἐκ δὲ τούτου τὰ ἐντὸς ἔτεμνε καὶ ἔκαε μέχρι τοῦ ἄστεος. ταῦτα δὲ ποιήσας, καὶ πάλιν ἀποχωρήσας εἰς Θεσπιὰς, ἐτείχιζε τὸ ἄστυ αὐτοῖς· καὶ ἐκεῖ μὲν Φοιβίδαν κατέλιπεν ἁρμοστὴν, αὐτὸς δὲ ὑπερβαλὼν πάλιν εἰς τὰ Μέγαρα, τοὺς μὲν ξυμμάχους διῆκε, τὸ δὲ πολιτικὸν στράτευμα ἐπ' οἴκου ἀπήγαγεν.

μβ'. Ἐκ δὲ τούτου ὁ Φοιβίδας ἐκπέμπων μὲν λῃστήρια, ἔφερε καὶ ἦγε τοὺς Θηβαίους, καταδρομὰς δὲ ποιούμενος, ἐκάκωγει τὴν χώραν. οἱ δ' αὖ Θηβαῖοι ἀντιτιμωρεῖσθαι βουλό-

aduerſum hoſtium equitatum irruerent, quos ex graui armatura curſu ſubſequebantur, quotquot ab annis decem iam ex ephebis exceſſerant: tum vero Thebanorum equites ſimiles erant iis, qui paulo facti ſunt in meridie languidiores. Quippe tamdiu expectabant eos, qui adequitabant, donec haſtas eiacularentur, non tamen eos contingerent. Et in conuertendo perierunt hinc ex eis duodecim.

41. Poſteaquam Ageſilaus animaduertit, ſemper a prandio ſe hoſtes oſtentare: prima luce, facta re ſacra, quam poterat celerrime ſuos ducit, ac loco deſerto intra vallum penetrat. Deinde omnia, quae vallo continebantur, ad ipſas vſque Thebas ferro et igni vaſtat. Qua re patrata, Theſpias reuerſus, moenibus oppidum illud munit; relictoque ibidem Phoebida praefecto, Megara traductis copiis, ſocios dimittit, ciuium exercitum ipſe domum abducit.

42. Ex eo tempore Phoebidas praedonum manipulos emittens, Thebanorum res ferebat, agebat: et excurſionibus agrum ipſorum vexabat. Eius iniurias Thebani quum vindi-

βυλόμενοι, στρατεύσει πανδημεὶ ἐπὶ τὴν τῶν Θεσπιέων χώραν. ἐπεὶ δ' ἦσαν ἐν τῇ χώρᾳ, ὁ Φοιβίδας σὺν τοῖς πελτασταῖς προσκείμενος, ὑδαμῇ εἴα αὐτὰς ἀποσκεδάννυσθαι τῆς φάλαγγος· ὥστε οἱ Θηβαῖοι μάλα ἀχθόμενοι τῇ ἐμβολῇ, θᾶσσον τὴν ἀποχώρησιν ἐποιοῦντο. καὶ οἱ ὁρεωκόμοι δὲ, ἀπορριπτοῦντες ὃν εἰλήφεσαν καρπὸν, ἀπήλαυνον οἴκαδε. ὕτω δεινὸς φόβος τῷ στρατεύματι ἐνέπεσεν.

μγ'. Ὁ δὲ ἐν τούτῳ θρασέως ἐπέκειτο, περὶ αὐτὸν μὲν ἔχων τὸ πελτασικὸν, τὸ δὲ ὁπλιτικὸν ἐν τάξει ἕπεσθαι κελεύσας. καὶ ἐγένετο ἐν ἐλπίδι τροπὴν τῶν ἀνδρῶν ποιήσασθαι. αὐτός τε γὰρ ἐρρωμένως ἡγεῖτο, καὶ τοῖς ἄλλοις ἅπεσθαι τῶν ἀνδρῶν παρεκελεύετο, καὶ τοὺς τῶν Θεσπιέων ὁπλίτας ἀκολουθεῖν ἐκέλευεν.

μδ'. Ὡς δὲ ἀποχωροῦντες οἱ τῶν Θηβαίων ἱππεῖς ἐπὶ νάπει ἀδιαβάτῳ ἐγίγνοντο, πρῶτον μὲν ἠθροίσθησαν, ἔπειτα δὲ ἀνέστρεφον, διὰ τὸ ἀπορεῖν ὅποι διαβαῖεν. οἱ μὲν οὖν πελτασταὶ καὶ ὀλίγοι ὄντες οἱ πρῶτοι, φοβηθέντες αὐτοὺς,

eare vellent, vniuerſis cum copiis Theſpienſium in agrum expeditionem ſuſcipiunt. Ingreſſi iam ditionem ipſorum erant, quum Phoebidas eis vna cum cetratis incumbens, quo minus a phalange vſquam diſpergerentur, impediebat. Quo factum, vt Thebani grauiter ſe hoſtilem agrum inuaſiſſe ferrent; citiusque, quam vellent, recederent. Quin et muliones, abiectis, quas collegerant, frugibus, domum mulos agebant. Tantus exercitum metus inuaſerat.

43. Vrgebat tum hoſtem audacter Phoebidas, quum cetratorum copias ſecum haberet, grauem autem armaturam ſequi agmine inſtructo iuberet. Nam in ſpem veniebat, poſſe ſe Thebanos in fugam vertere: quod et ipſe totis viribus praecederet, et alios hortaretur ad inuadendum eos, gravemque Theſpienſium armaturam ſubſequi iuberet.

44. Equites Thebani quum, pedem referentes, ad inuium quendam ſaltum peruenirent: primum ſe colligebant, deinde ſe in hoſtem conuertebant, quod tranſeundi et euadendi nulla eſſet copia. Tum primi ex cetratis, qui pauci eſſent numero, metu perterriti, in fu-

gam

τὰς, ἔφυγον· οἱ δὲ ἱππεῖς αὖ ὡς τᾶτο εἶδον, ἐδιδάχθησαν ὑπὸ τῶν φευγόντων ἐπιθέσθαι αὐτοῖς.

με΄. Καὶ ὁ μὲν δὴ Φοιβίδας, καὶ δύο ἢ τρεῖς, μετ' αὐτᾶ μαχόμενοι ἀπέθανον· οἱ δὲ μισθοφόροι, τᾶτο γενομένου, πάντες ἔφυγον. ἐπεὶ δὲ φεύγοντες ἀφίκοντο πρὸς τὰς ὁπλίτας τῶν Θεσπιέων, κἀκεῖνοι, μάλα πρόθεν μέγα φρονᾶντες μὴ ὑπείξειν τοῖς Θηβαίοις, ἔφυγον, μηδέν τι πάνυ διωκόμενοι. καὶ γὰρ ἦν ἤδη ὀψέ. καὶ ἀπέθνησκον μὲν ὀλίγοι, ὅμως δὲ ὀλίγου πρόθεν ἔσησαν οἱ Θεσπιεῖς, πρὶν ἐν τῷ τείχει ἐγένοντο.

μς΄ Ἐκ δὲ τᾶτου πάλιν τὰ τῶν Θηβαίων ἀνεζωπυρεῖτο, καὶ ἐστρατεύοντο εἰς Θεσπιὰς, καὶ εἰς τὰς ἄλλας τὰς περιοικίδας πόλεις. ὁ μέντοι δῆμος ἐξ αὐτῶν εἰς τὰς Θήβας ἀπεχώρει. ἐν πάσαις γὰρ ταῖς πόλεσι δυναστεία καθειστήκεσαν, ὥσπερ ἐν Θήβαις· ὥστε καὶ οἱ ἐν ταύταις ταῖς πόλεσι φίλοι τῶν Λακεδαιμονίων βοηθείας ἐδέοντο. μετὰ δὲ τὸν Φοιβίδα θάνατον, πολέμαρχον μὲν καὶ μόραν οἱ Λακεδαιμόνιοι κατὰ θάλατταν πέμψαντες, τὰς Θεσπιὰς ἐφύλαττον.

μζ΄. Ἐπεὶ

gam ſe coniiciunt: quod vbi viderunt equites, ab illis terga dantibus edocti ſunt, eſſe ipſos inuadendos.

45. Interfectus eſt Phoebidas cum duobus aut tribus, qui vna cum ipſo dimicabant. Id quum accidiſſet, conductitii milites vniuerſi fugam arripiebant. Quum inter fugiendum ad Theſpienſium grauem armaturam veniſſent, illi quoque terga dabant; quanquam nec admodum eos quiſpiam perſequeretur (quod iam eſſet ſerius) et prius elatis animis ſe minime Thebanis ceſſuros exiſtimaſſent. Occubuere quidem pauci, non tamen prius fugere deſtiterunt Theſpienſes, quam intra muros ſe recepiſſent.

46. Poſtea rurſum Thebanorum res quaſi reuiuiſcere, atque ipſi iam aduerſus Theſpienſes, reliquaque finitima oppida, bellum mouere. Quamobrem populus ex eis Thebas migrabat. Nam omnibus in oppidis eiusmodi conſtituta erant imperia, qualia Thebis. Quo factum, vt amici Lacedaemoniorum in oppidis illis ſubſidio et ope indigerent. Poſt Phoebidae interitum Lacedaemonii polemarcho quodam, et coborte mari miſſa, Theſpias praeſidio tenebant.

μζ'. Ἐπεὶ δὲ τὸ ἔαρ ἐπέσχε, πάλιν ἔφαινον φερεὰν οἱ Λακεδαιμόνιοι εἰς τὰς Θήβας, καὶ τῷ Ἀγησιλάῳ, ἥπερ τοπρόσθεν, ἐδέοντο ἡγεῖσθαι. ὁ δὲ ὑπὲρ τῆς ἐμβολῆς ταῦτα γιγνώσκων, πρὶν καὶ τὰ διαβατήρια θύεσθαι, πέμψας πρὸς τὸν ἐν Θεσπιαῖς πολέμαρχον, ἐκέλευε προκαταλαβεῖν τὸ ὑπὲρ τῆς κατὰ τὸν Κιθαιρῶνα ὁδοῦ ἄκρον, καὶ φυλάττειν ἕως ἂν αὐτὸς ἔλθοι.

μή. Ἐπεὶ δὲ τοῦτο ὑπερβαλὼν ἐν ταῖς Πλαταιαῖς ἐγένετο, πάλιν προσεποιήσατο εἰς τὰς Θεσπιὰς ἰέναι πρῶτον. καὶ πέμπων, ἀγοράν τε ἐκέλευε παρασκευάζειν, καὶ τὰς πρεσβείας ἐκεῖ περιμένειν· ὥστε οἱ Θηβαῖοι ἰσχυρῶς τὴν πρὸς Θεσπιὰς εἰσβολὴν ἐφύλαττον.

μθ'. Ὁ δὲ Ἀγησίλαος τῇ ὑστεραίᾳ ἅμα τῇ ἡμέρᾳ θυσάμενος, ἐπορεύετο τὴν ἐπ' Ἐρυθρᾶς· καὶ ὡς στρατεύματι, δυοῖν ἡμέραιν ὁδὸν ἐν μιᾷ κατανύσας, ἔφθασεν ὑπερβὰς τὸ κατὰ Σκῶλον σαύρωμα, πρὶν ἐλθεῖν τοὺς Θηβαίους ἀπὸ τῆς φυλακῆς, καθ' ἣν τοπρόσθεν εἰσῆλθε. τοῦτο δὲ ποιήσας,

47. Vere autem ineunte, rurſum Ephori copias aduerſus Thebanos decernunt: et Ageſilaum, vt antea quoque, rogant Imperatoris vti munere fungeretur. Ille quod idem cum eis de hac expeditione ſtatueret; prius quam exta de traducendo exercitu conſuleret, miſſo ad polemarchum, qui Theſpiis erat, nuntio; verticem vti praeoccuparet, qui viae per Cithaeronem ducenti imminet, eumque cum praeſidio teneret, donec aduenirent ipſe, mandat.

48. Poſteaquam, hoc ſuperato, Plataeas acceſſit; rurſum Theſpias primum ſe pergere ſimulabat. Mittebat etiam, qui rerum venalium forum parari, ac legatos ibidem ſe expectare iuberent. Quo factum, vt Thebani magnis viribus eum, qui verſus Theſpias eſt, aditum cuſtodirent.

49. Verum Ageſilaus poſtridie, cum prima luce, facta re ſacra, verſus Erythram profectus eſt: quumque vno die cum copiis iter bidui confeciſſet, prius id vallum, quod ad Scolum eſt, ſuperauit: quam ab eo excubiarum loco, quo antehac ingreſſus fuerat, Thebani aduenisſent. Hoc facto,

Thebano-

σας, τὰ πρὸς ἕω τῆς τῶν Θηβαίων πόλεως ἐδήϊ, μέχρι τῆς Ταναγραίων· (ἔτι γὰρ τότε καὶ τὴν Τάναγραν οἱ περὶ Ὑπατόδωρον, φίλοι ὄντες τῶν Λακεδαιμονίων, εἶχον) καὶ ἐκ τούτου δὴ ἀπῄει, ἐν ἀριστερᾷ ἔχων τὸ τεῖχος.

ν'. Οἱ δὲ Θηβαῖοι ἐπελθόντες, ἀντετάξαντο ἐπὶ γραὸς κήθει, ὅπιθεν ἔχοντες τήν τε τάφρον καὶ τὸ σαύρωμα, νομίζοντες καλὸν εἶναι ἐνταῦθα διακινδυνεύειν. καὶ γὰρ ἦν σενὸν ταύτῃ ἐπιεικῶς, καὶ δύσβατον τὸ χωρίον. ὁ δὲ Ἀγησίλαος ἰδὼν ταῦτα, πρὸς ἐκείνους μὲν οὐκ ἦγεν, * ἀποσιμώσας δὲ, πρὸς τὴν πόλιν ἦει.

να'. Οἱ δ' αὖ Θηβαῖοι, δείσαντες περὶ τῆς πόλεως, ὅτι ἐρήμη ἦν, ἀπολιπόντες ἔνθα παρατεταγμένοι ἦσαν, δρόμῳ ἔθεον πρὸς τὴν πόλιν τὴν ἐπὶ Πολνιὰς ὁδόν. ἦν γὰρ αὕτη ἀσφαλεστέρα. καὶ μέντοι ἐδόκει καλὸν γενέσθαι τὸ ἐνθύμημα Ἀγησιλάου, ὅτι πόρρω ἀπαγαγὼν ἀπὸ τῶν πολεμίων, ἀποχωρεῖν δρόμῳ αὐτοὺς ἐποίησεν. ὅμως μέντοι ἐπὶ παραθέοντας αὐτοὺς τῶν πολεμάρχων τινὲς ἐπέδραμον σὺν ταῖς μόραις.

νβ'. Οἱ

Thebanorum agrum, verſus ſolem orientem ſitum, depopulatur, ad ipſos vſque Tanagraeorum fines: (adhuc enim Tanagram Hypatodorus cum ſuis, Lacedaemoniis addictus, tenebat) ac deinde pedem refert, quum moenia vrbis ad laeuam haberet.

50. Thebani autem vt ſupervenere, in loco, qui Vetulae pectus dicitur, aciem aduerſam inſtruebant; vbi et foſſam, et vallum habebant a tergo, atque idcirco recte facturos ſe arbitrabantur, ſi aleam iſtic proelii ſubirent. Erat enim locus is ſatis anguſtus, acceſſuque difficilis. Quod quum Ageſilaus videret, aduerſus ipſos non ducebat; ſed auerſa deflectendo acie, ad vrbem pergebat.

51. Thebani vero metuentes vrbi, quod eſſet a praeſidiis nuda; relicto loco, quo inſtructi ſtabant, via Potnias ducente, quae tutior erat, ad vrbem curſu ſe conferebant. Enimvero praeclarum hoc Ageſilai videbatur inuentum eſſe, quod, ab hoſtibus longe abductis copiis, perfecerit, vt illi curſu diſcederent. Ac nihilominus eos praetercurrentes polemarchi quidam cum cohortibus inuadebant.

52. The-

* Al. ἐπισιμώσας.

νβ'. Οἱ μέντοι Θηβαῖοι ἀπὸ τῶν λόφων τὰ δόρατα ἐξηκόντιζον, ὥστε καὶ ἀπέθανεν Αλύπητος, εἷς τῶν πολεμάρχων, ἀκοντισθεὶς δόρατι. ὅμως δὲ καὶ ἀπὸ τούτου τοῦ λόφου ἐτράπησαν οἱ Θηβαῖοι· ὥστε ἀναβάντες οἱ Σκιρῖται καὶ τῶν ἱππέων τινὲς, ἔπαιον τοὺς τῶν Θηβαίων τελευταίους παρελαύνοντας εἰς τὴν πόλιν.

νγ'. Ως μέντοι ἐγγὺς τοῦ τείχους ἐγένοντο, ὑποστρέφουσιν οἱ Θηβαῖοι. οἱ δὲ Σκιρῖται ἰδόντες αὐτοὺς, θᾶττον ἢ βάδην ἀπῆλθον. καὶ ἀπέθανε μὲν οὐδεὶς αὐτῶν. ὅμως δὲ οἱ Θηβαῖοι τροπαιόν *τε ἐστήσαντο, ὅτι ἀπεχώρησαν οἱ ἀναβάντες.

νδ'. Ο μέντοι Αγησίλαος, ἐπεὶ ὥρα ἦν, ἀπελθὼν, ἐστρατοπεδεύσατο ἔνθαπερ τοὺς πολεμίους εἶδε παρατεταγμένους. τῇ δὲ ὑστεραίᾳ ἀπήγαγε τὴν ἐπὶ Θεσπιάς. θρασέως δὲ παρακολουθούντων τῶν πελταστῶν, οἱ ἦσαν μισθοφόροι τοῖς Θηβαίοις, καὶ τὸν Χαβρίαν ἀνακαλούντων, ὅτι οὐκ ἠκολούθει, ὑποστραφέντες οἱ τῶν Ολυνθίων ἱππεῖς, (ἤδη γὰρ κατὰ τοὺς ὄρκους συνεστρατεύοντο) ἐδίωξάν τε αὐτοὺς πρὸς

52. Thebani contra, de collibus haſtas eiaculabantur; quo factum, vt vnus ex polemarchis Alypetus, haſta traiectus occumberet. Hoc tamen etiam de tumulo Thebani deiecti fugiebant. Itaque illo conſcenſo Sciritae et equites quidam, caedebant extremos in agmine Thebanorum, qui ad vrbem praeteruehebantur.

53. Vbi propius ad muros peruentum eſſet, Thebani ſe conuertunt. Eo conſpecto Sciritae, celerius aliquanto, quam gradatim, regrediuntur. Quanquam autem ex eis interemtus eſſet nemo, Thebani tamen et tropaeum excitabant, quod hoſtes inde, quo conſcenderant, diſceſſiſſent.

54. Ageſilaus ita tunc, poſcente tempore, digreſſus illinc, caſtra metabatur eo loco vbi hoſtes prius inſtructos conſpexerat. Poſtridie via, qua Theſpias itur, exercitum abducebat. Quumque cetrati, qui apud Thebanos ſtipendia faciebant, audacter eum inſequerentur, et Chabriam non ſubſequentem inclamarent: conuerſi Olynthiorum equites, quod illi iam ex foedere ſocii expeditionis huius erant, acclivem ad locum eos compellebant,

* τι deſiderari videtur.

τὰς πρὸς ὄρθιον, καθάπερ ἠκολούθουν, καὶ ἀπέκλειναν αὐτῶν μάλα πολλούς. ταχὺ γὰρ πρὸς ἅπαντες εὐήλατον ἁλίσκονται πεζοὶ ὑπὸ ἱππέων.

νε'. Ἐπεὶ δ' ἐγένετο ὁ Ἀγησίλαος ἐν ταῖς Θεσπιαῖς, εὑρὼν στασιάζοντας τοὺς πολίτας, καὶ βουλομένων τῶν Φασκόντων λακωνίζειν ἀποκτεῖναι τοὺς ἐναντίους, (ὧν καὶ Μένων ἦν) τοῦτο μὲν οὐκ ἐπέτρεψε· διαλλάξας δὲ αὐτοὺς, καὶ ὅρκους ὀμόσαι ἀλλήλοις ἀναγκάσας, ὕστως ἀπῆλθε πάλιν διὰ τοῦ Κιθαιρῶνος τὴν ἐπὶ Μέγαρα. καὶ ἐκεῖθεν τοὺς μὲν συμμάχους ἀφῆκε, τὸ δὲ πολιτικὸν στράτευμα οἴκαδε ἀπήγαγε.

νς'. Μάλα δὲ πιεζόμενοι οἱ Θηβαῖοι σπάνει σίτου, διὰ τὸ δυοῖν ἐτοῖν μὴ εἰληφέναι καρπὸν ἐκ τῆς γῆς, πέμπουσιν ἐπὶ δυοῖν τριήροιν ἄνδρας εἰς Παγασὰς ἐπὶ σῖτον, δέκα τάλαντα δόντες. Ἀλκέτας δὲ ὁ Λακεδαιμόνιος φυλάττων Ὠρεὸν, ἐν ᾧ ἐκεῖνοι συνεωνοῦντο τὸν σῖτον, ἐπληρώσατο τρεῖς τριήρεις, ἐπιμεληθεὶς ὅπως μὴ ἐξαγγελθείη. ἐπεὶ δὲ ἀπήγετο

bant, ita vti ſequebantur, ac magno numero interficiebant. Nam facile pedites ab equitibus, loco accliui, et equitibus acceſſu non difficili, capiuntur.

55. Poſteaquam Theſpias Ageſilaus veniſſet, ciues inter ſe diſſidentes reperit: quumque vellent ii, qui Laconicis ſe fauere partibus profitebantur, aduerſarios interficere, quorum erat in numero etiam Menon: nequaquam hoc fieri permiſit, ſed reconciliatis ipſis inter ſe, coactiſque ſacramentum ſibi inuicem praeſtare; ita demum rurſus per Cithaeronem, via quae Megara ducit, diſcedit. Inde ſocios dimittit, ac vrbanas copias domum abducit.

56. Quia vero Thebani admodum annonae inopia premebantur, quod iam duobus ab annis ex agro ſuo fruges nullas habuiſſent: quoſdam ſuorum duabus triremibus Pagaſas ad comparandum frumentum mittunt, datis eis decem talentis. Alcetas autem Lacedaemonius, qui Oreum cum praeſidio tenebat, dum frumentum illi coemerent, triremes tres inſtruit, cauens ſingulari ſtudio, ne quid enuntiaretur. Vbi iam frumentum aueheba-

tur,

γετο ὁ σῖτος, λαμβάνει ὁ Αλκέτας τόν τε σῖτον, καὶ τὰς τριήρεις, καὶ τὺς ἄνδρας ἐζώγρησεν, ὐκ ἐλάτ]υς ὄντας ἢ τριακοσίυς. τύτυς δὲ εἶρξεν ἐν τῇ ἀκροπόλει, ὅπερ αὐτὸς ἐσκήνυ.

νζ'. Ακολυθῦντος δέ τινος τῶν Ωρειτῶν παιδὸς, ὡς ἔφασαν, μάλα καλῦ τε κἀγαθῦ, καταβαίνων ἐκ τῆς ἀκροπόλεως περὶ τῦτον ἦν. καταγνόντες δὲ οἱ αἰχμάλωτοι τὴν ἀμέλειαν, καταλαμβάνυσι τὴν ἀκρόπολιν, καὶ ἡ πόλις ἀφίσαται· ὥς᾽ εὐπόρως ἤδη οἱ Θηβαῖοι σῖτον παρεκομίζοντο.

νη'. Τποφαίνοντος δὲ πάλιν τῦ ἦρος, ὁ μὲν Αγησίλαος κλινοπετὴς ἦν. ὅτε γὰρ ἀπῆγε τὸ στράτευμα ἐκ τῶν Θηβῶν ἐν τοῖς Μεγάροις, ἀναβαίνοντος αὐτῦ ἐκ τῦ Αφροδισίυ εἰς τὸ ἀρχεῖον, ῥήγνυ]αι ὁποιαδὴ φλὲψ, καὶ ἐρύη ἐκ τῦ σώματος αἷμα εἰς τὸ ὑγιὲς σκέλος. γενομένης δὲ τῆς κνήμης ὑπερόγκυ, καὶ ὀδυνῶν ἀφορήτων, Συρακύσιός τις ἰατρὸς σχάζει τὴν παρὰ τῷ σφυρῷ φλέβα αὐτῦ. ὡς δὲ ἅπαξ ἤρξατο, ἔρρει αὐτῷ νύκ]α τε καὶ ἡμέραν τὸ αἷμα, καὶ πάντα ποιῦντες

tur, Alcetas et frumentum, et triremes, et homines ipſos, non pauciores ccc, vinos capit. Eos in arce carceribus mandat, in qua ipſe habitabat.

57. Quum autem puer quidam ſane quam elegans, vt fertur, et egregius, qui eſſet Oreitae cuiuſdam filius, eum comitari ſoleret: de arce deſcendens, apud hunc verſabatur. Hac hominis negligentia captivi animaduerſa, arcem capiunt, moxque vrbs ipſa a Lacedaemoniis deficit. Ita factum, vt magna copia Thebani frumentum in vrbem adueherent.

58. Vere rurſum ineunte, Ageſilaus in lecto decumbebat. Nam quo tempore copias Thebanorum e finibus Megara deduxerat, inter aſcendendum e ſano Veneris, magiſtratuum in curiam, incertum qua vena rupta, ſanguis e corpore ſanum in crus defluxerat. Quumque ſura nimium quantum intumeſceret, ac dolores intolerandi accederent; medicus quidam Syracuſanus ei propter malleolum venam aperit, atque vbi ſemel coepiſſet, noctu dieque ſanguis profluebat. Quidquid tentarent, fluxionem hanc inhibere non poterant, donec

Ageſilaus

ποιῶντες ὡς ἐδύναντο σχεῖν τὸ ῥεῦμα, πρὶν ἐλειποψύχησε. τότε μέντοι γε ἐπαύσατο. καὶ ὅτως ἐκεῖνος μὲν ἀποκομισθεὶς εἰς Λακεδαίμονα, ἠῤῥώσει τό, τε λοιπὸν θέρος, καὶ διὰ χειμῶνος.

νθ'. Οἱ δὲ Λακεδαιμόνιοι, ἐπεὶ ἔαρ ὑπέφαινε, πάλιν φρυκάν τε ἔφαινον τοῖς Θηβαίοις, καὶ Κλεόμβροτον ἡγεῖσθαι ἐκέλευον. ἐπεὶ δ' ἔχων τὸ στράτευμα πρὸς τῷ Κιθαιρῶνι ἐγένετο, προήεσαν αὐτῷ οἱ πελτασταὶ, ὡς προκαταληψόμενοι τὰ ὑπὲρ τῆς ὁδοῦ. Θηβαίων δὲ καὶ Αθηναίων προκατέχοντές τινες τὸ ἄκρον, τέως μὲν εἴων αὐτοὺς ἀναβαίνειν· ἐπεὶ δ' ἐπ' αὐτοῖς ἦσαν, ἐξαναστάντες ἐδίωκον, καὶ ἀπέκτειναν περὶ τετταράκοντα. τούτου δὲ γενομένου, ὁ Κλεόμβροτος ἀδύνατον νομίσας τὸ ὑπερβῆναι εἰς τὴν τῶν Θηβαίων, ἀπῆγέ τε, καὶ διῆκε τὸ στράτευμα.

ξ'. Συλλεγέντων δὲ τῶν συμμάχων εἰς Λακεδαίμονα, λόγοι ἐγίγνοντο ἀπὸ τῶν συμμάχων, ὅτι διὰ μαλακίαν κατατριβήσοιντο ὑπὸ τοῦ πολέμου. ἐξεῖναι γὰρ σφίσι ναῦς πληρώσαντας πολὺ πλείονας τῶν Αθηναίων, ἐλεῖν λιμῷ τὴν

Ageſilaus tandem animo deficiſſet. Tunc enim fluere deſiit. Hoc modo Lacedaemonem deportatus, quod aeſtatis reliquum erat, totamque hyemem aegrotauit.

59. Lacedaemonii, vere ſe oſtendente, rurſum copias adverſus Thebanos decernunt, eisque ducem Cleombrotum praeficiunt. Is vbi cum exercitu iam ad Cithaeronem acceſſiſſet, cetratos praemittit, vt imminentia viae loca praeoccuparet. At quum Thebani et Athenienſes quidam verticem hunc iam ante tenerent, aliquantulum illi quidem aſcendendi facultatem hoſtibus concedunt: verum vt iam prope ad ipſos acceſſerant, conſurgunt, et in fugam eos agunt, fereque ad quadraginta interficiunt. Quod quum accideret, Cleombrotus minime fieri poſſe ratus, vt Thebanorum in agrum tranſcenderet; copias inde abductas dimiſit.

60. Quumque ſocii Lacedaemonem conueniſſent, commemorabant fieri quadam ignavia, quod bello attererentur. Nam poſſe ſe naues longe plures, quam Athenienſes habeant, inſtruere: atque vrbem ipſorum ad deditionem fame com-

τὴν πόλιν αὐτῶν· ἐξεῖναι δὲ ἐν ταύταις ταῖς ναυσὶ καὶ εἰς Θήβας στράτευμα διαβιβάζειν, εἰ μὲν βούλοιντο, ἐπὶ Φωκέων· εἰ δὲ βούλοιντο, ἐπὶ Κρεύσιος.

ξα'. Ταῦτα δὲ λογισάμενοι, ἐξήκοντα μὲν τριήρεις ἐπλήρωσαν, Πόλλις δ' αὐτῶν ναύαρχος ἐγένετο. καὶ μέντοι οὐκ ἐψεύσθησαν οἱ ταῦτα γνόντες, ἀλλ' οἱ Ἀθηναῖοι ἐπολιορκοῦντο. τὰ γὰρ σιταγωγὰ αὐτοῖς πλοῖα ἐπὶ μὲν τὸν Γεραιστὸν ἀφίκετο, ἐκεῖθεν δ' οὐκέτι ἤθελε παραπλεῖν, τοῦ ναυτικοῦ ὄντος τῶν Λακεδαιμονίων περί τε Αἴγιναν, καὶ Κέω, καὶ Ἄνδρον. γνόντες δὲ οἱ Ἀθηναῖοι τὴν ἀναγκην, ἐνέβησαν αὐτοὶ εἰς τὰς ναῦς, καὶ ναυμαχήσαντες πρὸς τὸν Πόλλιν, Χαβρίου ἡγουμένου, νικῶσι τῇ ναυμαχίᾳ. καὶ ὁ μὲν σῖτος τοῖς Ἀθηναίοις ὕστερον παρεκομίσθη.

ξβ'. Παρασκευαζομένων δὲ τῶν Λακεδαιμονίων στράτευμα διαβιβάζειν ἐπὶ τοὺς Βοιωτούς, ἐδεήθησαν οἱ Θηβαῖοι τῶν Ἀθηναίων περὶ Πελοπόννησον στράτευμα πέμψαι, νομίσαντες ὅτι, εἰ τοῦτο γένοιτο, οὐ δυνατὸν ἔσοιτο τοῖς Λακεδαιμονίοις, ἅμα μὲν τὴν

compellere. Posse item se hisce nauibus etiam aduersus Thebanos exercitum deportare vel Phocensium in fines, si ita videatur, vel Creusim.

61. Hoc inito consilio, triremes sexaginta complent, eique classi Pollis praeficitur. Neque fefellit eos haec sententia, qui consilii auctores fuerant, quippe hoc modo Atheniensis obsidebantur. Etenim naues ipsorum annonariae Geraestum illae quidem appulerant, verum inde non iam amplius discedere cogitabant; quod Lacedaemoniorum classis propter Aeginam, et Ceum, et Andrum stationes haberet. Hac necessitate compulsi Atheniensis, et ipsi conscendunt naues, Chabriaque duce, naual cum Polle congressi proelio, victoria potiuntur. Ita factum, vt Athenienſibus deinde frumentum subueheretur.

62. Quum autem Lacedaemonii se pararent ad mittendas aduersus Boeotos copias, Thebani Athenienses rogabant, vt et ipsi exercitum in Peloponnesum mitterent. Existimabant enim, si hoc fieret, haudquaquam satis virium Lacedaemonios habituros ad defendendum

τὴν ἑαυτῶν χώραν φυλάτ]ειν, ἅμα δὲ τὰς περὶ ἐκεῖνα τὰ χωρία συμμαχίδας πόλεις, ἅμα δὲ στράτευμα διαβι-βάζειν ἱκανὸν πρὸς ἑαυτούς.

ξγ'. Καὶ οἱ Ἀθηναῖοι μέντοι ὀργιζόμενοι τοῖς Λακεδαιμονίοις διὰ τὸ Σφοδρία ἔργον, προθύμως ἐξέπεμψαν περὶ τὴν Πελοπόννησον, ναῦς τε ἑξήκοντα πληρώσαντες, καὶ στρατηγὸν αὐτῶν Τιμόθεον ἑλόμενοι. ἅτε δὲ εἰς τὰς Θήβας ἀκ ἐμβεβληκότων τῶν πολεμίων, ἔτ' ἐν ᾧ Κλεόμβροτος ἦγε τὴν στρατιὰν ἔτι, ἔτ' ἐν ᾧ Τιμόθεος περιέπλευσε, θρασέως δὴ ἐστρατεύοντο οἱ Θηβαῖοι ἐπὶ τὰς περιοικίδας πόλεις, καὶ πάλιν αὐτὰς ἐλάμβανον.

ξδ'. Ο μέντοι Τιμόθεος περιπλεύσας, Κέρκυραν μὲν εὐθὺς ὑφ' ἑαυτῷ ἐποιήσατο· ἀ μέντοι ἠνδραποδίσατο, ἀδὲ ἄνδρας ἐφυγάδευσεν, ἀδὲ νόμους μετέστησεν. ἐξ ὧν τὰς περὶ ἐκεῖνα πόλεις ἁπάσας εὐμενεστέρας ἔσχεν.

ξε'. Ἀντεπλήρωσαν δὲ καὶ οἱ Λακεδαιμόνιοι ναυτικὸν, καὶ Νικόλοχον ναύαρχον μάλα θρασὺν ἄνδρα ἐξέπεμ-ψαν·

dum eodem tempore tum fines ſuos, tum ſociarum in iis locis vrbium; et ad traducendum in agrum Thebanum ſatis magnas copias.

63. Athenienſes autem, quod ob Sphodriae facinus Lacedaemoniis ſuccenſerent, inſtructas LX naues ad Peloponneſi litora perlubenter miſere, dato his praetore Timotheo. Atque hoc tempore, quod hoſtes Thebanorum in agrum non irrupiſſent, neque dum copias Cleombrotus duceret, neque dum Peloponneſum Timotheus cum claſſe circumveheretur: peraudacter oppida finitima Thebani adoriebantur, eaque recipiebant.

64. Timotheus quidem circumuectus, ſtatim Corcyram occupauit: neque tamen eam in ſeruitutem redegit, neque quemquam multauit exilio, ac ne leges quidem immutauit. Quo factum, vt ciuitatum iis locis finitimarum omnium maiora eſſent erga Timotheum ſtudia.

65. Contra Lacedaemonii et ipſi claſſem inſtruunt, et praefectum ei Nicolochum, hominem admodum audacem, aduerſus hoſtes mittunt: qui

ψαν· ὡς ἐπειδὴ εἶδε τὰς μετὰ Τιμοθέου ναῦς, οὐκ ἠμέλλησε, καίπερ ἐξ νεῶν ἀπεσῶν αὐτῷ τῶν Ἀμβρακιωτίδων· ἀλλὰ πέντε καὶ πεντήκοντα ἔχων ναῦς, ἑξήκοντα οὔσαις ταῖς μετὰ Τιμοθέου ἐναυμάχησε. καὶ τότε μὲν ἡττήθη, καὶ τρόπαιον ὁ Τιμόθεος ἔστησεν ἐν Αἰλυζίᾳ *.

ξς'. Ο δὲ, ἀνειλκυσμένων τῶν Τιμοθέου νεῶν, καὶ ἐπισκευαζομένων, ἐπεὶ παρεγενοντο αὐτῷ αἱ Ἀμβρακιώτιδες ἐξ τριήρεις, ἐπὶ τὴν Αἰλυζίαν ἔπλευσεν, ἔνθα ἦν ὁ Τιμόθεος. ὡς δ' οὐκ ἀνετανύγε, τρόπαιον αὖ κἀκεῖνος ἔστησατο ἐν ταῖς ἐγγυτάτω νήσοις. ὁ δὲ Τιμόθεος, ἐπεὶ ἅς τε εἶχεν, ἐπεσκεύασε, καὶ ἐκ Κερκύρας ἄλλας προσεπληρώσατο, γενομένων αὐτῷ τῶν πασῶν πλέον ἢ ἑβδομήκοντα, πολὺ δὴ ὑπερεῖχε ναυτικῷ. χρήματα μέντοι μετεπέμπετο Ἀθήνηθεν· πολλῶν γὰρ ἐδεῖτο, ἅτε πολλὰς ναῦς ἔχων.

ΞΕΝΟ-

quum naues, quas ſecum Timotheus habebat, conſpexiſſet; quamquam adhuc ſex Ambracioticae abeſſent, nihil tamen cunctatus, cum LV nauibus aduerſus LX, quibus Timothei claſſis conſtabat, proelio nauali dimicat. In eo quum victus eſſet, apud Aelyziam tropaeum Timotheus ſtatuit.

66. Poſtea Nicolochus, quum Timothei naues in portum ſubductae eſſent, ac reficerentur; aduectis ad ſe iam ſex illis Ambracioticis triremibus, Aelyziam nauigat, vbi tum Timotheus erat. Poſteaquam is obuiam ſua cum claſſe non pergeret, ipſe quoque tropaeum proximis in inſulis ſtatuit. Timotheus autem, refectis nauibus iis, quas habebat, et e Corcyra paratis et inſtructis aliis, vt iam plures eſſent quam ſeptuaginta: longe claſſe ſuperior erat. Et quia magna pecuniarum vi ob claſſis magnitudinem indigebat, Athenis eas adferri curabat.

* Leuncl. mauult Αλυζείᾳ.

XENO-

ΞΕΝΟΦΩΝΤΟΣ

ΕΛΛΗΝΙΚΩΝ ΙΣΤΟΡΙΩΝ

ΒΙΒΛΙΟΝ ΕΚΤΟΝ.

ΚΕΦ. α'.

Οἱ μὲν δὴ Ἀθηναῖοι καὶ Λακεδαιμόνιοι περὶ ταῦτα ἦσαν. οἱ δὲ Θηβαῖοι ἐπεὶ κατεχρέψαντο τὰς ἐν τῇ Βοιωτίᾳ πόλεις, ἐστράτευον καὶ εἰς τὴν Φωκίδα. ὡς δ' αὖ καὶ οἱ Φωκεῖς ἐπρέσβευον εἰς τὴν Λακεδαίμονα, καὶ ἔλεγον, ὡς εἰ μὴ βοηθήσαιεν, ἃ δυνήσοιντο μὴ πείθεσθαι τοῖς Θηβαίοις, ἐκ τούτου οἱ Λακεδαιμόνιοι διαβιβάζουσι κατὰ θάλατταν εἰς Φωκέας Κλεόμβροτόν τε τὸν βασιλέα, καὶ μετ' αὐτοῦ τέτταρας μόρας, καὶ τῶν συμμάχων τὸ μέρος.

β'. Σχεδὸν

XENOPHONTIS

HISTORIARVM GRAECARVM

LIBER SEXTVS.

CAP. I.

His tum rebus Athenienſes et Lacedaemonii occupati erant. Thebani vero, poſteaquam oppida Boeotiae ſuam in poteſtatem redegerant, etiam Phocenſium in fines expeditionem ſuſcipiebant. Ibi quum legatos Lacedaemonem Phocenſes miſiſſent, ac ſignificaſſent, ſe, niſi ſuppetias ipſi ferrent, non poſſe non Thebanorum imperio parere: mari Cleombrotum regem, cum quatuor cohortibus, et ſociorum parte, Lacedaemonii Phocenſium in agrum ire iubent.

β'. Σχεδὸν δὲ περὶ τοῦτον τὸν χρόνον καὶ ἐκ Θετταλίας ἀφικνεῖται πρὸς τὸ κοινὸν τῶν Λακεδαιμονίων Πολυδάμας Φαρσάλιος. ὅτος δὲ καὶ ἐν τῇ ἄλλῃ Θετταλίᾳ μάλα εὐδοκίμει, καὶ ἐν αὐτῇ δὲ τῇ πόλει ὅτως ἐδόκει καλός τε κἀγαθὸς εἶναι, ὥστε καὶ σασιάσαντες οἱ Φαρσάλιοι παρακατέθεντο αὐτῷ τὴν ἀκρόπολιν, καὶ τὰς προσόδους ἐπέτρεψαν λαμβάνοντα, ὅσα ἐγέγραπτο ἐν τοῖς νόμοις, εἵς τε τὰ ἱερὰ ἀναλίσκειν καὶ εἰς τὴν ἄλλην διοίκησιν.

γ'. Κἀκεῖνος μέντοι ἀπὸ τούτων τῶν χρημάτων τήν τε ἄκραν φυλάττων διέσωζεν αὐτοῖς, καὶ τἆλλα διοικῶν ἀπελογίζετο κατ' ἐνιαυτόν. καὶ ὁπότε μὲν ἐνδεὴς εἴη, παρ' ἑαυτῷ προσετίθει· ὁπότε δὲ περιγένοιτο τῆς προσόδου, ἀπελάμβανεν· ἦν δὲ καὶ ἄλλως φιλόξενός τε καὶ μεγαλοπρεπὴς τὸν Θετταλικὸν τρόπον. ὅτος ὧν ἐπεὶ ἀφίκετο εἰς τὴν Λακεδαίμονα, εἶπε τάδε·

δ'. "Ἐγὼ μέν, ὦ ἄνδρες Λακεδαιμόνιοι, πρόξενος ὑμῶν ὢν καὶ εὐεργέτης ἐκ πάντων ὧν μεμνήμεθα προγόνων, ἀξιῶ,

2. Eodem prope tempore Polydamas Pharſalius Lacedaemoniorum ad communitatem e Theſſalia venit. Eius viri vt reliqua in Theſſalia nomen erat illuſtre, ita ſua in republica tanta virtute praeditus exiſtimabatur; vt, quum Pharſalii domeſticis ſeditionibus ac diſſidiis laborarent, arcem ipſi traderent, annuoſque prouentus ad ſe recipere permitterent, deque iis tum ad ſacrificia, tum reliquam adminiſtrationem impenſas facere, quae praeſcriptae legibus eſſent.

3. Ac ipſe quidem ex hiſce pecuniis et arcem ipſis praeſidio tuebatur, et alia quoque adminiſtrans, quotannis rationes reddebat. Quod ſi quando a pecuniis publicis deſtitueretur, de ſuo nonnihil ad eas adiiciebat; idque, vbi quid prouentuum ſupererat, recipiebat. Et erat caeteroqui Theſſalorum more magnificus ac hoſpitalis. Hic vbi Lacedaemonem perveniſſet, hac vſus eſt oratione:

4. Equidem Lacedaemonii, quum hoſpes ſim veſtrae ciuitatis publicus, noſtraque in vos extent beneficia inde vſque ab omnibus maioribus, quorum meminiſſe poſſumus; aequum eſſe cenſeo, vt ſi qua

ἀξιῶ, ἐάν τέ τι ἀπορῶ, πρὸς ὑμᾶς ἰέναι· ἐάν τέ τι χαλεπὸν ὑμῖν ἐν τῇ Θεσσαλίᾳ ξυνιστῆται, σημαίνειν. ἀκούετε μὲν ἴσως εὖ οἶδ' ὅτι καὶ ὑμεῖς Ἰάσονος ὄνομα. ὁ γὰρ ἀνὴρ καὶ δύναμιν ἔχει μεγάλην, καὶ ὀνομαστός ἐστιν· ὅστος δὲ σπονδὰς ποιησάμενος, συνεγένετό μοι, καὶ εἶπε τοιάδε·

Ὅτι μὲν, ὦ Πολυδάμα, καὶ ἄκουσαν τὴν ὑμετέραν πόλιν Φάρσαλον δυναίμην ἂν παρασήσασθαι, ἔξεστί σοι ἐκ τῶνδε λογίζεσθαι. ἐγὼ γὰρ, ἔφη, ἔχω μὲν Θεσσαλίας τὰς πλείστας καὶ μεγίστας πόλεις συμμάχους. κατεστρεψάμην δ' αὐτὰς, ὑμῶν σὺν αὐταῖς τὰ ἐναντία ἐμοὶ στρατευομένων. καὶ μὴν οἶσθά γε ὅτι μισθοφόρους ἔχω ξένους εἰς ἑξακισχιλίους, οἷς, ὡς ἐγὼ οἶμαι, οὐδεμία πόλις δύναιτ' ἂν ῥᾳδίως μάχεσθαι. ἀριθμὸς μὲν γὰρ, ἔφη, καὶ ἄλλοθεν οὐκ ἂν ἐλάσσων ἐξέλθοι· ἀλλὰ τὰ μὲν ἐκ τῶν πόλεων στρατεύματα τοὺς μὲν προεληλυθότας ἤδη ταῖς ἡλικίαις ἔχει, τοὺς δ' οὔπω ἀκμάζοντας. σωμασκοῦσι γεμὴν μάλα ὀλίγοι τινὲς

qua ipſe difficultate premar, ad vos me conferam; itemque ſi quid aduerſum vos rei moleſtae in Theſſalia oriatur, id vti vobis ſignificem. Non dubito autem, vos quoque Iaſonis nomen audiiſſe. Nam is vir et copias ingentes habet, et percelebris eſt. Hic quum mecum congreſſus eſſet, factis inter nos induciis, in hunc modum me compellauit:

Poſſe me, mi Polydama, ciuitatem veſtram Pharſalum vel inuitam imperio meo ſubiicere, vel de his tecum exiſtimare potes. Nam et plurimas, et maximas Theſſaliae vrbes equidem mihi ſocietate deuinctas habeo, quas ipſas in poteſtatem meam redegi, quum vos vna cum ipſis coniuncti bellum adverſus me gereretis. Non ignoras autem, habere me conductitios milites exteros non pauciores vicio; quibus meo iudicio reſiſtere nulla ciuitas poſſit. Quippe numerus quidem hic militum, ait, etiam aliunde promi poſſit: ſed oppidani exercitus partim quoſdam natu grandiores habent, partim qui necdum aetatem vegetam attigerint. Praeterea per ſane pauci quidam vnaquaque in vrbe

τινὲς ἐν ἑκάστῃ πόλει. παρ' ἐμοὶ δὲ οὐδεὶς μισθοφορεῖ, ὅστις μὴ ἱκανός ἐστιν ἴσα πονεῖν ἐμοί.

Αὐτὸς δ' ἐστὶ (λέγειν γὰρ πρὸς ὑμᾶς χρὴ τἀληθῆ) καὶ τὸ σῶμα μάλα εὔρωστος, καὶ ἄλλως φιλόπονος. καὶ τοίνυν τῶν παρ' αὐτῷ πεῖραν λαμβάνει καθ' ἑκάστην ἡμέραν. ἡγεῖται γὰρ σὺν τοῖς ὅπλοις, καὶ ἐν τοῖς γυμνασίοις, καὶ ὅταν πη στρατεύηται. καὶ ὃς μὲν ἂν μαλακὸς τῶν ξένων αἰσθάνηται, ἐκβάλλει· ὃς δ' ἂν ὁρᾷ φιλοπόνως καὶ φιλοκινδύνως ἔχοντας πρὸς τὰς πολέμους, τιμᾷ τοὺς μὲν διμοιρίαις, τοὺς δὲ, τριμοιρίαις, τοὺς δὲ, καὶ τετραμοιρίαις, καὶ ἄλλοις δώροις, καὶ νόσων γε θεραπείαις, καὶ περὶ ταφὰς κόσμῳ· ὥστε πάντες ἴσασιν οἱ παρ' ἐκείνῳ ξένοι, ὅτι ἡ πολεμικὴ αὐτοῖς ἀρετὴ ἐντιμότατόν τε βίον καὶ ἀφθονώτατον παρέχεται.

Ἐπεδείκνυε δέ μοι εἰδότι, ὅτι καὶ ὑπήκοοι ἤδη αὐτῷ εἶεν Μαρακοὶ, καὶ Δόλοπες, καὶ Αλκέτας ὁ ἐν τῇ Ηπείρῳ ὕπαρχος· ὥστε, ἔφη, τί ἂν ἐγὼ φοβούμενος ῥᾳδίως

corpora ſua exercent. Apud me vero nemo ſtipendia facit, qui non eoſdem, quos ego, labores tolerare poſſit.

Iaſon ipſe (dicendum eſt enim apud vos, quod verum eſt) per eſt robuſtus corpore, ac laborum caeteroqui patientiſſimus. Quin etiam quotidie virtutis ſuorum periculum facit. Nam et in gymnaſiis, et in expeditionibus, quaſcunque ſuſcipit, primus ipſe arma geſtat; ac ſi quos e conductitiis militibus eſſe molles animadvertit, eos exauctorat: ſin qui et laborum tolerantes ſunt, et ad ſubeundum pericula, in re aduerſus hoſtem gerenda, promti, eos ſtipendio partim duplo, partim triplo, partim quadruplo, ac praeterea muneribus aliis ornat. Eoſdem et in morbis curat, et mortuos funerum magnificentia cohoneſtat. Quo fit, vt omnes ipſius conductitii milites ſciant, virtute bellica vitam ſe honoratiſſimam, ac rebus omnibus affluentem conſequi.

Idem mihi non ignoranti demonſtrabat, parere iam ipſius imperio Maracos, et Dolopes, et Alcetam, qui Epiro praeeſt. Quidnam igitur, ait, mihi metuendum ſit, quo minus

ῥαδίως ἂν ὑμᾶς οἰοίμην καταστρέψεσθαι; τάχα ἄν τις ὑπολάβοι ἄν τις ἐμοῦ ἄπειρος· τί οὖν μέλλεις, καὶ οὐκ ἤδη στρατεύεις ἐπὶ τοὺς Φαρσαλίους; ὅτι νὴ Δία τῷ παντὶ κρεῖττόν μοι δοκεῖ εἶναι ἑκόντας ὑμᾶς μᾶλλον, ἢ ἄκοντας προσαγαγέσθαι. βιαθέντες μὲν γὰρ ὑμεῖς τ' ἂν βουλεύσαισθε ὅ, τι δύναισθε κακὸν ἐμοὶ, ἐγώ τ' ἂν ὑμᾶς ὡς ἀσθενεστάτους βουλοίμην εἶναι· εἰ δὲ πεισθέντες μετ' ἐμοῦ γένοισθε, δῆλον ὅτι αὔξοιμεν ἂν ὅ, τι δυναίμεθα ἀλλήλους.

Γιγνώσκω μὲν οὖν, ὦ Πολυδάμα, ὅτι ἡ σὴ πατρὶς εἰς σὲ ἀποβλέπει. ἐὰν δέ μοι φιλικῶς αὐτὴν ἔχειν παρασκευάσῃς, ὑπισχνοῦμαί σοι, ἔφη, ἐγὼ μέγιστόν σε τῶν ἐν τῇ Ελλάδι μετ' ἐμὲ κατασήσειν. οἵων δὲ πραγμάτων ἐγὼ τὰ δεύτερά σοι δίδωμι, ἄκουσον, καὶ μηδὲν πίστευέ μοι ὅ, τι ἂν μὴ λογιζομένῳ σοι ἀληθὲς φαίνηται.

Οὐκοῦν τοῦτο μὲν εὔδηλον ἡμῖν, ὅτι Φαρσάλους προς-

minus exiſtimare debeam, me facile vos imperio meo ſubiecturum? Fortaſſis heic ſecum aliquis cogitet, mearum rerum ignarus: Quamobrem igitur cunctaris? Cur non iam bellum aduerſus Pharſalios ſuſcipis? Quia profecto mihi praeſtare omnino videtur, vt vos mihi potius ſponte veſtra, quam inuitos adiungam. Nam ſi coacti a me fueritis, et ipſi de me, quacunque ratione fieri poterit, laedendo conſilia agitabitis: etiam vos ego viciſſim quam maxime fractos volam. Sin perſuadendo meas in partes vos adduxero, facile intelligi poteſt, futurum vt pro virili vires mutuo noſtras adaugeamus.

ς'. Μετὰ τοῦτον δὲ Καλλίστρατος ἔλεξεν· "Αλλ' ὅπως μὲν, ὦ ἄνδρες Λακεδαιμόνιοι, οὐκ ἐγγεγένηται ἁμαρτήματα καὶ ἀφ' ἡμῶν καὶ ἀφ' ὑμῶν, ἐγὼ μὲν οὐκ ἂν ἔχειν μοι δοκῶ εἰπεῖν· ἃ μέντοι οὕτω γιγνώσκω, ὡς τοῖς ἁμαρτάνουσιν ἀδέποτε ἔτι χρηστέον. ὁρῶ γὰρ τῶν ἀνθρώπων ἀδένα ἀναμάρτητον διατελοῦντα. δοκοῦσι δέ μοι καὶ εὐπορώτεροι ἐνίοτε

Iam quum Rex Perſicus ediceret, debere Graecas vrbes eſſe liberas: plane prae vobis ferebatis, quali Thebanos contra litteras regias facturos cenſeretis, ſi non ciuitatibus ſingulis poteſtatem adminiſtratione legibusque ſuis vtendi facerent. Poſt vbi Cadmeam occupaſſetis, ne ipſos quidem Thebanos frui libertate ſua paſſi eſtis.

At enim eos, qui eſſe amici cupiunt, ab aliis exigere non oportet, vt ex aequo et bono ſecum agatur: atque interim ipſos declarare, ſe nihil non iniuſte concupiſcere, modo potentiam maximam conſequantur. Haec vbi proloquutus fuiſſet, non ſilentium modo ſequutum eſt: ſed illi etiam de oratione ipſius voluptatem vti caperent, fecit; qui Lacedaemoniis infenſi erant.

6. Poſt eum Calliſtratus hanc orationem habuit: Equidem, Lacedaemonii, dicere non poſſum, nulla vel a nobis, vel a vobis errata profecta eſſe. Neque tamen ea ſum in ſententia, vt iis amplius vtendum eſſe negem, qui deliquere. Video enim, neminem hominum perpetuo immunem a peccatis eſſe. Quin et hoc perſpicio, nonnunquam ho-

ἐνίοτε γίγνεσθαι ἄνθρωποι ἁμαρτάνοντες, ἄλλως τε καὶ ἐὰν κολασθῶσιν ὑπὸ τῶν ἁμαρτημάτων, ὡς ἡμεῖς.

Καὶ ὑμῖν δὲ ἔγωγε ὁρῶ διὰ τὰ ἀγνωμόνως πραχθέντα ἔσιν ὅτε καὶ πολλὰ ἀντίτυπα γιγνόμενα· ὧν ἦν καὶ ἡ καταληφθεῖσα ἐν Θήβαις Καδμεία. νῦν γὰρ ὡς ἐσπουδάσατε αὐτονόμους τὰς πόλεις γενέσθαι, πᾶσαι πάλιν, ἐπεὶ ἠδικήθησαν οἱ Θηβαῖοι, ἐπ' ἐκείνοις γεγένηνται.

Ὥσε πεπαιδευμένους ὑμᾶς, ὡς τὸ πλεονεκτεῖν ἀνερδές ἐσι, νῦν ἐλπίζω πάλιν μετρίως ἐν τῇ πρὸς ἀλλήλους φιλίᾳ ἔσεσθαι· ἃ δὲ, βουλόμενοί τινες ἀποτρέπειν τὴν εἰρήνην, διαβάλλουσιν, ὡς ἡμεῖς ὐ φιλίας δεόμενοι, ἀλλὰ φοβούμενοι, μὴ Ἀνταλκίδας ἔλθῃ ἔχων παρὰ βασιλέως χρήματα, διὰ τοῦθ' ἥκομεν· ἐνθυμήθητε, ὡς φλυαροῦσι.

Βασιλεὺς μὲν γὰρ δήπου ἔγραψε, πάσας τὰς ἐν τῇ Ἑλλάδι πόλεις αὐτονόμους εἶναι· ἡμεῖς δὲ ταυτὰ ἐκείνῳ λέγοντές τε καὶ πράτ]οντες, τί ἂν φοβοίμεθα βασι-

mines maiorem prudentiae copiam peccando parare: praesertim si peccatis erudiantur: id quod nobis vsu venit.

Itidem vobis nonnunquam video propter inique acta multa accidisse aduersa: quorum in numero est et Cadmea Thebis a vobis occupata. Nam quum modo summo in id studio incumberetis, vt ciuitates in libertatem assereretis: vbi primum iniuria Thebani a vobis affecti fuerunt, rursus vniuersae, illorum partes sequutae sunt.

Quapropter equidem bona in spe sum, futurum; vt edocti, libidinem habendi nimiam minime fructuosam esse, deinceps in amicitia mutua colenda aequiores sitis. Nam quod illi, qui pacem hanc impedire volunt, falso criminantur; venisse nos huc, non expetitum amicitiam vestram, sed quod vereamur, ne cum pecuniis Antalcidas a rege redeat: hi homines quas nugas agant, velim cum animis vestris experiamini.

Rex enim perscripsit, vniuersas in Graecia ciuitates esse debere liberas. Hac in parte quum nos idem et dicamus, et faciamus; quid caussae fuerit, quamobrem a rege

βασιλέα; ἢ τοῦτο οἴεταί τις, ὡς ἐκεῖνος χρήματα ἀναλώσας, ἄλλους μεγάλους ποιῆσαι μᾶλλον, ἢ ἄνευ δαπάνης, ἃ ἔγνω ἄριστα εἶναι, ταῦτα ἑαυτῷ πεπράχθαι βούλοιτο;

Εἶεν. τί μὴν ἥκομεν; ὅτι μὲν οὖν οὐκ ἀποροῦντες, γνοίητε ἄν, εἰ μὲν βλέποιτε, πρὸς τὰ κατὰ θάλατταν ἰδόντες, εἰ δὲ βλέποιτε, πρὸς τὰ κατὰ γῆν ἐν τῷ παρόντι. τί μήν ἐστιν; εὔδηλον, ὅτι τῶν συμμάχων τινὲς οὐκ ἀρεσκὰ πράττουσιν ἡμῖν, ἢ ὑμῖν ἀρεσκά. ἴσως δὲ καὶ βουλοίμεθ' ἄν, ὧν ἕνεκα περιεσώσατε ἡμᾶς, ἃ ὀρθῶς ἔγνωμεν, ὑμῖν ἐπιδεῖξαι.

Ἵνα δὲ καὶ τοῦ συμφόρου ἔτι ἐπιμνηθῶ, εἰσὶ μὲν δήπου πασῶν τῶν πόλεων αἱ μὲν τὰ ἡμέτερα, αἱ δὲ τὰ ὑμέτερα φρονοῦσαι, καὶ ἐν ἑκάστῃ πόλει οἱ μὲν λακωνίζουσιν, οἱ δὲ ἀττικίζουσιν. εἰ οὖν ἡμεῖς φίλοι γενοίμεθα, πόθεν ἂν εἰκότως χαλεπόν τι προσδοκήσαιμεν; καὶ γὰρ δὴ κατὰ γῆν μὲν τίς ἂν ὑμῶν φίλων ὄντων ἱκανὸς γένοιτο ἡμᾶς λυπῆσαι; κατὰ θάλατταν γεμὴν τίς ἂν ὑμᾶς βλάψαι τι, ἡμῶν ὑμῖν ἐπιτηδείων ὄντων;

Ἀλλὰ

rege nobis metuamus? Regemne quis arbitratur magnis pecuniarum impenſis aliorum opes amplificare velle potius, quam ſine ſumtu ſuo ea, quae eſſe ex re ſua maxime ſtatuat, ſibi ipſi effecta dare?

Verum eſto: quamobrem tandem huc venimus? Ob inopiam quidem certe non veniſſe nos, intelligetis facile: ſi, quae in hoc tempore ſit potentia noſtra mari, quaeue terra, reſpexeritis. Quid igitur eſt cauſſae? Nimirum liquido patet, pleroſque ſociorum ea deſignare, quae neque nobis grata ſint, neque vobis placeant. Praeterea lubenter vobis ea, quae recte a nobis animaduerſa ſunt, indicauerimus: idque quia et ipſi nos conſeruaueritis.

Iam ſi vtilitatis etiam faciendae mentio eſt, vrbes vniuerſae partim nobis partim vobis addictae ſunt; et in ſingulis alii Lacedaemoniorum, Athenienſium alii partibus fauent. Itaque ſi nos ipſi amicitiam ineamus, vnde tandem quidquam nobis expectandum merito ſit rei moleſtae? Nam ſi vos amici nobis ſitis, quis terra nos poſſit laedere? quis item mari detrimentum rebus veſtris attulerit, ſi nos amicos habeatis?

Αλλὰ μὴν ὅτι πόλεμοι ἀεί ποτε γίγνονται, καὶ ὅτι καταλύονται, πάντες ἐπιστάμεθα· καὶ ὅτι ἡμεῖς, ἂν μὴ νῦν, ἀλλ' αὖθίς ποτε εἰρήνης ἐπιθυμήσομεν. τί ἂν δεῖ ἐκεῖνον τὸν χρόνον ἀναμένειν, ἕως ἂν ὑπὸ πλήθους κακῶν ἀπείπωμεν μᾶλλον, ἢ ὡς τάχιστα, πρίν τι ἀνήκεστον κακὸν γενέσθαι, τὴν εἰρήνην ποιήσασθαι; ἀλλὰ μὴν ἀδ' ἐκείνους ἔγωγε ἐπαινῶ, οἵτινες ἀγωνισταὶ γενόμενοι, καὶ νενικηκότες ἤδη πολλάκις, καὶ δόξαν ἔχοντες, ὥτω φιλονεικῶσιν, ὥστε ἀ πρότερον παύονται, πρὶν ἂν ἡττηθέντες τὴν ἄσκησιν καταλύσωσιν· ἀδέ γε τῶν κυβευτῶν, οἵτινες αὖ, ἐὰν ἕν τι ἀποτύχωσι, περὶ διπλασίων κυβεύουσιν.

Ορῶ γὰρ καὶ τῶν τοιούτων τὰς πλείους ἀπόρους παντάπασι γιγνομένους. ἃ χρὴ καὶ ἡμᾶς ὁρῶντας εἰς μὲν τοιοῦτον ἀγῶνα μηδέποτε καταστῆναι, ὥστε πάντα λαβεῖν, ἢ πάντ' ἀποβαλεῖν· ἕως δὲ ἐρρώμεθα καὶ εὐτυχοῦμεν, φίλους ἀλλήλοις γενέσθαι. ὥτω γὰρ ἡμεῖς τ' ἂν δι' ὑμᾶς, καὶ ὑμεῖς δι' ἡμᾶς ἔτι μείζους, ἢ τὸν παρελθόντα χρόνον, ἐν τῇ Ελλάδι ἀναστρεφοίμεθα.„

ζ'. Δοξάντων

Enimuero ſemper et oriri, et rurſum componi bella, nemo eſt qui neſciat: nos ipſi ſi non modo, tamen aliquando pacem expetemus. Cur igitur id tempus expectemus, quo victi malorum multitudine deficiamus, ac non potius quam maturrime pacem faciamus, prius quam malum aliquod immedicabile oriatur? Equidem nec illos laudo, qui quum in certaminibus potiti ſunt victoria ſaepius, atque etiam gloriam retulere, adeo tamen contentioſi ſunt; vt prius non deſiſtant, quam victi exercitationem omnem abiiciant: nec item aleatores, quibus ſi vnum aliquid ex animi ſententia ſuccedat, de duplo talos iaciunt.

Nam pleroſque horum video extremam ad inopiam redigi. Quae quum et ipſi perſpiciamus, in eiuſmodi certamen haudquaquam deſcendamus; vt omnia vel conſequi, vel amittere velimus: quin potius, dum vires integrae ſunt, fortunaque vtimur proſpera, amicitiam inter nos contrahamus. Ita enim et nos veſtra opera, et vos noſtra longe ampliores, quam ſuperioribus temporibus, in Graecia erimus.

7. Poſteaquam

ζ'. Δοξάντων δὲ τούτων καλῶς εἰπεῖν, ἐψηφίσαντο καὶ οἱ Λακεδαιμόνιοι, δέχεσθαι τὴν εἰρήνην, ἐφ' ᾧ τούς τε ἁρμοστὰς ἐκ τῶν πόλεων ἐξάγειν, τά τε στρατόπεδα διαλύειν καὶ τὰ ναυτικὰ, καὶ τὰ πεζικὰ, τάς τε πόλεις αὐτονόμους ἐᾶν. εἰ δέ τις παρὰ ταῦτα ποιοίη, τὸν μὲν βουλόμενον, βοηθεῖν ταῖς ἀδικουμέναις πόλεσι· τῷ δὲ μὴ βουλομένῳ μὴ εἶναι ἔνοχον συμμαχεῖν τοῖς ἀδικουμένοις.

η'. Ἐπὶ τούτοις ὤμοσαν μὲν οἱ Λακεδαιμόνιοι ὑπὲρ αὑτῶν καὶ τῶν συμμάχων, Ἀθηναῖοι δὲ καὶ οἱ σύμμαχοι κατὰ πόλεις ἕκαστοι. ἀπογραψάμενοι δ' ἐν ταῖς ὁμωμοκυίαις πόλεσι καὶ οἱ Θηβαῖοι, προσελθόντες πάλιν τῇ ὑστεραίᾳ οἱ πρέσβεις αὐτῶν ἐκέλευον μεταγράφειν ἀντὶ Θηβαίων Βοιωτοὺς ὁμωμοκότας. ὁ δὲ Ἀγησίλαος ἀπεκρίνατο, ὅτι μεταγράψει μὲν ἡδέως, ὧν τοπρῶτον ὤμοσάν τε καὶ ἀπεγράψαντο. εἰ μέντοι μὴ βούλοιντο ἐν ταῖς σπονδαῖς εἶναι, ἐξαλείφειν ἂν ἔφη, εἰ κελεύοιεν.

θ'. Οὕτω

7. Poſteaquam hi praeclare diſſeruiſſe viſi fuiſſent, etiam Lacedaemonii decreto ſanciunt, pacem hanc accipiendam eſſe conditionibus huiuſmodi: Vt praefectos ſuos ex vrbibus educerent: exercitus tam maritimos quam terreſtres dimitterent: vrbes libertate frui ſinerent. Si quis aliquid aduerſus haec deſignaret, poſſe quemvis vrbibus oppreſſis opem ferre, qui quidem velit: ſi quis autem nolit, eum ſacramento ad ferendum oppreſſis opem minime teneri.

8. Secundum haec Lacedaemonii, tum ſuo, tum ſociorum nomine, iusiurandum praeſtiterunt: Athenienſes autem, eorumque ſocii, ſinguli ſuarum rerumpublicarum nomine. Quumque Thebani etiam inter vrbes alias, quae ſacramentum praeſtiterant, nomen ſuum profeſſi fuiſſent; poſtridie reuerſi eorum legati petebant, vti, mutata ſcriptura, pro Thebanis ſubſtitueretur, iuraſſe Boeotos. Reſpondebat iis Ageſilaus, nihil eorum ſe mutaturum, quae prius et ſacramento confirmaſſent, et fuiſſent profeſſi. Quod ſi foederis participes eſſe nollent, deleturum ſe nomen ipſorum, ſi iuberent.

θ'. Οὕτω δὲ εἰρήνην τῶν ἄλλων πεποιημένων, πρὸς δὲ Θηβαίους μόνους ἀντιλογίας οὔσης, οἱ μὲν Ἀθηναῖοι ἕτως εἶχον τὴν γνώμην, ὡς νῦν Θηβαίους, τὸ λεγόμενον, *δεκατευθῆναι ἐλπὶς εἴη· αὐτοί τε οἱ Θηβαῖοι παντελῶς ἀθύμως ἔχοντες ἀπῆλθον.

ΚΕΦ. δ'.

Ἐκ δὲ τούτου οἱ μὲν Ἀθηναῖοι τάς τε φρουρὰς ἐκ τῶν πόλεων ἀπῆγον, καὶ Ἰφικράτην καὶ τὰς ναῦς μετεπέμποντο, καὶ ὅσα ὕστερον ἔλαβε μετὰ τοὺς ὅρκους τοὺς ἐν Λακεδαίμονι γενομένους, πάντα ἠνάγκασαν ἀποδοῦναι. Λακεδαιμόνιοι μέντοι ἐκ μὲν τῶν ἄλλων πόλεων τούς τε ἁρμοστὰς, καὶ τοὺς φρουροὺς ἀπήγαγον· **ὁ Κλεόμβροτον δὲ ἔχοντα τὸ ἐν Φωκεῦσι στράτευμα, καὶ ἐπερωτῶντα τὰ οἴκοι τέλη, τί χρὴ ποιεῖν.

β'. Προθόου λέξαντος, ὅτι αὐτῷ δοκοίη, διαλύσαντας τὸ στράτευμα κατὰ τοὺς ὅρκους, καὶ περιαγγείλαντας ταῖς πόλεσι συμβαλέσθαι εἰς τὸν ναὸν τοῦ Ἀπόλλωνος, ὁπόσον

9. Hoc modo caeteris pacem facientibus, quum Thebanorum in cauſſa tantum controverteretur; arbitrabantur Athenienſes, expectandum nunc eſſe, vt Thebani decumarentur, vti quidem ferebatur. Quin et ipſi Thebani moeſti protinus diſcedebant.

CAP. IV.

Poſt haec deducunt praeſidia ex vrbibus Athenienſes, ac Iphicratem vna cum claſſe reuocant, eumque cogunt omnia reſtituere, quaecunque poſt ſacramento confirmatum Lacedaemone foedus cepiſſet. Itidem Lacedaemonii caeteris ex vrbibus praefectos, cum praeſidiis, educebant: excepto Cleombroto, qui Phocenſium in finibus copiis praeerat, et quid faciundum ſibi eſſet, a magiſtratibus Spartanis quaerebat.

2. Heic quum ſententiam dixiſſet Prothous, videri ſibi dimittendas eſſe ſecundum iurisiurandi formulam copias, ac ſignificandum paſſim ciuitatibus, vt ſingulae tantum conferrent in ſanum Apollinis, quantum

* Al. μηδὲ πατευθῆναι.

** Al. omittunt ὁ.

σον βύλοιτο ἑκάστη πόλις, ἔπειτα εἰ μή τις ἐῴη αὐτονόμους τὰς πόλεις εἶναι, τότε πάλιν παρακαλέσαντας τὺς συμμάχους, ὅσοι τῇ αὐτονομίᾳ βύλοιντο βοηθεῖν, ἄγειν ἐπὶ τὺς ἐναντιωμένους· (ὕτω γὰρ ἂν ἔφη οἴεσθαι τύς τε θεὺς εὐμενεςάτους εἶναι, καὶ τὰς πόλεις ἥκιςʼ ἂν ἄχθεσθαι) ἡ δὴ ἐκκλησία ἀκύσασα ταῦτα, ἐκεῖνον μὲν φλυαρεῖν ἡγήσατο· (ἤδη γὰρ, ὡς ἔοικε, τὸ δαιμόνιον ἦγεν) ἐπέςειλαν δὲ τῷ Κλεομβρότῳ μὴ διαλύειν τὸ ςράτευμα, ἀλλʼ εὐθὺς ἄγειν ἐπὶ τὺς Θηβαίους, εἰ μὴ αὐτονόμους ἀφιεῖεν τὰς πόλεις.

γ'. Ο * γὰρ Κλεόμβροτος, ἐπειδὴ ἐπύθετο τὴν εἰρήνην γεγενημένην, πέμψας πρὸς τὺς Εφόρους, ἠρώτα τί χρὴ ποιεῖν· οἱ δʼ ἐκέλευσαν αὐτὸν ςρατεύειν ἐπὶ τὺς Θηβαίους, εἰ μὴ ἀφιεῖεν τὰς Βοιωτίας πόλεις αὐτονόμους. ἐπεὶ δ' ἤθετο ὐχ ὅπως τὰς πόλεις ἀφιέντας, ἀλλʼ ὐδὲ τὸ ςράτευμα διαλύοντας, ὡς ** ἀντιτάξοιντο πρὸς αὐτὸν, ὕτω δὴ ἄγει τὴν ςρατιὰν εἰς τὴν Βοιωτίαν. καὶ ἦ μὲν οἱ Θηβαῖοι ἐμβάλλειν αὐτὸν ἐκ τῶν Φωκέων προσεδόκων, καὶ ἐπὶ ςενῷ

tum quaeque vellet: ac ſi deinde quis vrbium libertati officeret, rurſum excitandos eſſe ſocios, quicunque libertatem defendere ſuis auxiliis cuperent, atque ita ducendum adverſus hoſtes exercitum: quod exiſtimaret, hoc modo tum Deos maxime propitios futuros, tum vrbes ipſas haud grauatim iſta laturas: auditis iis, concilium publicum nugas hominem agere cenſuit, quod iam a numine agitabantur, vt credi par eſt: ſimul Cleombroto denuntiant, minime copias dimitteret, ſed quamprimum aduerſus Thebanos duceret, ni ciuitatibus libertatem reſtituerent.

3. Nam is, poſtea quam pacem eſſe factam audierat, miſerat ad Ephoros interrogatum, quid ſibi faciundum eſſet. Mandant illi, vt Thebanis bellum faceret, niſi ciuitates Boeoticas libertate frui ſinerent. Itaque quum animaduertiſſet, tantum abeſſe, vt liberas Boeoti ciuitates eſſe permitterent, vt, non dimiſſis copiis, etiam contra Cleombrotum ſuos in aciem educerent: ita demum in Boeotiam cum exercitu pergit. Et qua quidem eum irrupturum e finibus Phocenſium in ſuos Thebani arbitrabantur, non irrupit:

* Al. ὁ δὴ κλ. ** Al. ἀντιτάξοντο. ſed

ϛενῷ τινι ἐφύλατ]ον, ὐκ ἐμβάλλει· διὰ Θισβῶν δὲ ὀρεινὴν καὶ ἀπροσδόκητον πορευθεὶς, ἀφικνεῖται εἰς Κρεῦσιν, καὶ τὸ τεῖχος αἱρεῖ, καὶ τριήρεις τῶν Θηβαίων δωδεκα λαμβάνει.

δ'. Ταῦτα δὲ ποιήσας, καὶ ἀναβὰς ἀπὸ τῆς θαλάτ]ης, ἐϛρατοπεδεύσατο ἐν Λεύκτροις τῆς Θεσπικῆς. οἱ δὲ Θηβαῖοι ἐϛρατοπεδεύσαντο ἐπὶ τῷ ἀπαντικρὺ λόφῳ, ϗ πολὺ διαλείποντες, ϗδένας ἔχοντες συμμάχους, ἀλλ' ἢ τὺς Βοιωτύς. ἔνθα δὴ τῷ Κλεομβρότῳ οἱ μὲν φίλοι προσιόντες, ἔλεγον·

ε'. "Ω Κλεόμβροτε, εἰ ἀφήσεις τὺς Θηβαίυς ἄνευ μάχης, κινδυνεύσεις ὑπὸ τῆς πόλεως τὰ ἔσχατα παθεῖν. ἀναμνηθήσονται γάρ σε, καὶ ὅτι εἰς Κυνὸς κεφαλὰς ἀφικόμενος ϗδὲν τῆς χώρας τῶν Θηβαίων ἐδήωσας, καὶ ὅτι ὕϛερον ϛρατεύων, ἀπεκρύσθης τῆς ἐμβολῆς, Ἀγησιλάϗ ἀεὶ ἐμβάλλοντος διὰ τῦ Κιθαιρῶνος. εἴπερ ὧν ἢ σαυτῦ κήδῃ, ἢ τῆς πατρίδος ἐπιθυμεῖς, ἀκλέον ἐπὶ τὺς ἄνδρας." οἱ μὲν φίλοι τοιαῦτα ἔλεγον. οἱ δ' ἐναντίοι· νῦν δή, ἔφασαν,

sed via montana, eaque improvisa, per Thisbas profectus, Creusim peruenit, ac vna cum oppido triremes Thebanorum XII cepit.

4. Quibus rebus gestis, a mari ascendens ad Leuctra, Thespiensium in finibus castra locat. Ei castra sua Thebani, aduerso in tumulo, non magno ex interuallo, opponunt; quum sociorum copias, extra Boeoticas, omnino nullas haberent. Heic quum ad Cleombrotum amici accessissent, inquiunt:

5. Si Thebanos hinc, non commisso proelio, Cleombrote, discedere passus fueris: periculum erit, ne te extremo patria supplicio multet. Repetent enim hoc quoque memoria, non vastatos abs te Thebanorum fuisse fines id temporis, quum ad Cynos cephalas venisses: et quod deinceps, suscepta aduersus eos expeditione, prohibitus aditu fueris, Agesilao semper in eorum fines per Cithaeronem irrumpente. Quapropter, si tua tibi curae est incolumitas, si patriae videndae desiderio tangeris: in hostem modo tibi pergendum erit. Huiusmodi amicorum erat oratio. Qui autem a Cleombroto dissidebant: Nunc ostendet, aiebant,

σαν, δηλώσει ὁ ἀνὴρ, εἰ τῷ ὄντι κήδεται τῶν Θηβαίων, ὥσπερ λέγεται.

5'. Ὁ μὲν δὴ Κλεόμβροτος ταῦτα ἀκούων παρωξύνετο πρὸς τὸ μάχην συνάπτειν. τῶν δ' αὖ Θηβαίων οἱ προεστῶτες ἐλογίζοντο, ὡς εἰ μὴ μάχοιντο, ἀποστήσοιντο μὲν αἱ περιοικίδες αὐτῶν πόλεις, αὐτοὶ δὲ πολιορκήσοιντο. εἰ δὲ μὴ ἔξοι ὁ δῆμος ὁ Θηβαίων τἀπιτήδεια, ὅτι κινδυνεύσοι καὶ ἡ πόλις αὐτοῖς ἐναντία γενέσθαι. ἅτε δὴ καὶ πεφευγότες πρόσθεν πολλοὶ αὐτῶν, ἐλογίζοντο κρεῖσσον εἶναι μαχομένους ἀποθνήσκειν, ἢ πάλιν φεύγειν.

ζ'. Πρὸς δὲ τούτοις παρεθάρρυνε μέν τι αὐτοὺς καὶ ὁ χρησμὸς ὁ λεγόμενος, ὡς δέοι ἐνταῦθα Λακεδαιμονίους ἡττηθῆναι, ἔνθα τὸ τῶν παρθένων ἦν μνῆμα· αἱ λέγονται διὰ τὸ βιασθῆναι ὑπὸ Λακεδαιμονίων τινῶν, ἀποκλεῖναι ἑαυτάς. καὶ ἐκόσμησαν δὴ τοῦτο τὸ μνῆμα οἱ Θηβαῖοι πρὸ τῆς μάχης. ἀπηγγέλλετο δὲ ἐκ τῆς πόλεως αὐτοῖς, ὡς οἵ τε νεὼ πάντες αὐτόματοι ἀνεῴγοντο, αἵ τε ἱέρειαι λέγοιεν, ὡς νίκην οἱ Θεοὶ φαίνοιεν. ἐκ δὲ τοῦ Ἡρακλείου καὶ τὰ ὅπλα ἔφασαν

aiebant, Thebanisne reuera faueat, vti perhibetur.

6. Haec quum Cleombrotus audiret, ad committendam pugnam irritabatur. Contra, Thebani quoque proceres ratiocinabantur, si proelio non decernerent, ab ipsorum fide discessura finitima oppida, sequuturamque Thebarum obsidionem. Iam si commeatum populus Thebanus nullum habiturus esset, periculum fore, ne ipsa sit eis vrbs etiam adversatura. Quamobrem colligebant secum, vt qui plerique antehac exulassent; satius esse, pugnando mortem oppetere, quam rursus in exilium eiici.

7. Praeterea nonnihil eis addebat animi quoddam oraculum, quo ferebatur, eo loci Lacedaemonios cladem perpessuros, quo virginum illarum monumentum esset, quae, ob illatum sibi vi stuprum a Lacedaemoniis quibusdam, seipsas interemisse perhibentur. Atque hoc ipsum monumentum ante pugnam Thebani ornabant. Et nuntiabatur iisdem e ciuitate, fana vniuersa sponte sua se aperuisse; ipsasque sacerdotes dicere, portendi victoriam diuinitus. Ferebatur etiam, de Herculis fano arma euanuisse;

ἔφασαν ἀφανῆ εἶναι, ὡς τῷ Ἡρακλέους εἰς τὴν μάχην ἐξωρμημένῳ. οἱ μὲν δή τινες λέγουσιν, ὡς ταῦτα πάντα τεχνάσματα ἦν τῶν προεστηκότων.

η'. Εἰς δ' ἦν τὴν μάχην πάντα τἀναντία τοῖς μὲν Λακεδαιμονίοις ἐγίγνετο, τοῖς δὲ πάντα καὶ ὑπὸ τῆς τύχης κατωρθοῦτο. ἦν μὲν γὰρ μετ' ἄριστον τῷ Κλεομβρότῳ ἡ τελευταία βυλὴ περὶ τῆς μάχης. ἐν δὲ τῇ μεσημβρίᾳ ὑποπινόντων, καὶ τὸν οἶνον παροξύναι τι αὐτοὺς ἐλέγετο.

θ'. Ἐπεὶ δὲ ὡπλίζοντο ἑκάτεροι, καὶ πρόδηλον ἤδη ἦν, ὅτι ἡ μάχη ἔσοιτο, πρῶτον μὲν ἀπιέναι ὡρμημένων ἐκ τοῦ Βοιωτίου στρατεύματος τῶν τὴν ἀγορὰν παρεσκευακότων, καὶ σκευοφόρων τινῶν, καὶ τῶν ὀ βυλομένων μάχεσθαι, περιιόντες κύκλῳ οἵ τε μετὰ τοῦ Ἱέρωνος μισθοφόροι, καὶ οἱ τῶν Φωκέων πελτασταὶ, καὶ τῶν ἱππέων Ἡρακλειῶται καὶ Φλιάσιοι, ἐπιθέμενοι τοῖς ἀπιοῦσιν, ἐπέστρεψάν τε αὐτοὺς, καὶ κατεδίωξαν πρὸς τὸ στρατόπεδον τὸ τῶν Βοιωτῶν· ὥστε πολὺ μὲν ἐποίησαν μεῖζόν τε καὶ ἀθροώτερον, ἢ πρόσθεν, τὸ τῶν Βοιωτῶν στράτευμα.

ι. Ἐπειτα

enanuiſſe; quaſi ad proelium Hercules profectus eſſet. A nonnullis tamen proditur, reipublicae praefectorum haec omnia fuiſſe commenta.

8. Lacedaemoniis autem adverſa ad hoc proelium accidiſſe omnia conſtat, quum, quae a Thebanis fierent, praeclare fortuna verteret omnia. Nam Cleombrotus a prandio de pugna poſtremum deliberabat. Et quia largius in meridie biberant, ferebatur etiam ipſos a vino fuiſſe nonnihil incitatos.

9. Poſteaquam vtrique armis e munirent, iamque cuiuis paeret, committendam eſſe pugnam: Primum excedere de Boeotorum exercitu incipiunt ii, qui forum rerum venalium parauerant, itemque nonnulli calones et alii, qui pugnare nolebant. Tum vero, itinere flexo, circumeuntes Hieronis ſtipendiarii cum Phocenſium cetratis, ac quibuſdam Heraclienſibus, Phliaſiiſque equitibus, diſcedentes adoriuntur, et ad ſuos reuerti cogunt, fugientes ad ipſa Boeotorum vſque caſtra perſequuti. Quapropter Boeotorum exercitus ab ipſis hoſtibus longe redditus eſt tum amplior, tum numeroſior, quam prius.

10. Deinde

ί. Επειτα δὲ, ἅτε καὶ πεδίῳ ὄντος τῷ μεταξύ, προετάξαντο μὲν τῆς ἑαυτῶν φάλαγγος οἱ Λακεδαιμόνιοι τὰς ἱππέας, ἀντετάξαντο δ' αὐτοῖς καὶ οἱ Θηβαῖοι τὰς ἑαυτῶν. ἦν δὲ τὸ μὲν τῶν Θηβαίων ἱππικὸν μεμελετηκὸς, διά τε τὸν πρὸς Ορχομενίους πόλεμον, καὶ διὰ τὸν πρὸς Θεσπιέας· τοῖς δὲ Λακεδαιμονίοις κατ' ἐκεῖνον τὸν χρόνον πονηρότατον ἦν τὸ ἱππικόν.

ια'. Ετρεφον μὲν γὰρ τὰς ἵππους οἱ πλουσιώτατοι. ἐπεὶ δὲ φοιτὰ φανθείη, τότε ἦκεν ὁ συντεταγμένος· λαβὼν δ' ἂν τὸν ἵππον καὶ ὅπλα, ὁποῖα δοίη αὐτῷ, ἐκ τῶ παραχρῆμα ἂν ἐστρατεύετο. τῶν δ' αὖ στρατιωτῶν οἱ τοῖς σώμασιν ἀδυνατώτατοι καὶ ἥκιστα φιλότιμοι ἐπὶ τῶν ἵππων ἦσαν.

ιβ'. Τοιοῦτον μὲν δὴ τὸ ἱππικὸν ἑκατέρων ἦν. τῆς δὲ φάλαγγος τὰς μὲν Λακεδαιμονίους ἔφασαν εἰς * τρὶς τὴν ἐνωμοτίαν ἄγειν. τοῦτο δὲ συμβαίνειν αὐτοῖς ὀ πλέον ἢ εἰς δώδεκα τὸ βάθος. οἱ δὲ Θηβαῖοι ὀκ ἔλαττον ἢ ἐπὶ πεντήκοντα

10. Deinde Lacedaemonii, quod locus inter vtraſque copias interiectus campeſtris eſſet, equites prima in acie ante phalangem collocabant, quibus equites itidem ſuos Thebani opponebant. Erant autem equeſtres Thebanorum copiae, partim propter geſtum aduerſus Orchomenios, partim adverſus Theſpienſes bellum, exercitatae: quum id temporis Lacedaemoniorum equitatus ignaviſſimus eſſet.

11. Nam equos opulentiſſimus quiſque alebat, quotieſque delectus haberentur, veniebat is, qui militiae deſtinatus erat; acceptoque tum equo, tum armis, qualiacunque tandem ſuppeditarentur, in expeditionem ſubito properabat. Praeterea milites equis erant impoſiti, qui et corporibus eſſent maxime imbecillis, et gloriae cupiditate non admodum ducerentur.

12. Atque huiuſmodi tunc erat vtriuſque partis equitatus. Caeterum perhibebatur, Lacedaemonios phalangem manipulis in ternos explicatis duxiſſe: quo fiebat, vt ipſorum acies tantum milites XII eſſet denſa. Thebani contra, ſic aciem ſuam denſauerant; vt in latitudine non pauciores quinqua-

ginta

* Forte τρία vel τριῶς.

κοντα ἀσπίδων συνεσραμμένοι ἦσαν, λογιζόμενοι ὡς εἰ νικήσειαν τὸ περὶ τὸν βασιλέα, τὸ ἄλλο πᾶν εὐχείρωτον ἔσοιτο.

ιγ'. Ἐπεὶ δὲ ἤρξατο ἄγειν ὁ Κλεόμβροτος πρὸς τοὺς πολεμίους, πρῶτον μὲν, πρὶν καὶ αἰσθέσθαι τὸ μετ' αὐτοῦ στράτευμα, ὅτι ἡγοῖτο, καὶ δὴ οἱ ἱππεῖς συνεβεβλήκεσαν, καὶ ταχὺ ἥττηντο οἱ τῶν Λακεδαιμονίων. φεύγοντες δὲ ἐνεπεπλώκεσαν τοῖς ἑαυτῶν ὁπλίταις. ἔτι καὶ ἐνέβαλλον οἱ τῶν Θηβαίων λόχοι. ὅμως δὲ, ὡς οἱ μὲν περὶ τὸν Κλεόμβροτον τὸ πρῶτον ἐκράτησαν τῇ μάχῃ, σαφεῖ τούτῳ τεκμηρίῳ γνοίη τις ἄν. οὐ γὰρ ἂν ἠδύναντο αὐτὸν ἀνελέσθαι, καὶ ζῶντα ἀπενεγκεῖν, εἰ μὴ οἱ πρὸ αὐτοῦ μαχόμενοι ἐπεκράτησαν ἐν ἐκείνῳ τῷ χρόνῳ.

ιδ'. Ἐπεὶ μέντοι ἀπέθανε Δείνων τε ὁ Πολέμαρχος, καὶ Σφοδρίας τῶν * περὶ δημοσίαν, καὶ Κλεώνυμος ὁ υἱὸς αὐτοῦ· καὶ οἱ μὲν ἱππεῖς, καὶ οἱ συμφορεῖς τῷ πολεμάρχῳ καλούμενοι, οἵ τε ἄλλοι, ὑπὸ τοῦ ὄχλου ὠθού-

ginta ſcutatis eſſent. Nam ratiocinabantur futurum, vt illa hoſtilis aciei parte victa, quae circum regem eſſet, reliqui facile ſuperarentur.

13. Poſteaquam mouere Cleombrotus in hoſtem coepiſſet, primum etiam ante quam ipſius copiae ſenſiſſent, eum aduerſus hoſtem ducere, iam conflixerant equites; inque hoc conflictu Lacedaemoniorum equitatus cito ſuccubuerat. Itaque is fugiens, in ſuos grauis armaturae pedites irruerat. Praeterea Thebanae cohortes in eoſdem impreſſionem faciebant. Nihilominus copias Cleombroti ab initio ſuperiores in pugna fuiſſe, vel de hoc aliquis argumento certo animaduertere poſſit. Non enim tollere Cleombrotum, viuumque deportare extra aciem potuiſſent; ſi non id temporis ii, qui ante ipſum dimicabant, ſuperiores extitiſſent.

14. At poſteaquam et ipſe, et Dinon Polemarchus, et Sphodrias, vnus ex illis, qui publico tabernaculo vtebantur, eiusque filius Cleonymus, cecidiſſent: et equites cum iis, qui Polemarchi comites appellantur, itidemque caeteri, ab homi-

num

* Quaſi δημ. σκηνὴν.

ὠθύμενοι, ἀνεχώρουν· οἱ δὲ τὸ εὐωνύμου ὄντες τῶν Λακεδαιμονίων, ὡς εἶδον τὸ δεξιὸν ὠθύμενον, ἐνέκλιναν· ὅμως δὲ πολλῶν τεθνεώτων, καὶ ἠσσημένοι, ἐπεὶ διέδησαν τὴν τάφρον, ἡ πρὸ τοῦ στρατοπέδου ἔτυχεν οὖσα αὐτοῖς, ἔθεντο τὰ ὅπλα κατὰ χώραν, ἔνθεν ὥρμηντο. (ἦν μέντοι οὐ πάνυ ἐν ἐπιπέδῳ, ἀλλὰ πρὸς ὀρθίῳ μᾶλλόν τι τὸ στρατόπεδον) ἐκ δὲ τούτου ἦσαν μέν τινες τῶν Λακεδαιμονίων, οἳ ἀφόρητον τὴν συμφορὰν ἡγούμενοι, τό, τε τρόπαιον ἔφασαν χρῆναι κωλύειν ἱσάναι τοὺς πολεμίους, τούς τε νεκροὺς μὴ ὑποσπόνδους, ἀλλὰ διὰ μάχης πειρᾶσθαι ἀναιρεῖσθαι.

ιε'. Οἱ δὲ πολέμαρχοι, ὁρῶντες μὲν τῶν συμπάντων Λακεδαιμονίων τεθνεῶτας ἐγγὺς χιλίους, ὁρῶντες δ' αὐτῶν Σπαρτιατῶν ὄντων τῶν ἐκεῖ ὡς ἑπτακοσίων τεθνηκότας περὶ τετρακοσίους, αἰσθανόμενοι δὲ τοὺς συμμάχους πάντας μὲν ἀθύμως ἔχοντας πρὸς τὸ μάχεσθαι· ἔστι δὲ οὓς αὐτῶν καὶ ἀχθομένους τῷ γεγενημένῳ· συλλέξαντες τοὺς ἐπιτηδειοτάτους, ἐβουλεύοντο, τί χρὴ ποιεῖν. ἐπεὶ δὲ πᾶσιν ἐδόκει ὑπο-

num turba impulsi, pedem retulissent: alii Lacedaemonii, qui laeuo erant in latere, premi cornu dextrum conspicati, et ipsi loco cederent: multis denique pereuntibus, quum victi, fossa, quae ante ipsorum castra erat, superata, in armis eo loco constitissent, vnde progressi fuerant: (et habebant loco non admodum plano castra, sed potius nonnihil acclivi) tum vero nonnulli ex Lacedaemoniis erant, qui non ferendam hanc cladem arbitrarentur, ideoque dicerent, haudquaquam permittendum hosti, vt tropaeum statueret, tollendaque mortuorum cadauera non per inducias, sed commisso cum hostibus proelio.

15. Verum polemarchi, quod ex vniuersis Lacedaemoniis prope CIↃ occubuisse cernerent, atque etiam de IↃCC Spartanis (tot enim istic fuerant) CCCC periisse: praeterea socios omnes animaduerterent, minime ad pugnandum alacres esse, ac nonnullos ex eis, id quod accidisset, haud grauatim ferre: collectis hominibus maxime idoneis, quid agendum esset, deliberabant. Posteaquam omnes censuissent, interfectorum cadauera

per

ὑποσπόνδους τοὺς νεκροὺς ἀναιρεῖσθαι, ἔτω δὴ ἔπεμψαν κήρυκα περὶ σπονδῶν. οἱ μέντοι Θηβαῖοι μετὰ ταῦτα καὶ τρόπαιον ἔστησαντο, καὶ τοὺς νεκροὺς ὑποσπόνδους ἀπέδοσαν.

15'. Γενομένων δὲ τούτων, ὁ μὲν εἰς τὴν Λακεδαίμονα ἀγγελῶν τὸ πάθος ἀφικνεῖται, γυμνοπαιδιῶν τε ὐσῶν τῆς τελευταίας, καὶ τῦ ἀνδρικῦ χορῦ ἔνδον ὄντος. οἱ δὲ Ἔφοροι ἐπεὶ ἤκουσαν τὸ πάθος, ἐλυπῶντο μὲν, ὥσπερ οἶμαι, ἀναγκη· τὸν μέντοι χορὸν οὐκ ἐξήγαγον, ἀλλὰ διαγωνίσασθαι εἴων. καὶ τὰ μὲν ὀνόματα πρὸς τοὺς οἰκείους ἑκάστου τῶν τεθνεώτων ἀπέδοσαν· προεῖπον δὲ ταῖς γυναιξὶ μὴ ποιεῖν κραυγὴν, ἀλλὰ σιγῇ τὸ πάθος φέρειν. τῇ δὲ ὑστεραίᾳ ἦν ὁρᾶν, ὧν μὲν ἐτέθνασαν οἱ προσήκοντες, λιπαροὺς καὶ φαιδροὺς ἐν τῷ φανερῷ ἀναστρεφομένους· ὧν δὲ ζῶντες ἤγγελμένοι ἦσαν, ὀλίγους ἂν εἶδες, τούτους δὲ σκυθρωποὺς καὶ ταπεινοὺς περιϊόντας.

ιζ'. Ἐκ δὲ τούτου, φρουρὰν μὲν ἔφαινον οἱ Ἔφοροι τῶν ὑπολοίπων μόραιν, μέχρι τῶν τετταράκοντα ἀφ' ἥβης· ἐξέπεμπον δὲ καὶ ἀπὸ τῶν ἔξω μοιρῶν μέχρι τῆς αὐτῆς

per inducias esse tollenda; caduceatorem mittunt, qui de induciis ageret. Secundum haec Thebani tropaeum excitant, ac per inducias mortuos reddunt.

16. His actis, venit Lacedaemonem cladis nuntius, idque die vltimo ludorum, qui a nudis exhibebantur, quum iam chorus virilis ingressus esset. Ephori de clade certiores redditi, erant illi quidem in moerore, idque necessario, mea sane sententia: non tamen chorum exire iubebant, sed peragendi muneris copiam faciebant. Deinde nomina interfectorum propinquis tradunt, simulque mulieribus edicunt, ne clamorem tollerent, sed tacite calamitatem hanc ferrent. Postridie cernere erat, illos, quorum propinqui occubuerant, nitidos ac laetos in publico versari: quorum autem cognati superstites esse nuntiati fuerant, perpaucos vidisses, eosque vultu tristi ac deiecto obambulantes.

17. Secundum ea delectus Ephori reliquarum cohortium habebant, vsque ad illos, qui annum a pubertate XL excesserant. Praeterea quosdam mittebant eiusdem aetatis, ex iis etiam cohortibus, quas domi non

αὐτῆς ἡλικίας· (τὸ γὰρ πρόσθεν εἰς τὰς Φωκέας μέχρι τῶν πέντε καὶ τριάκοντα ἀφ' ἥβης ἐστρατεύοντο) καὶ τὰς ἐπ' ἀρχαῖς δὲ τότε καταλειφθέντας ἀκολουθεῖν ἐκέλευον.

ιή. Ο μὲν οὖν Αγησίλαος ἐκ τῆς ἀθενείας οὔπω ἴσχυεν· ἡ δὲ πόλις Αρχίδαμον τὸν υἱὸν αὐτοῦ ἐκέλευεν ἡγεῖσθαι· προθύμως δ' αὐτῷ συνεστρατεύοντο Τεγεᾶται. ἔτι γὰρ ἔζων οἱ περὶ Στάσιππον λακωνίζοντες, καὶ οὐκ ἐλάχιστον δυνάμενοι ἐν τῇ πόλει. ἐρρωμένως δὲ καὶ οἱ Μαντινεῖς ἐκ τῶν κωμῶν συνεστρατεύοντο. ἀεισυστρατόμενοι γὰρ ἐτύγχανον. καὶ Κορίνθιοι δὲ, καὶ Σικυώνιοι, καὶ Φλιάσιοι, καὶ Αχαιοὶ μάλα προθύμως ἠκολούθουν, καὶ ἄλλαι δὲ πόλεις ἐξέπεμπον στρατιώτας. ἐπλήρουν δὲ καὶ τριήρεις αὐτοί τε οἱ Λακεδαιμόνιοι, καὶ οἱ Κορίνθιοι, καὶ ἐδέοντο καὶ τῶν Σικυωνίων συμπληροῦν, ἐφ' ὧν διενοοῦντο τὸ στράτευμα διαβιβάζειν.

ιθ'. Καὶ ὁ μὲν δὴ Αρχίδαμος ἐθύετο ἐπὶ τῇ διαβάσει·

non habebant. Nam ante proelium hoc, ſuos aduerſus Phocenſes militatum miſerant omnes, quotquot annos xxxv a pubertate exegerant. Iuſſi denique ſunt et illi militatum ire, qui, vt magiſtratus quosdam obirent, domi relicti fuerant.

18. Necdum adhuc Ageſilaus conualuerat. Quapropter Archidamum eius filium reſpublica ſuis copiis praeſecit. Ei ſe perlubenter hac in expeditione Tegeatae adiungebant, quod adhuc ii, qui Staſippo duce Lacedaemoniis fauebant, ſuperſtites eſſent, neque parum in republica ſua poſſent. Itidem Mantinei validis cum copiis, de vicis ipſorum collectis, hac in expeditione ſequebantur; quod ab optimatibus regerentur. Praeterea Corinthii, Sicyonii, Phliaſii, Achaei alacriter admodum ſequebantur, aliis etiam ciuitatibus milites ſuos mittentibus. Triremes quoque tum a Lacedaemoniis ipſis, tum Corinthiis, inſtruebantur; ſimulque Sicyonii rogabantur, vt et ipſi quaſdam inſtruerent, quibus Lacedaemonii copias ſuas tranſportare cogitabant.

19. Hinc Archidamus exta de traiiciendo

διαβάσει. οἱ δὲ Θηβαῖοι εὐθὺς μετὰ τὴν μάχην ἔπεμψαν εἰς Ἀθήνας ἄγγελον ἐστεφανωμένον, καὶ ἅμα μὲν τῆς νίκης τὸ μέγεθος ἔφραζον, ἅμα δὲ βοηθεῖν ἐκέλευον, λέγοντες, ὡς νῦν ἐξείη, Λακεδαιμονίους πάντων, ὧν ἐπεποιήκεσαν αὐτοὺς, τιμωρήσασθαι.

κ'. Τῶν δὲ Ἀθηναίων ἡ βουλὴ ἐτύγχανεν ἐν ἀκροπόλει καθημένη. ἐπεὶ δ' ἤκουσαν τὸ γεγενημένον, ὅτι μὲν σφόδρα ἠνιάθησαν, πᾶσι δῆλον ἐγένετο. ὅτε γὰρ ἐπὶ ξένια τὸν κήρυκα ἐδέξαντο, περί τε τῆς βοηθείας οὐδὲν ἀπεκρίναντο. καὶ Ἀθήνηθεν μὲν ὅτως ἀπῆλθεν ὁ κῆρυξ. πρὸς μέντοι Ἰάσονα σύμμαχον ὄντα ἔπεμπον σπουδῇ οἱ Θηβαῖοι, κελεύοντες βοηθεῖν, διαλογιζόμενοι πῇ τὸ μέλλον ἀποβήσοιτο.

κα'. Ὁ δ' εὐθὺς τριήρεις μὲν ἐπλήρου, ὡς βοηθήσων κατὰ θάλατταν, συλλαβὼν δὲ τό, τε ξενικὸν καὶ τοὺς περὶ αὐτὸν ἱππεῖς, καίπερ ἀκηρύκτῳ πολέμῳ τῶν Φωκέων χρωμένων, πεζῇ διεπορεύθη εἰς τὴν Βοιωτίαν, ἐν πολλαῖς

traiiciendo exercitu consulebat. Thebani vero statim a pugna nuntium coronatum Athenas mittunt, perque hunc tum victoriae magnitudinem exponunt, tum ad ferendum opem Athenienses hortabantur. Aiebant enim, posse modo a Lacedaemoniis exigi poenas eorum omnium nomine, quae aduersus ipsos designassent.

20. Forte tum Senatus Athenienſis in arce sedebat. Is quum de re tota certior factus esset, perquam grauiter casum hunc ferebat: vti omnibus constabat. Quippe nec vt hospitem excipiebant hunc nuntium, et de auxiliis respondebant omnino nihil. Itaque quum nuntius Athenis hoc modo rediisset, magna cum festinatione Thebani ad Iasonem, quem habebant socium, mittunt; eumque cohortantur, vti opem ipsis ferret. Nam quo res euasura esset, dispiciebant.

21. Is confestim expediri triremes iubet, quasi mari laturus eis esset suppetias. Interim ipse, sumtis secum mercenariis copiis, et equestribus, quas alebat, tametsi Phocenses bellum implacabile aduersus ipsum gererent; terrestri tamen itinere in Boeotiam profectus est,

πολλαῖς τῶν πόλεων πρότερον ὀφθεὶς, ἢ ἀγγελθεὶς ὅπῃ πορεύοιτο. πρὶν δὲ συλλέγεσθαί τι πανταχόθεν, ἔφθανε πόρρω γιγνόμενος, δῆλον ποιῶν, ὅτι πολλαχῇ τὸ τάχος μᾶλλον τῆς βίας διαπεράτ]εται τὰ δέοντα.

κβ'. Ἐπεὶ δὲ ἀφίκετο εἰς τὴν Βοιωτίαν, λεγόντων τῶν Θηβαίων, ὡς καιρὸς εἴη ἐπιτίθεσθαι τοῖς Λακεδαιμονίοις, ἄνωθεν μὲν ἐκεῖνον σὺν τῷ ξενικῷ, σφᾶς δὲ ἀντιπροσώπους, ἀπέτρεπεν αὐτὸς ὁ Ἰάσων· διδάσκων, ὡς καλῶ ἔργῳ γεγενημένῳ, μὴ ἄξιον αὐτοῖς εἴη διακινδυνεῦσαι, ὥστε ἢ ἔτι μείζω καταπρᾶξαι, ἢ στερηθῆναι καὶ τῆς γεγενημένης νίκης.

κγ'. "Οὐχ ὁρᾶτε, ἔφη, ὅτι καὶ ὑμεῖς, ἐπεὶ ἐν ἀνάγκῃ ἐγένεσθε, ἐκρατήσατε; οἴεσθαι ἂν χρὴ καὶ Λακεδαιμονίους ἂν, εἰ ἀναγκάζοιντο ἐκγενέσθαι τῷ ζῆν, ἀπονοηθέντας διαμάχεσθαι. καὶ ὁ Θεὸς δὲ, ὡς ἔοικε, πολλάκις χαίρει τοὺς μὲν μικροὺς, μεγάλους ποιῶν· τοὺς δὲ μεγάλους, μικρούς."

κδ'. Τοὺς μὲν ἂν Θηβαίους, τοιαῦτα λέγων, ἀπέτρεπε τῷ

est, citius quibuſdam in vrbibus viſus, quam, quo pergeret, nuntiatum eſſet. Idem prius quam colligi copiae vndecunque poſſent, procul euaſerat: qua quidem re declarabat, ſaepenumero ea, quae geri debeant, celeritate facilius quam vi perfici.

22. Poſteaquam in Boeotiam veniſſet, ac Thebani tempus oblatum eſſe dicerent idoneum, quo Iaſon de ſuperiori loco, mercenario cum milite; ipſi ex adverſo Lacedaemonios inuaderent: ab hoc eos ille inſtituto auertit, quum moneret, re praeclare geſta non operae pretium eſſe, vt in id periculum ſe rurſus coniicerent, quo vel maiora perpetrarent; vel victoriam, quam adepti eſſent, amitterent:

23. An non videtis, inquit, vos etiam eo tempore victoria potitos eſſe, quo maxima neceſſitate vrgebamini? Quapropter putandum eſt, Lacedaemonios quoque, ſi eo redigantur, vt vitae ſpem abiiciant, ſalute deſperata pugnaturos. Praeterea Deo, vti quidem videtur, ſaepenumero volupe eſt, eos qui parvi ſunt, magnos; qui magni ſunt, paruos facere.

24. Huiuſmodi verbis Thebanos, quo minus de ſumma re-

τῷ διακινδυνεύειν. τὰς δ' αὖ Λακεδαιμονίους ἐδίδασκεν, οἷον μὲν εἴη ἡσσημένον στράτευμα, οἷον δὲ νενικηκός. "εἰ δ' ἐπιλαθέσθαι, ἔφη, βούλεσθε τὸ γεγενημένον πάθος, συμβουλεύω ἀναπαυσαμένους, καὶ μείζους γεγενημένους, τοῖς ἀητῆτοις ὕστως εἰς μάχην ἰέναι. νῦν δὲ, ἔφη, εὖ ἴσε, ὅτι καὶ τῶν συμμάχων ὑμῖν εἰσὶν, οἳ διαλέγονται περὶ φιλίας τοῖς πολεμίοις· ἀλλὰ ἐκ παντὸς τρόπου σπονδὰς πειρᾶσθε λαβεῖν. ταῦτα δ', ἔφη, ἐγὼ προθυμοῦμαι, σῶσαι ὑμᾶς βουλόμενος, διά τε τὴν τοῦ πατρὸς φιλίαν πρὸς ὑμᾶς, καὶ διὰ τὸ προξενεῖν ὑμῶν."

κε'. Ελεγε μὲν δὴ τοιαῦτα, ἔπρατε δ' ἴσως, ὅπως διάφοροι καὶ ὕστοι ἀλλήλοις ὄντες, ἀμφότεροι ἐκείνου δέοιντο. οἱ μέντοι Λακεδαιμόνιοι ἀκούσαντες αὐτοῦ, πράττειν περὶ τῶν σπονδῶν ἐκέλευον. ἐπεὶ δ' ἀπηγγέλθη, ὅτι εἴησαν αἱ σπονδαὶ, παρήγγειλαν οἱ πολέμαρχοι δειπνήσαντας συνεσκευάσθαι πάντας,

rum periclitarentur, auertebat. Ex altera parte Lacedaemonios docebat, cuiusmodi sit victus, cuiusmodi victor exercitus. Quod si, ait, obliuisci cladis eius, quae vobis accidit, vultis: equidem hoc vobis consilii do, vt posteaquam nonnihil refecti eritis, maioremque potentiam nacti; sic deinde Thebanos, iam inuictos, adoriamini. Nam hoc tempore scire vos volo, quosdam e sociis vestris esse, qui de amicitia ineunda cum hostibus colloquantur. Quamobrem vobis omnino danda est opera, vt inducias impetretis. Atque haec, inquit, ago tanto studio, quod vestrae saluti consulere cupiam: partim propter eam amicitiam, quae patri meo vobiscum interceſſit; partim quod hospes vester publicus sim.

25. Huiusmodi quaedam ab Iasone dicebantur: quanquam haec fortassis idcirco faceret, vt vtrique inter se dissidentes ipsius opera indigerent. Caeterum Lacedaemonii, posteaquam ipsum audiissent; vti de induciis ageret, hortabantur. Posteaquam renuntiatum esset, inducias iam esse confectas: mandant polemarchi suis, vt omnes, sumta coena, sese ad iter pararent,

τας, ὡς τῆς νυκτὸς πορευσομένους, ὅπως ἅμα τῇ ἡμέρᾳ πρὸς τὸν Κιθαιρῶνα ἀναβαίνοιεν. ἐπεὶ δ' ἐδείπνησαν, πρὶν καθεύδειν παραγγείλαντες ἀκολουθεῖν, ἦγοντο εὐθὺς ἀφ' ἑσπέρας τὴν διὰ Κρεύσιος, τῷ λαθεῖν πιστεύοντες μᾶλλον, ἢ ταῖς σπονδαῖς.

κς'. Μάλα δὲ χαλεπῶς πορευόμενοι, (οἷα δὴ ἐν νυκτί τε, καὶ ἐν φόβῳ ἀπιόντες, καὶ χαλεπὴν ὁδὸν) εἰς Αἰγόσθενα τῆς Μεγαρικῆς ἀφικνοῦνται. ἐκεῖ δὲ περιτυγχάνουσι τῷ μετὰ Αρχιδάμου στρατεύματι. ἔνθα δὴ ἀναμείνας ἕως καὶ οἱ σύμμαχοι πάντες παρεγένοντο, ἀπῆγε πᾶν ὁμοῦ τὸ στράτευμα μέχρι Κορίνθου. ἐκεῖθεν δὲ τοὺς μὲν συμμάχους ἀφῆκε, τοὺς δὲ πολίτας οἴκαδε ἀπήγαγεν.

κζ'. Ο μέντοι Ιάσων, ἀπιὼν διὰ τῆς Φωκίδος, Υαμπολιτῶν μὲν τό, τε προάστειον εἷλε, καὶ τὴν χώραν ἐπόρθησε, καὶ ἀπέκτεινε πολλούς· τὴν δ' ἄλλην Φωκίδα διῆλθεν ἀπραγμόνως. ἀφικόμενος δὲ εἰς Ηράκλειαν, κατέβαλε τὸ Ηρακλειωτῶν τεῖχος, δηλονότι ὑ τοῦτο φοβούμενος, μή τινες ἀναπεπταμένης ταύτης τῆς παρόδου πορεύσοιντο ἐπὶ τὴν ἐκείνου

parārent, quod noctu faciundum eſſet, vt cum prima luce Cithaeronem aſcenderent. Vbi coenaſſent, militibus ante ſomnum ſequi iuſſis, ſtatim a veſpera ducebant eos itinere, quo per Creuſim pergitur; quod clandeſtinae profectioni potius, quam induciis vellent fidere.

26. Confecto difficili itinere, (quippe quod et noctu, et magno in metu, et via permoleſta diſcederent) ad oppidum Megaricae ditionis Aegoſthena perueniunt, vbi copias Archidami obuias habebant. Is vero quum iſtic expectaſſet, donec omnes ſocii conueniſſent, exercitum vniuerſum Corinthum vſque abducit, inde ſocios dimittit, et ciues ipſe domum ducit,

27. Iaſon per Phocidem diſcedens, Hyampolitarum ſuburbium cepit, agrum populatus eſt, multos occidit: reliqua Phocide ſic peragrata, vt nihil amplius moliretur. Heracleam vbi veniſſet, Heraclienſium moenia deiecit; non hoc veritus, ne ſi tranſitus is pateret, ditionem ipſius aliqui inuade-

ἐκείνῃ δύναμιν, ἀλλὰ μᾶλλον ἐνθυμούμενος, μή τινες τὴν Ἡράκλειαν, ἐπὶ στενῷ οὖσαν, καταλαβόντες, εἴργοιεν αὐτὸν, εἴπῃ βούλοιτο τῆς Ἑλλάδος πορεύεσθαι.

κή. Ἐπεὶ δ' ἀπῆλθε πάλιν ἐς τὴν Θετταλίαν, μέγας μὲν ἦν, καὶ διὰ τὸ τῷ νόμῳ Θετταλῶν ταγὸς καθεσθαι, καὶ διὰ τὸ μισθοφόρους πολλοὺς τρέφειν περὶ αὑτὸν καὶ πεζοὺς καὶ ἱππέας, καὶ τούτους ἐκπεπονημένους, ὡς ἂν κράτιστοι εἶεν· ἔτι δὲ μείζων καὶ διὰ τὸ συμμάχους πολλοὺς, τοὺς μὲν ἤδη εἶναι αὐτῷ, τοὺς δὲ καὶ ἔτι βούλεσθαι γίγνεσθαι. μέγιστος δ' ἦν τῶν καθ' αὑτὸν, τῷ μηδ' ὑφ' ἑνὸς εὐκαταφρόνητος εἶναι.

κθ'. Ἐπιόντων δὲ Πυθίων, παρήγγειλε μὲν ταῖς πόλεσι βοῦς καὶ οἷς τρέφειν, καὶ αἶγας, καὶ ὗς, καὶ παρασκευάζεσθαι ὡς εἰς τὴν θυσίαν. καὶ ἔφασαν, πάνυ μετρίως ἑκάστῃ πόλει ἐπαγγελλομένῳ, γενέσθαι βοῦς μὲν οὐκ ἐλάσσους χιλίων, τὰ δὲ ἄλλα βοσκήματα πλείω ἢ μύρια. ἐκήρυξε δὲ καὶ νικητήριον χρυσοῦν στέφανον ἔσεσθαι, εἴ τις τῶν πόλεων βοῦν ἡγεμόνα κάλλιστον τῷ Θεῷ θρέψειε.

λ'. Παρήγγειλε

rent: ſed ſecum potius ipſe cogitans, ne qui, capta Heraclea, loco ſita anguſto, prohiberent quo minus in Graeciam pergere poſſet, quocunque ipſi liberet.

28. In Theſſaliam vbi rediiſſet, vir magnus habebatur, partim quod lege Theſſalorum dux conſtitutus eſſet, partim quod magnas ſtipendiariorum militum copias, pedeſtres et equeſtres, aleret, eaſque ſic laboribus aſſuetas, vt longe praeſtantiſſimi eſſent. Praeterea maior erat eam ob cauſſam, quod et multos ſocios iam haberet, et plures ei ſe vellent adiungere. Denique hominum ſaeculi ſui maximus erat in eo, quod nemini eſſet contemtui.

29. Poſteaquam appetiiſſent Pythia, denuntiabat oppidis, vt boues, oues, capras, ſues alerent, ſeque compararent ad ſacrificium. Ferebatur vero, tametſi moderate admodum oppidis ſingulis aliquid imperaſſet, tamen conſequutus eſſe boues non pauciores quam CIↃ, reliqui pecoris ſupra CCIↃↃ. Praeterea per praeconem ſignificari iuſſit, futurum victoriae praemium coronam auream, ſi qua ciuitas bouem ducem pulcherrimum Deo pauiſſet.

30. Etiam

λ'. Παρήγγειλε δὲ καὶ ὡς στρατευσομένοις εἰς τὸν περὶ τὰ Πύθια χρόνον Θετταλοῖς παρασκευάζεσθαι. διενοεῖτο γὰρ, ὡς ἔφασαν, καὶ τὴν πανήγυριν τῷ Θεῷ καὶ τοὺς ἀγῶνας, αὐτὸς διατιθέναι. περὶ μέντοι τῶν ἱερῶν χρημάτων ὅπως μὲν διενοεῖτο, ἔτι καὶ νῦν ἄδηλον. λέγεται γὰρ, ἐπερομένων τῶν Δελφῶν, τί χρὴ ποιεῖν, ἐὰν λαμβάνῃ τῶν τοῦ Θεοῦ χρημάτων, ἀποκρίνασθαι τὸν Θεὸν, ὅτι αὐτῷ μελήσει.

λα'. Ὁ δ' ἂν ἀνὴρ τηλικοῦτος ὢν, καὶ τοσαῦτα καὶ τοιαῦτα διανοούμενος, ἐξέτασιν πεποιηκὼς καὶ δοκιμασίαν τῶν Φεραίων ἱππικῶν, καὶ ἤδη καθήμενος, καὶ ἀποκρινόμενος, εἴ τις δεόμενός του προσίοι, ὑπὸ νεανίσκων ἑπτὰ προσελθόντων, ὡς διαφερομένων τι ἀλλήλοις, ἀποσφάττεται καὶ κατακόπτεται.

λβ'. Βοηθησάντων δὲ ἐρρωμένως τῶν παραγενομένων δορυφόρων, εἷς μὲν ἔτι τύπτων τὸν Ἰάσονα, λόγχῃ πληγεὶς ἀποθνήσκει· ἕτερος δὲ ἀναβαίνων ἐφ' ἵππου ἐγκαταληφθεὶς, καὶ πολλὰ τραύματα λαβὼν, ἀπέθανεν· οἱ δ' ἄλλοι,

30. Etiam hoc Theſſalis denuntiabat, vt ad expeditionem ſe pararent, quam id temporis, quo Pythia celebrantur, ſuſcepturi eſſent. Nam cogitabat, vt aiunt, celebritatis eius ac ludorum moderator eſſe. Quid autem de ſacris ipſe pecuniis cogitarit, etiam nunc obſcurum eſt. Fertur enim, quaerentibus Delphis, quid faciendum eſſet, ſi conſecratas Apollini pecunias Iaſon attrectaret; Deum illum reſpondiſſe, ſibi eam rem curae futuram.

31. Tantus vir, et qui talia tantaque haberet in animo, quum luſtrationem equitatus Pheraeorum inſtitueret, et periculum de eo facere vellet, iamque conſediſſet, ac reſponſurus illis eſſet, quibus aliqua in re opera ipſius opus foret: a ſeptem adoleſcentibus ad ipſum accedentibus, quaſi quadam in cauſſa diſſiderent, iugulatur et conficitur.

32. Quumque viriliter ſatellites ii, qui aderant, ad opem ei ferendam accurriſſent: vnus adhuc Iaſonem feriens, haſta percuſſus interficitur; alius, quum equum conſcendiſſet, comprehenſus, multis acceptis vulneribus, et ipſe moritur. Caeteri paratos in equos inſi-

ἄλλοι, ἀναπηδήσαντες ἐπὶ τὰς παρεσκευασμένας ἵππους, ἀπέφυγον· ὅποι δὲ ἀφίκοιντο τῶν Ελληνίδων πόλεων, ἐν ταῖς πλείσταις ἐτιμῶντο. ᾧ καὶ δῆλον ἐγένετο, ὅτι ἰσχυρῶς ἔδεισαν οἱ Ελληνες αὐτὸν, μὴ τύραννος γένοιτο.

λγ'. Ἀποθανόντος μέντοι ἐκείνου, Πολύδωρος ἀδελφὸς αὐτοῦ, καὶ Πολύφρων, ταγοὶ κατέστησαν. καὶ ὁ μὲν Πολύδωρος, πορευομένων ἀμφοτέρων εἰς τὴν Λάρισσαν, νύκτωρ καθεύδων ἀποθνήσκει ὑπὸ Πολύφρονος τοῦ ἀδελφοῦ, ὡς ἐδόκει. ὁ γὰρ θάνατος αὐτοῦ ἐξαπιναῖός τε, καὶ οὐκ ἔχων φανερὰν πρόφασιν, ἐγένετο.

λδ'. Ο δ' αὖ Πολύφρων ἦρξε μὲν ἔνα ἐνιαυτὸν, κατεσκευάσατο δὲ τὴν ταγείαν τυραννίδι ὁμοίαν. ἔν τε γὰρ Φαρσάλῳ τὸν Πολυδάμαντα καὶ ἄλλους τῶν πολιτῶν ὀκτὼ τοὺς κρατίστους ἀπέκτεινεν, ἔκ τε Λαρίσσης πολλοὺς φυγάδας ἐποίησε. ταῦτα δὲ ποιῶν καὶ αὐτὸς ἀποθνήσκει ὑπ' Αλεξάνδρου, ὡς τιμωροῦντος τῷ Πολυδώρῳ, καὶ τὴν τυραννίδα καταλύοντος.

λε'. Επεὶ δ' αὐτὸς παρέλαβε τὴν ἀρχὴν, χαλεπὸς μὲν Θετταλοῖς ταγὸς ἐγένετο, χαλεπὸς δὲ Θηβαίοις, καὶ Αθηναίοις

lientes, effugere, qui ſane, quaſcunque in vrbes Graeciae venirent, maxima ex parte ſummis excepti ſunt honoribus. Qua ex re patebat, Graecos ab eo vehementer ſibi metuiſſe, ne tyrannidem arriperet.

33. Mortuo Iaſone, fratres ipſius, Polydorus et Polyphron, duces creati ſunt. Quumque Lariſſam ambo proficiſcerentur, noctu Polydorus a Polyphrone fratre interemtus eſt, vti quidem videbatur. Etenim morte ſubita, et cuius eſſet obſcura cauſſa, extinctus eſt.

34. Polyphron imperium anno vno tenuit, et adminiſtrationem inſtituit tyrannidi ſimilem. Nam Pharſali Polydamantem, alioſque ciues octo praeſtantiſſimos interfecit, et Lariſſa multos in exilium eiecit. Verum et is quum talia patraret, interfectus eſt ab Alexandro, ſub ſpecie vindicandi mortem Polydori, et huius tyrannidem euertendi.

35. Alexander quum imperium accepiſſet, non Theſſalis modo dux grauis erat: verum etiam grauis Thebanis, et Athenienſibus

Αθηναίοις πολέμιος, ἄδικος δὲ λῃστὴς καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν. τοιοῦτος δ' ὢν, καὶ αὐτὸς αὖ ἀποθνήσκει αὐτοχειρίᾳ μὲν, ὑπὸ τῶν τῆς γυναικὸς ἀδελφῶν, βουλῇ δὲ, ὑπ' αὐτῆς ἐκείνης.

λς'. Τοῖς τε γὰρ ἀδελφοῖς ἐξήγγειλεν, ὡς ὁ Αλέξανδρος ἐπιβουλεύει αὐτοῖς, καὶ ἔκρυψεν αὐτοὺς ἔνδον ὄντας ὅλην τὴν ἡμέραν· καὶ δεξαμένη μεθύοντα τὸν Αλέξανδρον, ἐπεὶ κατεκοίμησεν, ὁ μὲν λύχνος ἐκάετο, τὸ δὲ ξίφος αὐτῷ ἐξήνεγκεν. ὡς δ' ἤθετο ὀκνοῦντας εἰσιέναι ἐπὶ τὸν Αλέξανδρον τοὺς ἀδελφούς, εἶπεν ὡς, εἰ μὴ ἤδη πράξαιεν, ἐξεγερεῖ αὐτόν. ὡς δ' εἰσῆλθον, ἐπισπάσασα τὴν θύραν, εἶχετο τῷ ῥοπάλῳ, ἕως ἀπέθανεν ὁ ἀνήρ.

λζ'. Η δὲ ἔχθρα λέγεται αὐτῇ πρὸς τὸν Αλέξανδρον γενέσθαι, ὑπὸ μέν τινων, ὡς ἐπεὶ ἔδησε τὰ ἑαυτῷ παιδικὰ ὁ Αλέξανδρος, νεανίσκον ὄντα καλὸν, δεηθείσης αὐτῆς λῦσαι, ἐξαγαγὼν αὐτὸν ἀπέσφαξεν· οἱ δέ τινες, ὡς ἐπεὶ παῖδες αὐτῷ οὐκ ἐγίγνοντο ἐκ ταύτης, ὅτι πέμπων εἰς Θήβας, ἐμνήστευε τὴν Ιάσονος γυναῖκα ἀναλαβεῖν.

nienſibus infeſtus, iniuſtusque terra et mari praedo. Talis autem quum eſſet, opera quidem fratrum vxoris, ſed conſilio tamen eiuſdem eſt interfectus.

36. Nam ea fratribus enuntiarat, inſidiari Alexandrum ipſis; ideoque diem totum domi concluſos occultarat. Poſt, vbi Alexandrum ebrium ad ſe recepiſſet, quamprimum is obdormiuiſſet, ardente lucerna, gladium eius extulit. Quumque cunctari fratres animadverteret, quo minus ad Alexandrum ingrederentur; excitaturam ſe dixit hominem, ni mox rem perpetrarent. Itaque illis ingreſſis, attracta ianua, tamdiu peſſulum tenebat; donec maritus interfectus eſſet.

37. Caeterum orta inter ipſam et Alexandrum haec inimicitia fertur eſſe, ſecundum quoſdam, ex eo quod, quum amores ſuos, adoleſcentem venuſtum, vinculis Alexander conſtrinxiſſet; ipſa rogante, vt eum liberaret, eductum iugulaſſet. Alii quidam referunt, quod quum ex hac vxore liberos nullos ſuſciperet, miſſis Thebas ſuis, vxorem Iaſonis ſibi iungendam nuptiis iteratis

ζειν. τὰ μὲν ὖν αἴτια τῆς ἐπιβυλῆς ὑπὸ τῆς γυναικὸς ὕτω λέγεται· τῶν δὲ ταῦτα πραξάντων, ἄχρις ὗ ὅδε ὁ λόγος ἐγράφετο, Τισίφωνος πρεσβύταλος ὢν τῶν ἀδελφῶν τὴν ἀρχὴν εἶχε.

ΚΕΦ. ε'.

Καὶ τὰ μὲν Θετταλικὰ, ὅσα περὶ Ἰάσονα ἐπράχθη, καὶ μετὰ τὸν ἐκείνυ θάνατον, μέχρι τῆς τῦ Τισιφώνυ ἀρχῆς, δεδήλωται. νῦν δὲ ἐπάνειμι ἔνθεν ἐπὶ ταῦτα ἐξέβην. ἐπεὶ γὰρ Ἀρχίδαμος ἐκ τῆς ἐπὶ Λεύκτρα βοηθείας ἀπήγαγε τὸ στράτευμα, ἐνθυμηθέντες οἱ Ἀθηναῖοι, ὅτι οἱ Πελοποννήσιοι ἔτι οἴονται χρῆναι ἀκολυθεῖν, καὶ ὕτω διακέοιντο οἱ Λακεδαιμόνιοι, ὥσπερ τὰς Ἀθηναίυς διέθεσαν, μεταπέμπονται τὰς πόλεις, ὅσαι βύλονται τῆς εἰρήνης μετέχειν, ἣν Βασιλεὺς κατέπεμψεν.

β'. Ἐπεὶ δὲ συνῆλθον, δόγμα ἐποιήσαντο μετὰ τῶν κοινω-

desponsaret. Hae fuisse perhibentur causae, quamobrem vxor ei fuerit insidiata. Caeterum natu maximus ex iis fratribus Tisiphonus imperium ad hoc vsque tempus, quo historiae liber hic scribebatur, obtinebat.

CAP. V.

Atque hactenus res Thessalicas, quaecunque Iasoni obtigere, quaeque post mortem illius vsque ad Tisiphoni imperium gesta sunt, expossuimus. Nunc eo redeo, vnde ad haec sum digressus. Etenim posteaquam Archidamus ab expeditione, qua suis ad Leuctra ferre suppetias volebat, domum copias reduxisset: secum ipsi cogitantes Athenienses, adhuc existimare Peloponnesios, debere caeteros in Graecia se duces sequi, et Lacedaemoniorum eo loco res nec dum esse, quo Athenienses aliquando redegissent: arcessunt ad se vrbes omnes, quotquot esse participes pacis eius vellent, quam rex praescriptam ad ipsos misisset.

2. Vbi conuenissent, decretum faciunt vna cum iis, qui venire

κοινωνεῖν βυλομένων, ὀμόσαι τόνδε τὸν ὅρκον· Ἐμμενῶ ταῖς σπονδαῖς, ἃς βασιλεὺς κατέπεμψε, καὶ τοῖς ψηφίσμασι τῶν Ἀθηναίων καὶ τῶν συμμάχων. ἐὰν δέ τις στρατεύηται ἐπί τινα πόλιν τῶν ὀμοσασῶν τόνδε τὸν ὅρκον, βοηθήσω παντὶ σθένει. οἱ μὲν ἂν ἄλλοι πάντες ἔχαιρον τῷ ὅρκῳ· Ἠλεῖοι δὲ ἀντέλεγον, ὡς οὐ δέοι αὐτονόμους ποιεῖν ὅτε Μαργανεῖς, ὅτε Σκιλλουντίους, ὅτε Τριφυλλίους· σφετέρας γὰρ εἶναι ταύτας τὰς πόλεις.

γ'. Οἱ δ' Ἀθηναῖοι, καὶ οἱ ἄλλοι, ψηφισάμενοι, ὥσπερ βασιλεὺς ἔγραψεν, αὐτονόμους εἶναι ὁμοίως καὶ μικρὰς καὶ μεγάλας πόλεις, ἐξέπεμψαν τοὺς ὁρκωτάς, καὶ ἐκέλευσαν τὰ μέγιστα τέλη ἐν ἑκάστῃ πόλει ὁρκῶσαι. καὶ ὤμοσαν πάντες, πλὴν Ἠλείων. ἐξ ὧν δὴ καὶ οἱ Μαντινεῖς, ὡς ἤδη αὐτόνομοι παντάπασιν ὄντες, συνῆλθόν τε πάντες, καὶ ἐψηφίσαντο μίαν πόλιν τὴν Μαντίνειαν ποιεῖν, καὶ τειχίζειν τὴν πόλιν.

δ'. Οἱ δ' αὖ Λακεδαιμόνιοι ἠγῶντο, εἰ τοῦτο ἄνευ τῆς σφετέρας γνώμης ἔσοιτο, χαλεπὸν ἔσεσθαι. πέμπουσιν οὖν Ἀγησίλαον

nire in ſocietatem vellent, vt in haec verba iurarent: Perſiſtam in foederibus, quae rex ad nos miſit, ac in Athenienſium ſociorumque decretis. Quod ſi quis bellum fecerit vlli ciuitatum, quae iusiurandum hoc praeſtiterint; toris viribus opem feram. Atque hoc iusiurandum caeteris placebat omnibus: ſoli Elei aduerſabantur, non eſſe cur ſui iuris et liberi ſint vel Marganenſes, vel Scilluntii, vel Triphylii: Nam haec oppida Eleorum eſſe.

3. Verum Athenienſes cum caeteris, decreto facto ex regis litterarum ſententia, vt pariter et exigua et magna oppida libera eſſent: mittunt quoſdam ſacramenti exactores, eoſque ſingulis in vrbibus magiſtratus quoſque ampliſſimos iureiurando adſtringere iubent. Itaque iuratum ab omnibus, extraquam ab Eleis. Quae res fecit, vt etiam Mantinei, quaſi qui iam prorſus eſſent iuris ſui, omnes conuenirent, decretumque facerent de vno oppido Mantinea condendo ac muniendo.

4. Contra vero Lacedaemonii arbitrabantur, ſi hoc abſque ipſorum conſenſu fieret, moleſtum ſibi futurum. Quapropter

Αγησίλαον πρεσβευτὴν πρὸς τὰς Μαντινέας, ὅτι ἐδόκει πατρικὸς φίλος αὐτοῖς εἶναι. ἐπεὶ δὲ ἀφίκετο πρὸς αὐτὰς, τὸν μὲν δῆμον τῶν Μαντινέων οἱ ἄρχοντες οὐκ ἤθελον συλλέξαι αὐτῷ, πρὸς δὲ σφᾶς ἐκέλευον λέγειν, ὅτι δέοιτο. ὁ δὲ ὑπισχνεῖτο αὐτοῖς, ἐὰν νῦν ἐπίσχωσι τῆς τειχίσεως, ποιήσειν ὥστε μετὰ τῆς Λακεδαίμονος γνώμης, καὶ μὴ δαπανηρῶς τειχισθῆναι τὸ τεῖχος.

ε'. Ἐπεὶ δὲ ἀπεκρίναντο, ὅτι ἀδύνατον εἴη ἐπισχεῖν, δόγματος γεγενημένου πάσῃ τῇ πόλει ἤδη τειχίζειν, ἐκ τούτου ὁ μὲν Αγησίλαος ἀπῄει ὀργιζόμενος· στρατεύειν γε μέντοι ἐπ' αὐτοὺς οὐ δυνατὸν ἐδόκει εἶναι, ἐπ' αὐτονομίᾳ τῆς εἰρήνης γεγενημένης. τοῖς δὲ Μαντινεῦσιν ἔπεμπον μὲν καὶ τῶν Αρκαδικῶν πόλεων τινὲς συντειχιοῦντες, οἱ δὲ Ηλεῖοι καὶ ἀργυρίου τρία τάλαντα συνεβάλοντο αὐτοῖς εἰς τὴν περὶ τὸ τεῖχος δαπάνην. καὶ οἱ μὲν Μαντινεῖς περὶ ταῦτ' ἦσαν.

ς'. Τῶν δέ γε Τεγεατῶν οἱ μὲν περὶ τὸν Καλλίβιον καὶ Πρόξενον συνῆγον ἐπὶ τὸ συνιέναι τε πᾶν τὸ Αρκαδικὸν, καὶ

β'. "Επείπερ, ὦ ἄνδρες Αθηναῖοι, ἀγαθὸν ὑμῖν ἔδοξε Λακεδαιμονίους φίλους ποιεῖσθαι, δοκεῖ μοι χρῆναι σκοπεῖν τοῦτο, ὅπως ἡ φιλία ὁτιπλεῖστον χρόνον συμμενεῖ. ἐὰν οὖν, ᾗ ἑκατέροις μάλιστα συνοίσει, ταύτῃ καὶ τὰς συνθήκας ποιησώμεθα, οὕτω κατά γε τὸ εἰκὸς μάλιστα συμμένοιμεν ἄν. τὰ μὲν οὖν ἄλλα συνωμολόγηται σχεδόν, περὶ δὲ τῆς ἡγεμονίας νῦν ἡ σκέψις. τῇ μὲν οὖν βουλῇ προβεβούλευται, ὑμετέραν μὲν εἶναι τὴν κατὰ θάλατταν, Λακεδαιμονίων δὲ, τὴν κατὰ γῆν. ἐμοὶ δὲ καὶ αὐτῷ δοκεῖ ταῦτα μὴ ἀνθρωπίνῃ μᾶλλον, ἢ θείᾳ φύσει τε καὶ τύχῃ, διωρίσθαι.

Πρῶτον μὲν γὰρ τόπον ἔχετε κάλλιστα πεφυκότα πρὸς τοῦτο. πλεῖσται γὰρ πόλεις τῶν δεομένων τῆς θαλάττης περὶ τὴν ὑμετέραν πόλιν οἰκοῦσι, καὶ αὗται πᾶσαι ἀσθενέστεραι τῆς ὑμετέρας. πρὸς τούτοις δὲ λιμένας ἔχετε, ὧν ἄνευ οὐχ οἷόν τε ναυτικῇ δυνάμει χρῆσθαι. ἔτι δὲ, τριήρεις κέκτησθε πολλὰς, καὶ πάτριον ὑμῖν ἐστι ναυτικὸν ἐπίκτασθαι. ἀλλὰ μὴν τάς γε τέχνας τὰς περὶ ταῦτα πάσας οἰκείας ἔχετε.

2. Quando vobis, Athenienſes, ex vſu eſſe viſum fuit, Lacedaemonios in amicitiam recipi: conſiderandum mihi videtur, quo pacto quam diutiſſime ſit haec amicitia duratura. Quamobrem ſi ea ratione, quae parti vtrique plurimum expediet, foedus inibimus: conſentaneum eſt, nos maxime in eo perſtituros. Enimuero caeteris in rebus prope conſentimus, tantum de principatu reſtat, quod conſideremus. At vero ſenatus iam ante cenſuit auctoritate ſua, maris imperium vobis deberi; terrae vero, Lacedaemoniis. Quae mihi quoque non tam ab humana, quam diuina natura, fortunaque diſtincta videntur.

Primum enim, locum habetis a natura comparatum ad hoc longe pulcherrime. Nam oppida plurima, quae mari carere nequeunt, vrbi veſtrae vicina ſunt; eaque vniuerſa reipublicae veſtrae potentia cedunt. Praeterea portus vobis ſunt, abſque quibus navalium copiarum nullus eſt vſus. Multae item vobis triremes ſunt, ac patria vobis eſt comparandae claſſis cura. Iam artes ad haec neceſſariae, proprie veſtrae ſunt: et vſu atque expe-

ἔχετε. καὶ μὴν ἐμπειρίᾳ γε πολὺ τῶν ἄλλων προέχετε περὶ τὰ ναυτικά. ὁ γὰρ βίος τοῖς πλείστοις ὑμῶν ἀπὸ τῆς θαλάττης· ὥστε τῶν ἰδίων ἐπιμελούμενοι, ἅμα καὶ τῶν κατὰ θάλατταν ἀγώνων ἔμπειροι γίγνεσθε. ἔτι δὲ καὶ τόδε, ὑδαμόθεν ἂν τριήρεις πλείους ἀθρόαι ἐκπλεύσειαν, ἢ παρ' ὑμῶν. ἔστι δὲ τοῦτο οὐκ ἐλάχιστον πρὸς ἡγεμονίαν· πρὸς γὰρ τὸν πρόσθεν ἰσχυρὸν γενόμενον ἥδιστα πάντες συλλέγονται. ἔτι δὲ καὶ ἀπὸ τῶν Θεῶν δέδοται ὑμῖν εὐτυχεῖν ἐν τούτῳ· πλείστους γὰρ καὶ μεγίστους ἀγῶνας ἠγωνισμένοι κατὰ θάλατταν, ἐλάχιστα μὲν ἀποτετυχήκατε, πλεῖστα δὲ κατωρθώκατε. εἰκὸς ἂν καὶ τοὺς συμμάχους μεθ' ὑμῶν ἂν ἥδιστα τούτῳ τῷ κινδύνῳ μετέχειν.

Ὡς δὲ δὴ καὶ ἀναγκαία καὶ προσήκουσα ὑμῖν αὕτη ἡ ἐπιμέλεια, ἐκ τῶνδε ἐνθυμήθητε. Λακεδαιμόνιοι ὑμῖν ἐπολέμουν τέ ποτε πολλὰ ἔτη, καὶ κρατοῦντες τῆς χώρας, οὐδὲν περίκοπτον εἰς τὸ ἀπολέσαι ὑμᾶς. ἐπεὶ δὲ ὁ Θεὸς ἔδωκέ ποτε αὐτοῖς κατὰ θάλατταν ἐπικρατῆσαι, εὐθὺς

experientia maritimarum rerum longe caeteros excellitis. Nam maxima pars veſtrum ex iis victitat. Quo fit, vti dum res priuatas curatis, ſimul etiam maritimorum certaminum vſum conſequamini. Adde, quod nuſquam maior triremium copia, quam a vobis, prodeat: quae res non parum ad principatum momenti affert. Nam ad eum, qui iam antea potens eſt, lubenter omnes ſe conferunt. Denique diuinitus hac in parte quaedam vobis eſt conceſſa felicitas. Nam quum plurimis, eiſque maximis certaminibus in mari defuncti ſitis: tamen in paucis admodum ſucceſſu caruiſtis, in plurimis re proſpere geſta. Quamobrem conſentaneum eſt, etiam ſocios lubentiſſime vobiſcum pericula ſubire.

Iam maritimae rei curam imprimis ad vos, et neceſſario quidem pertinere, velim ex hoc perpendatis: Geſſerunt aduerſus vos aliquando bellum multis annis Lacedaemonii, et quanquam agro veſtro potirentur; nihilo tamen magis idcirco vos perdere funditus potuerunt. Verum vbi tandem aliquando Deus hoc eis conceſſit, vt etiam mari rerum poti-

εὐθὺς ὑπ' ἐκείνοις παντελῶς ἐγένεσθε. ἀκοῦν εὔδηλον ἐν τούτοις ἐστὶν, ὅτι ἐκ τῆς θαλάττης ἅπασα ὑμῖν ἤρτηται σωτηρία. ὅτως οὖν πεφυκότων, πῶς ἂν ἔχοι καλῶς ὑμῖν, Λακεδαιμονίοις ἐπιτρέψαι κατὰ θάλατταν ἡγεῖσθαι; οἱ πρῶτα μὲν καὶ αὐτοὶ ὁμολογοῦσιν ἀπειρότεροι ὑμῶν τούτου τοῦ ἔργου εἶναι. ἔπειτα δ' ὁ περὶ τῶν ἴσων ὁ κίνδυνος ἐστιν ἐν τοῖς κατὰ θάλατταν ἀγῶσιν, ἀλλ' ἐκείνοις μὲν περὶ τῶν ἐν ταῖς τριήρεσι μόνον ἀνθρώπων, ὑμῖν δὲ καὶ περὶ παίδων, καὶ γυναικῶν, καὶ ὅλης τῆς πόλεως.

Καὶ τὰ μὲν δὴ ὑμέτερα ὅτως ἔχει· τὰ δὲ δὴ τῶν Λακεδαιμονίων, ὧδε. πρῶτον μὲν γὰρ, οἰκοῦσιν ἐν μεσογαίᾳ· ὥστε τῆς γῆς κρατοῦντες, καὶ εἰ θαλάττης εἴργοιντο, δύναιντ' ἂν καλῶς διαζῆν. ἐγνωκότες οὖν καὶ αὐτοὶ ταῦτα, εὐθὺς ἐκ παίδων πρὸς τὸν κατὰ γῆν πόλεμον τὴν ἄσκησιν ποιοῦνται. καὶ τὸ πλείστου δ' ἄξιον, τὸ πείθεσθαι τοῖς ἄρχουσιν, ὅτοι μὲν κράτιστοι κατὰ γῆν, ὑμεῖς δὲ κατὰ θάλατταν. ἔπειτα δὲ ὥσπερ ὑμεῖς ναυτικῷ, ὅτως αὖ ἐκεῖνοι καὶ κατὰ γῆν,

rentur: tum ſcilicet in eorum poteſtatem protinus veniſtis. De quo iam perſpicue patet, totam ſalutem veſtram a mari pendere. Quum igitur ita comparatae res veſtrae ſint, quinam vobis expediat, permittere Lacedaemoniis, vt mari rerum potiantur? Illi nimirum primum ipſi fatentur, ſe rei nauticae imperitiores vobis eſſe. Deinde non par vtriſque periculum maritimis in certaminibus eſt propoſitum: ſed illis quidem agitur de iis hominibus tantum, quibus triremes complentur: vobis vero de liberis, vxoribus, ciuitate vniuerſa.

Atque haec veſtrarum eſt rerum conditio. Lacedaemoniorum vero, talis. Primum mediterraneam regionem incolunt: quo fit, vt tametſi mari arceantur, nihilominus vitam agere periucunde poſſint, idcirco quod terra potiantur. Quae quum et ipſi intelligant, ſtatim a pueris ad ea ſe bella conſuefaciunt, quae terra geruntur; Et quae quidem res maximi eſt momenti, nimirum vt magiſtratibus pareatur: in hoc ipſi praecipue terra praeſtant, vos mari. Deinde quemadmodum vos maritimas, ſic illi terreſtres copias ampliſſimas

γῆν, πλεῖσοι καὶ τάχιστ' ἐξέλθοιεν· ὥστε πρὸς τούτους αὖ εἰκὸς τὰς συμμαχίας εὐθαρσεστάτας προσιέναι. ἔτι δὲ καὶ ὁ θεὸς δεδωκεν αὐτοῖς, ὥσπερ ὑμῖν κατὰ θάλατταν εὐτυχεῖν, οὕτως ἐκείνοις κατὰ γῆν. πλείστους γὰρ αὖ οἵτοι ἀγῶνας ἐν τῇ γῇ ἠγωνισμένοι, ἐλάχιστα μὲν ἐσφαλμένοι εἰσὶ, πλεῖστα δὲ κατωρθωκότες.

Ὡς δὲ καὶ ἀναγκαία ἁδὲν ἦττον αὐτοῖς ἡ κατὰ γῆν ἐπιμέλεια, ἢ ὑμῖν ἡ κατὰ θάλατταν, ἐκ τῶν ἔργων ἔξεστι γιγνώσκειν. ὑμεῖς γὰρ τούτοις πολλὰ ἔτη πολεμοῦντες, καὶ πολλάκις καταναυμαχοῦντες, οὐδὲν πράγμα ἐποιεῖτε πρὸς τὸ τούτους καταπολεμῆσαι. ἐπεὶ δὲ ἅπαξ ἡττήθησαν ἐν τῇ γῇ, εὐθὺς καὶ περὶ παίδων, καὶ περὶ γυναικῶν, καὶ περὶ ὅλης τῆς πόλεως ὁ κίνδυνος αὐτοῖς ἐγένετο. πῶς οὖν ἂ τούτοις αὖ δεινὸν, ἄλλοις μὲν ἐπιτρέπειν, κατὰ γῆν ἡγεῖσθαι, αὐτοὺς δὲ ἄριστα τῶν κατὰ γῆν ἐπιμελεῖσθαι; ἐγὼ μὲν οὖν, ὥσπερ τῇ βουλῇ προεβούλευσα, ταῦτα εἰρηκά τε, καὶ συμφοράτατα ἡγοῦμαι ἀμ-

mas quam celerrime poſſunt educere: quo fit, vt itidem ad ipſos accedere ſocios magna cum fiducia conſentaneum ſit. Praeterea Deus ipſis hoc conceſſit, vt quemadmodum vos mari, ſic illi terra felices ſint. Nam et ipſi quum pugnas terra plurimas pugnauerint, quam minimum tamen fine ſuo fruſtrati ſunt, plurimis interim rebus praeclare geſtis.

Iam non minus terreſtrium rerum procurationem ad ipſos neceſſario ſpectare, quam maritimarum ad vos pertineat: id ex ipſis rebus geſtis animaduertere licet. Nam quum vos multis annis aduerſus hos bellum gereretis, ac ſaepenumero nauibus proeliis cum eis congrederemini: nihil tamen efficiebatis in debellandis his, quod operae pretium foret. Verum poſteaquam ſemel terra victi ſuerunt, confeſtim et de liberis, et vxoribus, et tota republica ſunt periclitati. Qui ergo non graue ſit iis, permittere aliis, vt terra rerum potiantur, quum ipſi praeclariſſime res terra gerendas procurare poſſint? Equidem vt ante ſenatus auctor cenſuit, ita haec expoſui, maximeque rebus vtrinque veſtris

ἀμφοῖν εἶναι. ὑμεῖς δὲ εὐτυχοῖτε, τὰ κράτιστα πᾶσιν ἡμῖν βουλευσάμενοι.„

γ΄. Ὁ μὲν ταῦτ' εἶπεν. οἱ δ' Ἀθηναῖοι, καὶ οἱ τῶν Λακεδαιμονίων συμπαρόντες, ἐπῄνεσαν ἀμφότεροι ἰσχυρῶς τὸν λόγον αὐτοῦ. Κηφισόδοτος δὲ παρελθών· «Ἄνδρες Ἀθηναῖοι, ἔφη, ἆρ' αἰσθάνεσθε ἐξαπατώμενοι, ἀλλ' ἐὰν ἀκούσητέ μου ἐγὼ ὑμῖν αὐτίκα μάλα ἐπιδείξω. ἤδη γὰρ ἡγήσεσθε κατὰ θάλατταν. Λακεδαιμόνιοι δὲ ὑμῖν ἐὰν συμμαχῶσι, δῆλον ὅτι πέμψουσι τοὺς μὲν τριηράρχους Λακεδαιμονίους, καὶ ἴσως τοὺς ἐπιβάτας· οἱ δὲ ναῦται δηλονότι ἔσονται ἢ εἵλωτες, ἢ μισθοφόροι. οὐκοῦν ὑμεῖς μὲν τούτων ἡγήσεσθε. οἱ δὲ Λακεδαιμόνιοι ὅταν παραγγείλωσιν ὑμῖν κατὰ γῆν στρατείαν, δηλονότι πέμψετε τοὺς ἱππέας, καὶ τοὺς ὁπλίτας. οὐκοῦν οὕτως ἐκεῖνοι μὲν ὑμῶν αὐτῶν γίγνονται ἡγεμόνες, ὑμεῖς δὲ τῶν ἐκείνων δούλων καὶ ἐλαχίστου ἀξίων. ἀπόκριναι δέ μοι, ἔφη, ὦ Λακεδαιμόνιε Τιμόκρατες, οὐκ ἄρτι ἔλεγες, ὡς ἐπὶ τοῖς ἴσοις καὶ

expedire arbitror. Vobis autem proſpera precor omnia, ſtatuentibus id, quod omnibus nobis ex vſu maxime ſuerit.

3. Haec eius fuit oratio. Quae quum non ſolum Athenienſibus, ſed etiam Lacedaemoniis, qui aderant, mirifice probaretur; Cephiſodotus, progreſſus in medium: Non animaduertitis, inquit, circumueniri vos Athenienſes. Quod ſi me audieritis, mox fraudem vobis indicabo. Nimirum mari vos duces eritis. Iam ſi Lacedaemonii vobis auxilia ſuppeditabunt, nimirum Lacedaemonios triremium praefectos mittent, ac fortaſſis etiam claſſiarios milites. Nautae vero, vel helotes et ſerui erunt ſcilicet, vel mercenarii. Quapropter vos quidem his imperabitis. Contra, quum vos ad expeditionem aliquam terreſtrem Lacedaemonii euocabunt, nimirum equites veſtros, ac grauis armaturae pedites mittetis. Ea ratione veſtri duces fiunt illi, vos eorum, qui ſeruitutem illis ſeruiunt, hominesque ſunt nullius pretii. Tu vero, inquit, Lacedaemonie Timocrates, reſponde mihi: Non aiebas modo, venire te, vt conditionibus aequis ac paribus ſocietatem

καὶ ὁμοίοις ἥκεις τὴν συμμαχίαν ποιούμενος; εἶπον ταῦτα. ἔστιν ἄν, ἔφη ὁ Κηφισόδοτος, ἰσαίτερόν τι, ἢ ἐν μέρει μὲν ἑκατέρους ἡγεῖσθαι τῶν ναυτικῶν, ἐν μέρει δὲ τῶν πεζῶν, καὶ ὑμᾶς τε, εἴ τι ἀγαθόν ἐστιν ἐν τῇ κατὰ θάλατταν ἀρχῇ, τούτου μετέχειν, καὶ ἡμᾶς ἐν τῇ κατὰ γῆν;„

δ'. Ακούσαντες ταῦτα οἱ Αθηναῖοι, μετεπείθησαν, καὶ ἐψηφίσαντο κατὰ πενθήμερον ἑκατέρους ἡγεῖσθαι. στρατευομένων δ' ἀμφοτέρων αὐτῶν καὶ τῶν συμμάχων εἰς Κόρινθον, ἔδοξε κοινῇ φυλάττειν τὸ Ονειον. καὶ ἐπεὶ ἐπορεύοντο οἱ Θηβαῖοι καὶ οἱ σύμμαχοι, παραταξάμενοι ἐφύλαττον ἄλλος ἄλλοθεν τῶν Ονείων, Λακεδαιμόνιοι δὲ καὶ Πελληνεῖς κατὰ τὸ ἐπιμαχώτατον.

ε'. Οἱ δὲ Θηβαῖοι καὶ οἱ σύμμαχοι, ἐπεὶ ἀπεῖχον τῶν φυλαττόντων τριάκοντα στάδια, κατεστρατοπεδεύσαντο ἐν τῷ πεδίῳ. συντεκμηράμενοι δὲ, ηνίκ' ἂν ὥοντο ὁρμη-

societatem hanc nobiscum ineas? Equidem, ait ille, hoc dixi. Et Cephisodotus: An igitur, inquit, esse quidquam possit aequius, quam si vicissim vtrique classis duces simus, itemque vicissim pedestrium copiarum: ac vt vos, si quid est commodi maris in imperio, eius aeque participes sitis, ac nos illius, quod terrestri est in imperio?

4. Posteaquam haec Atheniensis audiissent, aliam in sententiam adducti sunt; ac decreverunt, alternis quinis diebus vtrosque ducum officio fungi debere. Quum autem vtrique, coniunctis tum suis tum sociorum viribus, Corinthum veniissent, ad gerendum aduersus hostes bellum; visum est Oneum communi praesidio teneri debere. Itaque vbi iam Thebani cum sociis aduentarent, instructa suorum acie, custodiebant alius aliam Onei partem; Lacedaemonii vero cum Pellenensibus ea loca, quae oppugnationi maxime paterent.

5. Thebani, eorumque socii, quum xxx stadiorum interuallo ab excubias agentibus abessent, castra in planitie muniebant. Deinde temporis inita ratione, quo progre-

ὁρμηθέντες κατανύσαι, ἅμα νέφα πρὸς τὴν τῶν Λακεδαιμονίων φυλακὴν ἐπορεύοντο. καὶ μέντοι οὐκ ἐψεύσθησαν τῆς ὥρας, ἀλλ' ἐπιπίπτουσι τοῖς Λακεδαιμονίοις καὶ τοῖς Πελληνεῦσιν, ἡνίκα αἱ μὲν νυκτεριναὶ φυλακαὶ ἤδη ἔληγον, ἐκ δὲ τῶν στιβάδων ἀνίσαντο, ὅπου *ἕκειτο ἕκαστος. ἐνταῦθα οἱ Θηβαῖοι προσπεσόντες ἔπαιον, παρεσκευασμένοι ἀπαρασκευάστους, καὶ συντεταγμένοι ἀσυντάκτους.

ς'. Ὡς δὲ οἱ σωθέντες ἐκ τοῦ πράγματος ἀπέφυγον ἐπὶ τὸν ἐγγύτατα λόφον, ἐξὸν τῷ Λακεδαιμονίων πολεμάρχῳ λαβόντι ὁπόσους μὲν ἐβούλετο τῶν συμμάχων ὁπλίτας, ὁπόσους δὲ πελτασὰς, κατέχειν τὸ χωρίον, (καὶ γὰρ τὰ ἐπιτήδεια ἐξῆν ἀσφαλῶς ἐκ Κεγχρεῶν κομίζεσθαι) οὐκ ἐποίησε ταῦτα· ἀλλὰ μάλα ἀπορούντων τῶν Θηβαίων, πῶς χρὴ ἐκ τοῦ πρὸς Σικυῶνα βλέποντος καταβῆναι, ἢ πάλιν ἀπελθεῖν, σπονδὰς ποιησάμενος, ὡς τοῖς πλείστοις ἐδόκει, πρὸς Θηβαίων μᾶλλον, ἢ πρὸς ἑαυτῶν, ὅτως ἀπῆλθε, καὶ τοὺς μεθ' αὑτοῦ ἀπήγαγεν.

ζ'. Οἱ δὲ Θηβαῖοι ἀσφαλῶς καταβάντες, καὶ συμμίξαντες

diendo confecturos ſe reliquum viae ſpatium exiſtimabant: primo diluculo verſus Lacedaemoniorum excubias pergunt. Non fefellit eos tempus, ſed illo momento Lacedaemonios ac Pellenenſes inuadunt, quo nocturnarum excubiarum finis erat, ac de ſtramentis illi ſurgebant, vbi cubabant ſinguli. Tum vero aggreſſi eos Thebani, caedebant imparatos parati; incompoſitos, ordinati.

6. Poſteaquam ii, qui ſalui euaſerant, proximum in collem ſe recepiſſent: poterat Lacedaemoniorum polemarchus, ſumtis ſecum ſociorum grauis armaturae peditibus, quot quidem vellet, totidemque cetratis, locum eum tenere, quod etiam commeatus eo deportari tuto e Cenchreis potuiſſet, nec tamen id fecit: ſed quum vehementer anxii Thebani eſſent, quo pacto vel de loco, Sicyonem verſus ſpectante, deſcenderent: vel rurſus diſcederent: inducias ipſe pactus, quae plurimorum iudicio potius ex Thebanorum, quam ipſius erant commodo, ita deinde diſceſſit, ac ſuos abduxit.

7. Thebani tuto deſcendentes, poſteaquam ſe cum ſociis ſuis,

* Al. ἔκειτο

ξαντες τοῖς ἑαυτῶν συμμάχοις Αρκάσι τε, καὶ Αργείοις, καὶ Ηλείοις, εὐθὺς μὲν προσέβαλον πρὸς Σικυῶνα, καὶ Πελλήνην· στρατευσάμενοι δὲ εἰς Επίδαυρον, ἐδήωσαν αὐτῶν πᾶσαν τὴν χώραν. ἀναχωρῆντες δὲ ἐκεῖθεν μάλα πάντων ὑπεροπλικῶς τῶν ἐναντίων, ὡς ἐγένοντο ἐγγὺς τῆ τῶν Κορινθίων ἄστεος, δρόμῳ ἐφέροντο πρὸς τὰς πύλας ἐπὶ Φλιῆντα ἰόντι ὁρώσας, ὡς, εἰ ἀνεῳγμέναι τύχοιεν, εἰσπεσόμενοι.

η'. Εκβοηθήσαντες δέ τινες ψιλοὶ ἐκ τῆς πόλεως, ἀπαντῶσι τῶν Θηβαίων τοῖς ἐπιλέκτοις, ὀδὲ τέτταρα πλέθρα ἀπέχουσι τῆ τείχους· καὶ ἀναβάντες ἐπὶ τὰ μνήματα, καὶ τὰ ὑπερέχοντα χωρία, βάλλοντες καὶ ἀκοντίζοντες ἀποκτείνυσι τῶν πρώτων καὶ μάλα συχνὰς, καὶ τρεψάμενοι ἐδίωκον ὡς τρία ἢ τέτταρα στάδια. τούτου δὲ γενομένου, οἱ Κορίνθιοι τὰς νεκρὰς πρὸς τὸ τεῖχος ἑλκύσαντες, καὶ ὑποσπόνδους ἀποδόντες, τρόπαιον ἔστησαν. καὶ ταύτῃ μὲν δὴ ἀνεψύχθησαν οἱ τῶν Λακεδαιμονίων σύμμαχοι.

θ'. Αμα τε δὴ πεπραγμένων τούτων, καταπλεῖ Λακεδαιμονίοις ἡ παρὰ Διονυσίου βοήθεια, τριήρεις πλέον ἢ

fuis, Arcadibus, Argiuis, Eleis coniunxiſſent: confeſtim ad oppugnandas Sicyonem ac Pellenem pergunt. Quumque Epidaurum cum exercitu petiiſſent, omnem Epidauriorum agrum populati ſunt. Inde pedem referentes ſummo cum omnium hoſtium contemtu, cum prope iam ab vrbe Corinthiorum abeſſent; curſu petebant portas, quae Phliuntem ducunt, irrupturi in eas, ſi forte apertas offenderent.

8. Verum vbi quidam velites ex vrbe procurriſſent ad ferendum opem ſuis, delectis illi Thebanis fiunt obuii, qui iam ne quatuor quidem plethris a moenibus abeſſent. Itaque monumenta, editaque loca quum conſcendiſſent; feriendo iaculandoque bene multos ex primis occidunt, ac in fugam verſos fere ad tria quatuorue ſtadia perſequuntur. Id quum accidiſſet, mortuorum cadauera Corinthii, propius ad murum tracta, per inducias reddunt, ac tropaeum ſtatuunt: recreatis hoc pacto nonnihil Lacedaemoniorum ſociis.

9. Simul atque geſta haec fuiſſent, auxilia Lacedaemoniis a Dionyſio miſſa, uimirum plures quam

ἢ εἴκοσιν. ἦγον δὲ Κελτάς τε καὶ Ἰβήρας, καὶ ἱππεῖς ὡς πεντήκοντα. τῇ δὲ ὑστεραίᾳ οἱ Θηβαῖοί τε, καὶ οἱ ἄλλοι αὐτῶν σύμμαχοι, διαταξάμενοι, καὶ ἐμπλήσαντες τὸ πεδίον μέχρι τῆς θαλάττης, καὶ μέχρι τῶν ἐχομένων τῆς πόλεως γηλόφων, ἔφθειρον εἴ τι χρήσιμον ἦν ἐν τῷ πεδίῳ. καὶ οἱ μὲν τῶν Ἀθηναίων καὶ οἱ τῶν Κορινθίων ἱππεῖς ὑμάλα ἐπλησίαζον τῷ στρατεύματι, ὁρῶντες ἰσχυρὰ καὶ πολλὰ τὰ ἀντίπαλα.

ι. Οἱ δὲ παρὰ τῷ Διονυσίῳ ἱππεῖς, ὅσοι περ ἦσαν, ἅτοι διεσκεδασμένοι ἄλλος ἄλλῃ παραθέοντες, ἠκόντιζόν τε προσελαύνοντες, καὶ ἐπεὶ ὥρμων πρὸς αὐτούς, ἀνεχώρουν, καὶ πάλιν ἀναστρέφοντες ἠκόντιζον. καὶ ταῦτα ἅμα ποιοῦντες, κατέβαινον ἀπὸ τῶν ἵππων, καὶ ἀνεπαύοντο. εἰ δὲ καταβεβηκόσιν ἐπελαύνοιεν τινὲς, εὐπετῶς ἀναπηδῶντες ἀνεχώρουν. εἰ δ' αὖ τινες διώξειαν αὐτοὺς πολὺ ἀπὸ τοῦ στρατεύματος, τούτους, ὁπότε ἀποχωροῖεν, ἐπικείμενοι καὶ ἀκοντίζοντες, δεινὰ εἰργάζοντο, καὶ πᾶν τὸ στράτευμα ἠνάγ-

quam viginti triremes, appellebant. Eae Celtas et Hiſpanos cum quinquaginta ferme equitibus aduehebant. Poſtridie Thebani, caeterique horum ſocii, acie inſtructa, quum planiciem vſque ad mare, contiguosque vrbis tumulos, compleuiſſent: quidquid erat in ea, quod vſui poſſet eſſe, vaſtabant. Athenienſium quidem ac Corinthiorum equites non admodum prope ad hoſtium accedebant caſtra, quod illorum robur ac multitudinem conſpicerent.

10. Verum miſſi a Dionyſio equites, tametſi pauci numero, hinc inde palati, atque alius alibi irruentes, adactis equis emittebant in hoſtem iacula: quo ipſos inuadente, pedem referebant, rurſumque conuerſi haſtas iaciebant. Atque interim, dum haec facerent, etiam de equis deſcendentes, quieſcendo ſe recreabant. Quod ſi quidam in eos adactis equis pergerent, poſteaquam ab eis deſcenderant: agiliter illis viciſſim conſcenſis, diſcedebant. At ſi qui rurſus eos, longe ab exercitu ſuo progreſſi, perſequerentur: illos pedem relaturos adorti, iaculis grauiter vulnerabant, adeoque copias vniuerſas ſua

cauſſa

ἠνάγκαζον ἑαυτῶν ἕνεκα καὶ προϊέναι, καὶ ἀναχωρεῖν.

ιά. Μετὰ ταῦτα μέντοι Θηβαῖοι μείναντες ὀλίγας ἡμέρας, ἀπῆλθον οἴκαδε, καὶ οἱ ἄλλοι δὲ, ἕκαστος οἴκαδε. ἐκ δὲ τούτου ἐμβάλλουσιν οἱ παρὰ Διονυσίου εἰς Σικυῶνα, καὶ μάχῃ μὲν νικῶσι τοὺς Σικυωνίους ἐν τῷ πεδίῳ, καὶ ἀπέκτειναν περὶ ἑβδομήκοντα· Δέρας δὲ τεῖχος κατὰ κράτος αἱροῦσι. καὶ ἡ μὲν παρὰ Διονυσίου πρώτη βοήθεια τοιαῦτα πράξασα ἀπέπλευσεν εἰς Συρακούσας.

ιβ. Θηβαῖοι δὲ, καὶ πάντες οἱ ἀποστάντες ἀπὸ Λακεδαιμονίων, μέχρι μὲν τούτου τοῦ χρόνου ὁμοθυμαδὸν καὶ ἔπρατ[τον καὶ ἐστρατεύοντο, ἡγεμόνων τῶν Θηβαίων. ἐγγινόμενος δέ τις Λυκομήδης Μαντινεὺς, γένει τε ὀδενὸς ἐνδεὴς, χρήμασί τε προήκων, καὶ ἄλλως φιλότιμος, ὅτος ἐνέπλησε φρονήματος τοὺς Ἀρκάδας, λέγων· ὡς μόνοις μὲν αὐτοῖς Πελοπόννησος πατρὶς εἴη, (μόνοι γὰρ αὐτόχθονες ἐν αὐτῇ οἰκοῖεν) πλεῖστον δὲ φῦλον τῶν Ἑλληνικῶν τὸ Ἀρκαδικὸν εἴη, καὶ σώματα ἐγκρατέστα[τα ἔχοι. καὶ ἀλκιμωτάτους δὲ

causſa mouere ſe, ac viciſſim pedem referre cogebant.

11. Secundum haec Thebani quum iſtic dies non multos manſiſſent, domum redierunt; idem caeteris quoque facientibus. Tum vero miſſi a Dionyſio milites Sicyonem inuadunt, ac Sicyonios in campo, commiſſa pugna, vincunt, eorumque prope LXX occidunt. Quin et Deras oppidum vi capiunt. Atque his quidem rebus geſtis, auxiliares, a Dionyſio primum miſſae, copiae Syracuſas nauigarunt.

12. Caeterum Thebani, omneſque alii, qui a Lacedaemoniorum fide diſceſſerant, ad hoc vſque tempus magno animorum conſenſu tum gerebant omnia, tum expeditiones ſuſcipiebant, in quibus Thebani duces erant. Verum exortus eſt Lycomedes quidam, Mantineus, genere nulli ſecundus, opibus pollens, atque etiam caeteroquin ambitioſus. Hic Arcadum animos erexit, quum ſolis ipſis patriam eſſe Peloponneſum diceret (quippe qui ſoli eſſent indigenae;) Arcadumque nationem inter alias Graecas ampliſſimam eſſe, ac habere corpora laborum patientiſſima. Eoſdem viros

δὲ αὐτὰς ἀπεδείκνυε, τεκμήρια παρεχόμενος, ὡς, ἐπικούρων ὁπότε δεηθεῖέν τινες, ὑδένας ἠρῶντο ἀντ' Αρκάδων. ἔτι δὲ ὅτε Λακεδαιμονίους ἄνευ σφῶν πώποτε ἐμβαλεῖν ἐς τὰς Αθήνας, ὅτε νῦν Θηβαίους ἐλθεῖν ἄνευ Αρκάδων ἐς Λακεδαίμονα. ἂν ὦν σωφρονῆτε, τῷ ἀκολυθεῖν, ὅποι ἄν τις παρακαλοῖ, φείσεσθε. ὡς πρότερόν τε Λακεδαιμονίοις ἀκολυθοῦντες, ἐκείνους ηὐξήσατε· νῦν δὲ ἂν Θηβαίοις εἰκῇ ἀκολυθῆτε, καὶ μὴ κατὰ μέρος ἀξιῶτε ἡγεῖσθαι, ἴσως τάχα τούτους ἄλλους Λακεδαιμονίους εὑρήσετε.

ιγ'. Οἱ μὲν δὴ Αρκάδες ταῦτ' ἀκούοντες, ἀνεφυσῶντό τε, καὶ ὑπερεφίλουν τὸν Λυκομήδην, καὶ μόνον ἄνδρα ἡγοῦντο· ὥστε ἄρχοντας ἕτατζον, ὅστινας κἀκεῖνος κελεύοι. καὶ ἐκ τῶν συμβαινόντων δὲ ἔργων ἐμεγαλύνοντο οἱ Αρκάδες. ἐμβαλόντων μὲν γὰρ εἰς Επίδαυρον τῶν Αργείων, καὶ ἀποκλεισθέντων τῆς ἐξόδου ὑπό τε τῶν μετὰ Χαβρίου ξένων καὶ Αθηναίων καὶ Κορινθίων, βοηθήσαντες μάλα πολιορκημένους ἐξελύσαντο τοὺς Αργείους, οὐ μόνον τοῖς ἀνδράσιν ἀλλὰ καὶ τοῖς χωρίοις πολεμίοις χρώμενοι.

ιδ'. Στρα-

viros fortiſſimos eſſe demonſtrabat, iis argumentis, quod quum copiis auxiliaribus alicui opus ſit, nullos Arcadibus praeferat. Praeterea neque Lacedaemonios abſque ipſis vnquam Athenas inuaſiſſe, neque iam Thebanos ſine Arcadum copiis Lacedaemonem petere. Quamobrem ſi ſapitis, inquit, deſinetis alios, euocantes vos aliquo, ſequi. Nam antehac Lacedaemonios ſequuti, eoſdem amplificaſtis. Nunc quoque Thebanos ſi ſequamini temere, ac non alternatim et ipſi ducum munere ſungi poſtulabitis; fortaſſis eos paulo poſt experiemini alios quoſdam Lacedaemonios eſſe.

13. Haec quum audirent Arcades, inflati, Lycomedem mirifice amplecti, ſolum hunc virum eſſe dicere: adeoque duces deligere, quos ipſe iuberet. Praeterea rerum ex euentu ſumebant animos Arcades. Nam quo tempore Argiui Epidauriorum fines ingreſſi ſunt, atque exitu a mercenario Chabriae milite, Athenienſibus et Corinthiis, prohibiti: preſſis admodum ſuppetias ferentes, obſidione Argiuos liberabant, quanquam non homines tantum ſed etiam loca aduerſa experirentur.

14. Iidem

ιδ'. Στρατευσάμενοι δὲ καὶ εἰς Ασίνην τῆς Λακωνικῆς, ἐνίκησάν τε τὴν τῶν Λακεδαιμονίων φρουράν, καὶ τὸν Γερά-νορα πολέμαρχον Σπαρτιάτην γεγενημένον ἀπέκτειναν, καὶ τὸ προάστειον τῶν Ασιναίων ἐπόρθησαν. ὅπου δὲ βουληθεῖεν ἐξελθεῖν, οὐ νύξ, οὐ χειμών, οὐ μῆκος ὁδοῦ, οὐκ ὄρη δύσβατα ἀπεκώλυεν αὐτούς· ὥστε ἔν γε τῷ χρόνῳ ἐκείνῳ πολὺ ᾤοντο κρατίστοι εἶναι.

ιε'. Οἱ μὲν δὴ Θηβαῖοι διὰ ταῦτα ὑποφθόνως, καὶ οὐκέτι φιλικῶς εἶχον πρὸς τοὺς Αρκάδας. οἱ γε μὴν Ηλεῖοι, ἐπεὶ ἀπαιτοῦντες τὰς πόλεις τοὺς Αρκάδας, ἃς ὑπὸ Λακεδαιμονίων ἀφῃρέθησαν, ἔγνωσαν αὐτοὺς τοὺς μὲν ἑαυτῶν λόγους ἐν οὐδενὶ λόγῳ ποιουμένους, τοὺς δὲ Τριφυλίους, καὶ τοὺς ἄλλους τοὺς ἀπὸ σφῶν ἀποστάντας, περὶ παντὸς ποιουμένους, ὅτι Αρκάδες ἔφασαν εἶναι· ἐκ τούτων οὖ καὶ οἱ Ηλεῖοι δυσμενῶς εἶχον πρὸς αὐτούς.

ις'. Οὕτως δὲ ἑκάστων ἐφ' ἑαυτοῖς μέγα φρονούντων τῶν συμμάχων, ἔρχεται Φιλίσκος Αβυδηνὸς παρὰ Αριοβαρζάνους,

14. Iidem cum copiis Aſinen Laconicae oppidum profecti, praeſidium Lacedaemoniorum fuderunt: et Geranore Spartano polemarcho interfecto, ſubvrbium quoque Aſinienſium diripuere. Quocunque item pergere cum exercitu vellent, non eos nox, non hyems, non viae longitudo, non montes aditu difficiles ab inſtituto reuocabant: quo fiebat, vti ſe illa tempeſtate praeſtare caeteris arbitrarentur.

15. Ob has cauſſas Thebani ſubinuidebant eis, nec aequis erant in Arcades animis. Elei vero, quum repetentes ab Arcadibus eas ciuitates, quae ipſis a Lacedaemoniis ademtae fuerant, animaduerterent eos non ſolum, quae ab ipſis dicerentur, flocci pendere; ſed Triphylios etiam vna cum aliis, qui ab ipſorum fide deſecerant, quod ii ſe Arcades eſſe profiterentur, magni facere: coeperunt et ipſi infeſtis eſſe erga Arcades animis.

16. Ita quum ſocii ſinguli ſuis rebus magnopere confiderent, Philiſcus Abydenus magnis cum pecuniis ab Ariobarzane venit.

ζαρζάνης, χρήματα ἔχων πολλά. καὶ πρῶτα μὲν εἰς Δελφοὺς συνήγαγε περὶ εἰρήνης Θηβαίους, καὶ τοὺς συμμάχους καὶ τοὺς Λακεδαιμονίους. ἐκεῖ δὲ ἐλθόντες τῷ μὲν Θεῷ οὐδὲν ἐκοινώσαντο ὅπως ἂν ἡ εἰρήνη γένοιτο, αὐτοὶ δὲ ἐβουλεύοντο.

ιζ'. Ἐπεὶ δὲ οὐ συνεχώρουν οἱ Θηβαῖοι Μεσσήνην ὑπὸ Λακεδαιμονίοις εἶναι, ξενικὸν πολὺ συνέλεγεν ὁ Φιλίσκος, ὅπως πολεμοίη μετὰ Λακεδαιμονίων. τούτων δὲ πραττομένων, ἀφικνεῖται καὶ ἡ παρὰ Διονυσίου δευτέρα βοήθεια. λεγόντων δὲ Ἀθηναίων μὲν, ὡς χρεὼν εἴη αὐτοὺς εἰς Θετταλίαν τἀναντία * Θηβαίοις πέμπειν, Λακεδαιμονίων δὲ, ὡς εἰς τὴν Λακωνικὴν, ταῦτα ἐν τοῖς συμμάχοις ἐνίκησεν.

ιή. Ἐπεὶ δὲ περιέπλευσαν οἱ παρὰ Διονυσίου εἰς Λακεδαίμονα, λαβὼν αὐτοὺς ὁ Ἀρχίδαμος, μετὰ τῶν πολιτικῶν ἐστρατεύετο. καὶ ** Καρύας μὲν ἑξαιρεῖ κατὰ κράτος, καὶ ὅσους ζῶντας ἔλαβεν, ἀπέσφαξεν. ἐκεῖθεν δὲ εὐθὺς στρατευσάμενος εἰς Παρράσιας τῆς Ἀρκαδίας μετ' αὐτῶν, ἐδῄου τὴν χώραν. ἐπεὶ δ' ἐβοήθησαν οἱ Ἀρκάδες

venit, ac primum Delphos pacis componendae cauſſa, Thebanos, eorumque ſocios, et Lacedaemonios conuocat. Eo quum ventum eſſet, non illi quidem cum Apolline rem communicabant, quo pacto pax eſſet ineunda: ſed ipſi inter ſe conſultabant.

17. Poſteaquam Thebani non permitterent, vt Meſſene Lacedaemoniorum eſſet in poteſtate; magnas mercenariorum militum copias Philiſcus cogebat, vti bello Lacedaemonios iuuaret. Dum haec agerentur, aderant et alterae ſummiſſae a Dionyſio Lacedaemoniis auxiliares copiae. Quumque dicerent Athenienſes, oportere ipſos in Theſſaliam aduerſus Thebanos mitti; Lacedaemonii vero, in Laconicam: vicit haec in coetu ſociorum ſententia.

18. Poſteaquam hi a Dionyſio miſſi Lacedaemonem nauigaſſent, ſumens eos ſecum Archidamus, itemque patriae copias, ad bellum gerendum profectus, Caryas vi cepit, et quotquot viuos nactus eſt, interfecit. Inde recta deductis copiis ad oppidum Arcadiae Parrhaſias, agrum illorum vaſtabat. Quumque Arcades et Argiui

* Al. omittunt πίμπειν.

** Al. Καρνάνας.

Αρκάδες καὶ οἱ Αργεῖοι, ἐπαναχωρήσας ἐστρατοπεδεύσατο ἐν τοῖς ἐπὶ Μιδέας γηλόφοις. ἐνταῦθα δ' ὄντος αὐτῷ, Κισσίδας, ὁ ἄρχων τῆς παρὰ Διονυσίου βοηθείας, ἔλεγεν, ὅτι ἐξήκοι αὐτῷ ὁ χρόνος, ὃς ἦν εἰρημένος παραμένειν. καὶ ἅμα ταῦτ' ἔλεγε, καὶ ἀπῄει τὴν ἐπὶ Σπάρτης.

ιθ'. Επεὶ δὲ ἀποπορευόμενον ἀπετέμνοντο αὐτὸν οἱ Μεσσήνιοι ἐπὶ στενὸν τῆς ὁδῷ, ἐνταῦθα δὴ ἔπεμπεν ἐπὶ τὸν Αρχίδαμον, καὶ βοηθεῖν ἐκέλευε· κἀκεῖνος μέντοι ἐβοήθει. ὡς δ' ἐγένοντο ἐν τῇ *ἐπ' Εὐκτρησίας ἐκτροπῇ, οἱ μὲν Αρκάδες καὶ οἱ Αργεῖοι προσέβαινον εἰς τὴν Λάκαιναν καὶ ἦτοι, ὡς ἀποκλείσοντες αὐτὸν τῆς ἐπ' οἶκον ὁδῷ. ὁ δὲ, ὅπερ ἐστὶ χωρίον ἐπίπεδον, ἐν ταῖς συμβολαῖς τῆς τε ἐπ' Εὐκτησίων καὶ τῆς ἐπὶ Μιδέας ὁδῷ, ἐνταῦθα ἐκβὰς παρετάξατο ὡς μαχούμενος.

κ'. Εφασαν δ' αὐτὸν καὶ πρὸ τῶν λόχων παριόντα, τοιάδε παρακελεύσασθαι· "Ανδρες πολῖται, νῦν ἀγαθοὶ γενόμενοι ἀναβλέψωμεν ὀρθοῖς ὄμμασιν· ἀποδῶμεν τοῖς ἐπιγιγνο-

giui ſuppetias ferrent, pedem retulit, ac in tumulis Mideae imminentibus caſtra metatus eſt. Heic quum ſubſiſteret, Ciſſidas, auxiliarium copiarum a Dionyſio miſſarum dux, aiebat, praeteriiſſe iam ſibi tempus, quo adeſſe Lacedaemoniis iuſſus fuiſſet. Simul his dictis, via qua Spartam itur, diſceſſit.

19. Quum autem diſcedentem Meſſenii arta quadam in via intercluſiſſent; mittit ad Archidamum, vtque ſuppetias ſibi ferat, hortatur. Illo auxilii cauſſa aduolante, poſteaquam ad diverticulum, quod Euctreſios verſus ducit, ventum eſſet: Arcades et Argiui Laconicam ingreſſi ſunt, vt et ipſum itinere, quo in patriam eundum erat, intercluderent. Verum Archidamus, loco plano, vbi concurrunt viae, quae verſus Euctreſios et Mideam ducunt, aciem inſtruit, tanquam manus cum hoſte conſerturus.

20. Proditum eſt etiam, ipſum ante cohortes progreſſum, huiuſmodi verbis eos inflammaſſe: Modo, ciues, ſtrenuos noſmet declarantes, rectis oculis ſuſpiciamus, poſteriſque patriam talem tradamus, qualem

* Al. Εὐτρησίας.

ἐπιγιγνομένοις τὴν πατρίδα, οἵανπερ παρὰ τῶν πατέρων παρελάβομεν· παυσώμεθα αἰσχυνόμενοι καὶ παῖδας, καὶ γυναῖκας, καὶ πρεσβυτέρους, καὶ ξένους, ἐν οἷς πρόσθεν γε πάντων τῶν Ἑλλήνων περιβλεπτότατοι ἦμεν.„

κά. Τούτων δὲ ῥηθέντων, ἐξ αἰθρίας ἀστραπάς τε καὶ βροντὰς λέγουσιν αἰσίους αὐτῷ φανῆναι. συνέβη δὲ καὶ πρὸς τῷ δεξιῷ κέρατι τέμενός τε καὶ ἄγαλμα Ἡρακλέους, ὃ δὴ καὶ ἀπόγονος λέγεται εἶναι. τοιγαροῦν ἐκ τούτων πάντων ὕστω πολὺ μένος καὶ θάρσος τοῖς στρατιώταις φασὶν ἐμπεσεῖν, ὥστε ἔργον εἶναι τοῖς ἡγεμόσιν ἀνείργειν τοὺς στρατιώτας ὠθουμένους εἰς τὸ πρόσθεν. ἐπεὶ μέντοι ἠγεῖτο ὁ Ἀρχίδαμος, ὀλίγοι μὲν τῶν πολεμίων δεξάμενοι αὐτοὺς εἰς δόρυ, ἀπέθανον· οἱ δ' ἄλλοι, φεύγοντες ἔπιπτον, πολλοὶ μὲν ὑπὸ ἱππέων, πολλοὶ δὲ ὑπὸ τῶν Κελτῶν.

κβ. Ὡς δὲ ληξάσης τῆς μάχης τρόπαιον ἐστήσατο, εὐθὺς ἔπεμψεν οἴκαδε ἀγγελοῦντα Δημοτέλη τὸν κήρυκα τῆσδε νίκης τὸ μέγεθος, ὅτι Λακεδαιμονίων μὲν οὐδεὶς τεθναίη, τῶν δὲ πολεμίων παμπληθεῖς. τοὺς μέντοι ἐν Σπάρτῃ

qualem a maioribus accepimus. Desinamus tandem, liberis, vxoribus, senioribus, hospitibus esse pudori, qui nos antehac supra Graecos omnes maxime suspiciebant.

21. His dictis, coelo sereno perhibent ei fulgura tonitruaque dextra contigisse. Praeterea accidit, vt ad cornu dextrum delubrum et simulacrum Herculis esset: cuius ex posteris Archidamus esse ferebatur. Enimuero rebus hisce omnibus tantum ardoris audaciaeque militibus iniectum fuisse perhibent, vt ducibus esset difficile, cohibere milites, qui in hostem proruebant. Mox ducente Archidamo in hostes, pauci eorum ad telorum vsque ictum ipsos excipientes, interemti sunt: caeteri quum fugerent, magna ex parte vel ab equitibus, vel a Celtis sunt occisi.

22. Commisso iam proelio, quum tropaeum statuisset; mox Demotelem praeconem domum mittit, qui huius victoriae magnitudinem, in qua Lacedaemonius occubuerat nemo, magna hostium multitudine interemta, nuntiaret. Proditum est autem, Spartanos, quum

haec

τῃ ἔφασαν ἀκήσαντας, ἀρξαμένους ἀπὸ Αγησιλάου, καὶ τῶν γερόντων, καὶ τῶν Εφόρων, πάντας κλαίειν. ὕτω κοινόν τι ἄρα χαρᾶ καὶ λύπῃ δάκρυά ἐστιν. ἐπὶ μέντοι τῇ τῶν Αρκάδων τύχῃ ὀλίγου ἥττον Λακεδαιμονίων ἤθησαν οἱ Θηβαῖοί τε καὶ Ηλεῖοι. ὕτως ἤδη ἤχθοντο ἐπὶ τῷ φρονήματι αὐτῶν.

κγ'. Συνεχῶς δὲ βουλευόμενοι οἱ Θηβαῖοι, ὅπως ἂν τὴν ἡγεμονίαν λάβοιεν τῆς Ελλάδος, ἐνόμισαν, εἰ πέμψειαν πρὸς τὸν Περσῶν βασιλέα, πλεονεκτῆσαι ἄν τι ἐκείνῳ. καὶ ἐκ τούτου παρακαλέσαντες ἤδη τοὺς συμμάχους ἐπὶ προφάσει, ὅτι καὶ Εὐθυκλῆς ὁ Λακεδαιμόνιος εἴη παρὰ βασιλεῖ, ἀναβαίνουσι, Θηβαίων μὲν Πελοπίδας, Αρκάδων δὲ, Αντίοχος ὁ παγκρατιαστής, Ηλείων δὲ, Αρχίδαμος· ἠκολούθει δὲ καὶ ..... Αργεῖος. καὶ οἱ Αθηναῖοι δὲ ἀκούσαντες ταῦτα, ἀντέπεμψαν Τιμαγόραν τε καὶ Λέοντα.

κδ'. Επεὶ δ' ἐκεῖ ἐγένοντο, πολὺ ἐπλεονέκτει ὁ Πελοπίδας παρὰ τῷ Πέρσῃ. εἶχε γὰρ λέγειν, καὶ ὅτι μόνοι τῶν Ελλήνων βασιλεῖ συνεμάχοντο ἐν Πλαταιαῖς, καὶ ὅτι ὕστερον

haec audiiſſent, initio, ab Ageſilao, ſenioribus, Ephoris, facto, collacrymaſſe vniuerſos: Vſque adeo lacrymae tum laetitiae, tum dolori ſunt communes. Neque multo minorem Thebani ac Elei voluptatem ex Arcadum aduerſa fortuna, quam Lacedaemonii capiebant. Adeo iam faſtum eorum aegre ferebant.

23. Quum autem aſſidue conſultarent Thebani, qua ratione imperio Graeciae potirentur; arbitrabantur, ſe, ſi Perſarum ad regem aliquos mitterent, poſſe per hunc reliquis ſuperiores euadere. Quamobrem conuocatis ſociis ſub ſpecie, quaſi etiam Euthycles Lacedaemonius apud regem eſſet: ad eundem aſcendunt ex Thebanis Pelopidas, ex Arcadibus Antiochus ille pancratii victor, ex Eleis Archidamus. Erat et . . . Argiuus horum comes. Praeterea his auditis, Athenienſes quoque Timagoram et Leontem miſerunt.

24. Poſteaquam ventum ad regem eſſet, longe plus caeteris Pelopidas apud eum valebat. Nam dicere poterat, ſolos ex Graecis Thebanos regi adfuiſſe in ea, quae ad Plataeas commiſſa fuiſſet, pugna. Eos-

ὕστερον ἀδέποτε στρατεύσαιντο ἐπὶ βασιλέα, καὶ ὡς Λακεδαιμόνιοι διὰ τοῦτο πολεμήσειαν αὐτοῖς, ὅτι οὐκ ἐθελήσαιεν μετ' Ἀγησιλάου ἐλθεῖν ἐπ' αὐτὸν, οὐδὲ θύσαι ἐάσαιεν αὐτὸν ἐν Αὐλίδι τῇ Ἀρτέμιδι, ἔνθα περ ὅτε Ἀγαμέμνων εἰς τὴν Ἀσίαν ἐξέπλει, θύσας εἶλε τὴν Τροίαν. μέγα δὲ συνεβάλλοντο τῷ Πελοπίδᾳ εἰς τὸ τιμᾶσθαι, καὶ ὅτι ἐνενικήκεσαν οἱ Θηβαῖοι μάχῃ ἐν Λεύκτροις, καὶ ὅτι πεπορθηκότες τὴν χώραν τῶν Λακεδαιμονίων ἐφαίνοντο. ἔλεγε δὲ ὁ Πελοπίδας, ὅτι Ἀργεῖοι καὶ Ἀρκάδες μάχῃ ἡττημένοι εἶεν ὑπὸ Λακεδαιμονίων, ἐπεὶ αὐτοὶ οὐ παρεγένοντο. συνεμαρτύρει δ' αὐτῷ ταῦτα πάντα ὡς ἀληθῆ λέγει ὁ Τιμαγόρας Ἀθηναῖος, καὶ ἐτιμᾶτο δεύτερα μετὰ τὸν Πελοπίδαν.

κε'. Ἐκ δὲ τούτου ἐρωτώμενος ὑπὸ βασιλέως ὁ Πελοπίδας, τί βούλοιτο ἑαυτῷ γραφῆναι, εἶπεν, ὅτι Μεσσήνην τε αὐτόνομον εἶναι ἀπὸ Λακεδαιμονίων, καὶ Ἀθηναίους ἀνέλκειν τὰς ναῦς· εἰ δὲ ταῦτα μὴ πείθοιντο, στρατεύειν ἐπ' αὐτούς· εἰ

dem ne deinceps quidem vnquam bellum regi feciſſe, ac propterea bello vexatos a Lacedaemoniis fuiſſe, quod cum Ageſilao militare aduerſus regem noluiſſent. Praeterea non permiſiſſe ſe huic, vt Dianae apud Aulidem ſacrum faceret; quo loco Agamemnon, facta re ſacra, in Aſiam traieciſſet, ac Troiam deinde cepiſſet. Magnum hoc quoque Pelopidae momentum afferebat ad hoc, vt honore afficeretur, quod apud Leuctra Thebani victores extitiſſent: et quod palam eſſet, eos agrum Lacedaemoniorum depopulatos. Addebat inter alia, proelio victos a Lacedaemoniis eſſe Argiuos et Arcades, propterea quod Thebani eis non adfuiſſent. Atque haec omnia vere ab eo dici, Timagoras Athenienſis teſtimonio ſuo confirmabat; idemque ſecundum honoris a Pelopida locum obtinebat.

25. Poſtea interrogatus a rege Pelopidas, quid perſcribi vellet: reſpondit, vt a Lacedaemoniorum poteſtate Meſſene immunis eſſet, ac vt Athenienſes nauigia ſua ſubducerent: ni parerent, bellum eis indicendum eſſe. Quod ſi qua ciuitas

εἴ τις δὲ πόλις μὴ ἐθέλοι ἀκολυθεῖν, ἐπὶ ταύτην πρῶτον ἰέναι. γραφέντων δὲ τούτων, καὶ ἀναγνωσθέντων τοῖς πρέσβεσιν, εἶπεν ὁ Λέων ἀκούοντος τοῦ βασιλέως· νὴ Δία, ὦ Αθηναῖοι, ὥρα γε ὑμῖν, ὡς ἔοικεν, ἄλλον τινὰ φίλον ἀντὶ βασιλέως ζητεῖν. ἐπεὶ δὲ ἀπήγγειλεν ὁ γραμματεὺς ἃ εἶπεν ὁ Αθηναῖος, πάλιν ἐξήνεγκε προσγεγραμμένα· εἰ δέ τι δικαιότερον τούτων γιγνώσκουσιν οἱ Αθηναῖοι, ἰόντας πρὸς βασιλέα διδάσκειν.

κς'. Ἐπεὶ δὲ ἀφίκοντο οἱ πρέσβεις ἕκαστοι οἴκαδε, τὸν μὲν Τιμαγόραν ἀπέκτειναν οἱ Αθηναῖοι, κατηγορηθέντος τοῦ Λέοντος, ὡς ὅτε συσκηνοῖ ἐθέλοι ἑαυτῷ, μετά τε Πελοπίδου πάντα βουλεύοιτο. τῶν δὲ ἄλλων πρέσβεων ὁ μὲν Ηλεῖος Αρχίδαμος, ὅτι προτίμητε τὴν Ηλιν πρὸ τῶν Αρκάδων, ἐπῄνει τὰ τοῦ βασιλέως. ὁ δὲ Αντίοχος, ὅτι ἠλαττοῦτο τὸ Αρκαδικὸν, ὅτε τὰ δῶρα ἐδέξατο, ἀπήγγειλε πρὸς τοὺς μυρίους ὅτι βασιλεὺς ἀρτοκόπους, καὶ ὀψοποιοὺς, καὶ οἰνοχόους, καὶ θυρωροὺς παμπληθεῖς ἔχοι, ἄνδρας δὲ οὐ μάχοιντ'

vitas ſequi recuſaret, eam primam eſſe debere, quae cum exercitu peteretur. Haec perſcripta quum eſſent, ac legatis lecta: Leon, audiente rege: Profecto, inquit, iam tempus eſt, Athenienſes, vti quidem videtur, vt alium vobis amicum regis loco quaeratis. Quum autem regi ſcriba renuntiaſſet, quid legatus Athenienſis dixiſſet, rurſum expoſuit haec, quae fuiſſent adſcripta: Quod ſi quid aequius Athenienſes ſcirent, id, miſſis ad regem oratoribus, ſignificarent.

26. Poſteaquam hi legati ſinguli domum rediiſſent, Timagoram Athenienſes capite multarunt, accuſante ipſum Leonte, quod ne quidem vti ſecum eodem contubernio voluiſſet, et omnia conſilia cum Pelopida communicaſſet. Ex reliquis oratoribus Archidamus Eleus regem praedicabat, propterea quod Eleos Arcadibus praetuliſſet. Antiochus vero, quod Arcadum nationis exiſtimatio fuiſſet exigua, neque munera recipiebat a rege, renuntiabat decies millibus, regem et panum, et obſoniorum artifices, et pocillatores, et oſtiarios complures habere: ſed viros, ait, qui aduerſus Graecos dimi-

χοιντ' ἂν Ελλησι, πάνυ ζητῶν, οὐκ ἂν ἔφη δύνασθαι ἰδεῖν. πρὸς δὲ τούτοις, καὶ τὸ τῶν χρημάτων πλῆθος ἀλαζονείαν οἱ γε δοκεῖν εἶναι ἔφη. ἐπεὶ καὶ τὴν ὑμνυμένην ἂν χρυσῆν πλάτανον οὐκ ἱκανὴν ἔφη εἶναι τέττιγι σκιὰν παρέχειν.

κζ'. Ως δὲ οἱ Θηβαῖοι ἐκάλεσαν ἀπὸ τῶν πόλεων ἁπασῶν ἀκουσομένους τῆς παρὰ βασιλέως ἐπιστολῆς, καὶ ὁ Πέρσης ὁ φέρων τὰ γράμματα, δείξας τὴν βασιλέως σφραγῖδα, ἀνέγνω τὰ γεγραμμένα, οἱ μὲν Θηβαῖοι ὀμνύναι ταῦτα ἐκέλευον βασιλεῖ καὶ ἑαυτοῖς τοὺς βουλομένους φίλους εἶναι· οἱ δὲ ἀπὸ τῶν πόλεων ἀπεκρίναντο, ὅτι οὐκ ὀμοῦμενοι, ἀλλὰ ἀκουσόμενοι πεμφθείησαν. εἰ δέ τι ὅρκων δέοιντο, πρὸς τὰς πόλεις πέμπειν ἐκέλευον. ὁ μέντοι Αρκὰς Λυκομήδης καὶ τοῦτο ἔλεγεν, ὅτι οὐδὲ τὸν σύλλογον ἐν Θήβαις δέοι εἶναι, ἀλλ' ἔνθα ἂν ἡ ὁ πόλεμος. χαλεπαινόντων δ' αὐτῷ τῶν Θηβαίων, καὶ λεγόντων, ὡς διαφθείρει τὸ συμμαχικόν, οὐδὲ εἰς τὸ συνέδριον ἤθελε καθίζειν, ἀλλ' ἀπιὼν ᾤχετο, καὶ μετ' αὐτοῦ πάντες οἱ ἐξ Αρκαδίας πρέσβεις.

κη'. Ως

care poſſint, quanquam admodum quaererem, videre tamen non potui. Praeterea videri ſibi, pecuniarum illam copiam ad inanem oſtentationem comparatam eſſe. Nam et nobilem illam platanum auream ne cicadae quidem vmbram praebere poſſe.

27. Thebani, quum vrbes vniuerſas ad audiendas regis literas conuocaſſent, eaſque Perſa is, a quo allatae fuerant, indicato regis ſigillo, perlegiſſet: iubebant, vt omnes, quotquot amici eſſe vellent, in hanc ſententiam regi ac ipſis iusiurandum praeſtarent. Verum legati vrbium reſpondebant, ſe miſſos eſſe, non iuratum, ſed auditum. Quod ſi ſacramentum praeſtandum eſſet, ad vrbes ipſas mitterent, hortabantur. Addebat Lycomedes Arcas, ne conveniri quidem Thebis debere: ſed iſtic, vbi bellum geratur. Ei quum Thebani ſuccenſerent, ac ſocios ab ipſo corrumpi dicerent: ne quidem in concilio ſedere voluit, ſed diſceſſit, ſequentibus eum vniuerſis Arcadum legatis.

28. Poſt-

κη'. Ως δ' ἐν Θήβαις οὐκ ἠθέλησαν οἱ συνελθόντες ὀμόσαι, ἔπεμπον οἱ Θηβαῖοι πρέσβεις ἐπὶ τὰς πόλεις, ὀμνύναι κελεύοντες ποιήσειν κατὰ τὰ βασιλέως γράμματα, νομίζοντες ὀκνήσειν μίαν ἑκάστην τῶν πόλεων ἀπεχθάνεσθαι ἅμα ἑαυτοῖς τε καὶ βασιλεῖ. ἐπεὶ μέντοι εἰς Κόρινθον πρῶτον αὐτῶν ἀφικομένων ὑπέσησαν οἱ Κορίνθιοι, καὶ ἀπεκρίναντο, ὅτι οὐδὲν δέοιντο πρὸς βασιλέα κοινῶν ὅρκων, ἐπηκολούθησαν καὶ ἄλλαι πολλαὶ πόλεις, κατὰ ταῦτα ἀποκρινόμεναι. καὶ αὕτη μὲν ἡ Πελοπίδου καὶ τῶν Θηβαίων τῆς ἀρχῆς περιβολὴ ὧδε διελύθη.

κθ'. Αὖθις δ' Επαμινώνδας βληθεὶς τὰς Αχαιὰς προσπαγαγέσθαι, ὅπως μᾶλλον σφίσι καὶ οἱ Αρκάδες καὶ οἱ ἄλλοι σύμμαχοι προσέχοιεν τὸν νοῦν, ἔγνωκε στρατευτέον εἶναι ἐπὶ τὴν Αχαΐαν. Πεισίαν οὖν τὸν Αργεῖον στρατηγοῦντα ἐν τῷ Αργει, πείθει προκαταλαβεῖν τὸ Ονειον. καὶ ὁ Πεισίας μέντοι καταμαθὼν ἀμελουμένην τὴν τοῦ Ονείου φυλακὴν ὑπό τε Ναυκλέους, ὃς ἦρχε τοῦ ξενικοῦ τῶν Λακεδαιμονίων,

28. Posteaquam ii, qui conuenerant Thebis, iurare recusassent: ad vrbes ipsas Thebani legatos mittebant, et hortabantur, vt ex decreto regiarum litterarum iusiurandum praestarent. Simul arbitrabantur, vnamquamque ciuitatem verituram, ne in regis et ipsorum odium incurreret. Verum vbi primum Corinthum venissent, ac restitissent Corinthii, neque se iuramenti cum rege communis egere respondissent: tum deinde sequutae sunt hos et aliae complures vrbes, inque sententiam eandem respondérunt. Hoc pacto instituta imperii affectatio a Pelopida et Thebanis ad nihilum recidit.

29. Quum autem rursus Epaminondas primum Achaeos subiicere cogitaret, vt eo magis tum Arcades, tum reliqui socii dicto audientes essent: suscipiendam esse hanc in Achaiam expeditionem statuit. Itaque Pisiam Argiuum, qui Argiuorum Imperator erat, permouet; vt Oneum praeoccuparet. Ille quum certior redditus esset, Oneum a Naucleo, qui conductitio Lacedaemoniorum militi praeerat,

δαιμονίων, καὶ ὑπὸ Τιμομάχῳ τῷ Ἀθηναίῳ, καταλαμβάνει νύκτωρ μετὰ δισχιλίων ὁπλιτῶν τὸν ὑπὲρ Κεγχρεῶν λόφον, ἔχων ἐπὶ ἡμερῶν ἐπιτήδεια.

λ΄. Εν δὲ ταύταις ταῖς ἡμέραις ἐλθόντες οἱ Θηβαῖοι ὑπερβαίνουσι τὸ Ονειον, καὶ τραπόμενοι πάντες οἱ σύμμαχοι ἐπ' Αχαΐαν, ἡγουμένου Επαμινώνδου. προσπεσόντων δ' αὐτῷ τῶν βελτίστων ἐκ τῆς Αχαΐας, ἐνδυναστεύει ὁ Επαμινώνδας, ὥστε μὴ φυγαδεῦσαι τοὺς κρατίστους, μήτε πολιτείαν μεταστῆσαι, ἀλλὰ πιστὰ λαβεῖν παρὰ τῶν Αχαιῶν, ἢ μὴν συμμάχους ἕσεσθαι, καὶ ἀκολουθήσειν, ὅπη ἂν Θηβαῖοι ἡγῶνται· καὶ ὕτως ἀπῆλθον οἴκαδε.

λα΄. Κατηγορούντων δὲ αὐτοῦ τῶν τε Αρκάδων καὶ τῶν ἀντιστασιωτῶν, ὡς Λακεδαιμονίοις κατεσκευακὼς τὴν Αχαΐαν ἀπέλθοι, ἔδοξε Θηβαίοις πέμψαι ἁρμοστὰς εἰς τὰς Αχαΐδας πόλεις. οἱ δ' ἐλθόντες, τοὺς μὲν βελτίστους σὺν τῷ πλήθει ἐξέβαλον, δημοκρατίας δ' ἐν τῇ Αχαΐᾳ κατέ-

praeerat, et Athenienſi Timomacho negligenter cuſtodiri: cum IIICIↃ grauis armaturae peditibus collem, Cenchreis imminentem, noctu occupat, commeatu dierum VII inſtructus.

30. Interea Thebani domo profecti, Oneum ſuperant, et vniuerſis cum ſociorum copiis Achaiam, Epaminonda duce, inuadunt. Quumque optimates per Achaiam ad ipſum deficerent, eam Epaminondas auctoritatem vſurpabat, vt nec optimates in exilium eiicerentur, nec reipublicae ſtatus immutaretur: ſed tantum fide ab Achaeis accepta, qua ſancte pollicerentur, ſe ſocios futuros, et ſequuturos, quocunque Thebani ducerent, ita deinde domum diſceſſit.

31. Quum autem Arcades, et ii, qui aduerſae factionis erant, Epaminondam accuſarent, quod, conſtituta ex vſu Lacedaemoniorum Achaia, diſceſſiſſet: viſum eſt Thebanis, praefectos ad vrbes Achaicas mittere. Illi quum aduenissent, optimatibus cum multitudine eiectis, ſtatum popularem in Achaiam introducebant. Verum

κατέσησαν. οἱ μέντοι ἐκπεσόντες, συςάντες, ταχὺ ἐπὶ μίαν ἑκάςην τῶν πόλεων πορευόμενοι, ὄντες ὐκ ὀλίγοι, κατῆλθόν τε καὶ κατέσχον τὰς πόλεις. ἔπειτα δὲ κατελθόντες ὐκέτι ἐμέσευον, ἀλλὰ προθύμως συνεμάχων τοῖς Λακεδαιμονίοις. ἐπιέζοντο μὲν γὰρ οἱ Αρκάδες ἔνθεν μὲν ὑπὸ Λακεδαιμονίων, ἔνθεν δὲ ὑπὸ Αχαιῶν.

λβ'. Εν δὲ τῷ Σικυῶνι τὸ μὲν μέχρι τότε κατὰ τὰς Αχαιῶν νόμους ἡ πολιτεία ἦν. ἐκ δὲ τότε βαλόμενος ὁ Εὔφρων, ὥσπερ παρὰ τοῖς Λακεδαιμονίοις ἦν μέγιστος τῶν πολιτῶν, ὕτω καὶ παρὰ τοῖς ἐναντίοις αὐτῶν πρωτεύειν, λέγει πρὸς τὰς Αργείας καὶ τὰς Αρκάδας, ὡς εἰ μὲν οἱ πλουσιώτατοι σαφῶς ἐγκρατεῖς ἔσοιντο τῆ Σικυῶνος, ἀτειχῶς, ὅταν τύχῃ, πάλιν λακωνιεῖ ἡ πόλις· ἐὰν δὲ δημοκρατία γένηται, εὖ ἴσε, ἔφη, ὅτι διαμενεῖ ὑμῖν ἡ πόλις. ἐὰν ἦν μοι παραγένησθε, ἐγὼ ἔσομαι ὁ συγκαλῶν τὸν δῆμον, καὶ ἅμα ἐγὼ ὑμῖν ταύτην τὴν πίσιν ἐμαυτῷ δώσω, καὶ τὴν πόλιν βέβαιον ἐν τῇ συμμαχίᾳ παρέξω.

rum exules collecti, quum non pauci essent, celeriter ad ciuitates singulas reuersi, eas recuperatas occupabant: quumque iam ab exilio rediissent, non amplius medios se gerebant; sed alacriter opem Lacedaemoniis ferebant. Itaque premebantur Arcades ex vna parte a Lacedaemoniis, ex altera ab Achaeis.

32. Caeterum Sicyone, ad hoc vsque tempus, respublica secundum Achaeorum leges administrabatur: verum quum Euphron cuperet itidem, vt apud Lacedaemonios auctoritate supra ciues caeteros summa erat, etiam apud ipsorum aduersarios primas obtinere: Argiuis et Arcadibus significat, si plane summa potestas Sicyone penes opulentissimos esset, nullo negotio rempublicam eam, oblata saltem occasione, rursus Lacedaemoniorum partes sequuturam: sin popularis status introduceretur, certo, inquit, scitote, mansuram in fide. Quapropter si mihi adfueritis, equidem vobis populum conuocabo; simulque tum meo nomine fidem vobis dabo, tum, vt ciuitas ipsa constanter hac in societate persistat, efficiam.

παρέξω. ταῦτα δ', ἔφη, ἐγὼ πράττω, εὖ ἴσθ', ὅτι πάλαι μὲν χαλεπῶς φέρων, ὥσπερ ὑμεῖς, τὸ φρόνημα τῶν Λακεδαιμονίων, ἄσμενος δ' ἂν τὴν ὀλιγαρχίαν ἀποφυγών.

λγ'. Οἱ μὲν Ἀρκάδες καὶ οἱ Ἀργεῖοι ἡδέως ταῦτ' ἀκούοντες, παρεγένοντο αὐτῷ. ὁ δ' εὐθὺς ἐν τῇ ἀγορᾷ, παρόντων τῶν Ἀργείων καὶ τῶν Ἀρκάδων, συνεκάλει τὸν δῆμον, ὡς τῆς πολιτείας ἐσομένης ἐν τοῖς ἴσοις καὶ ὁμοίοις. ἐπεὶ δὲ συνῆλθον, στρατηγὸς ἐκέλευσεν ἑλέσθαι, ὅστινας αὐτοῖς δοκοίη. οἱ δ' ἤρξαντο αὐτόν τε τὸν Εὔφρονα, καὶ Ἱππόδαμον, καὶ Κλέανδρον, καὶ Ἀκρίσιον, καὶ Λύσανδρον. ὡς δὲ ταῦτα ἐπέπρακτο, καὶ ἐπὶ τὸ ξενικὸν καθίζησιν Ἀδέαν τὸν αὑτῷ υἱὸν, Λυσιμένην τὸν πρόσθεν ἄρχοντα ἀποσήσας.

λδ'. Καὶ εὐθὺς μὲν τούτων τῶν ξένων ὁ Εὔφρων πιστούς τινας εὖ ποιῶν ἐποιήσατο, καὶ ἄλλους προσελάμβανεν, ὅτε τῶν δημοσίων, ὅτε τῶν ἱερῶν χρημάτων φειδόμενος. καὶ ὅσους δ' ἐξέβαλεν ἐπὶ Λακωνισμῷ, καὶ τοῖς τούτων χρήμασιν ἐχρῆτο. καὶ τῶν συναρχόντων δὲ τοὺς μὲν δόλῳ ἀπέκτεινε,

Atque haec, inquit, facio, quod iamdudum itidem, vt vos, Lacedaemoniorum arrogantiam iniquo animo feram, ac seruitute me lubens liberare cupiam.

33. Ea quum Arcadibus et Argiuis auditu iucunda essent, praesto ei erant. Euphron statim in foro, praesentibus Argivis et Arcadibus, populum conuocat; administrandam rempublicam dictitans aequo ac pari iure. Posteaquam conuenisset populus, iubet vti praetores legerent, quos ipsis visum esset. Illi Euphronem ipsum, cum Hippodamo, Cleandro, Acrisio, Lysandro, deligunt. Quibus ita confectis, Adeam filium suum mercenariis copiis praeficit, abrogato Lysimeni, qui antea praefuerat iisdem, imperio.

34. Mox Euphron de quibusdam horum exterorum militum bene merendo, ipsi vt fidi essent, efficiebat: et alios praeterea conducebat, nullis neque publicis, neque sacris pecuniis parcens. Quotquot etiam in exilium ageret, propterea quod Lacedaemoniorum partes sequerentur; eorum facultates quoque sibi vsurpabat. Praeterea collegas partim fraude necabat, partim eiiciebat

κλεινε, τὰς δὲ ἐξέβαλεν· ὥστε πάντα ὑφ' ἑαυτῷ ἐποιήσατο, καὶ σαφῶς τύραννος ἦν. ὅπως δὲ ταῦτα ἐπιτρέποιεν αὐτῷ οἱ ξύμμαχοι, τὰ μέντοι καὶ χρήμασι διεπράττετο, τὰ δὲ, καὶ εἴ πῃ στρατεύοιντο, προθύμως ἔχων τὸ ξενικὸν, συνηκολούθει.

ΚΕΦ. β'.

Οὕτω δὲ τούτων προκεχωρηκότων, καὶ τῶν τε Ἀργείων ἐπιτετειχικότων ἐν τῷ Φλιοῦντι τὸ ὑπὲρ τῆς Ἡραίας *Τρίκρανον, καὶ τῶν Σικυωνίων ἐπὶ τοῖς ὁρίοις αὐτῶν τειχίζόντων τὴν Θυαμίαν, μάλα ἐπιέζοντο οἱ Φλιάσιοι, καὶ ἐσπανίζοντο τῶν ἐπιτηδείων· ὅμως δὲ διεκαρτέρουν ἐν τῇ συμμαχίᾳ. ἀλλὰ γὰρ τῶν μὲν μεγάλων πόλεων, εἴ τι καλὸν ἔπραξαν, ἅπαντες οἱ συγγραφεῖς μέμνηνται· ἐμοὶ δὲ δοκεῖ καὶ εἴ τις μικρὰ πόλις ὅσα πολλὰ καὶ καλὰ ἔργα διαπέπρακται, ἔτι μᾶλλον ἄξιον εἶναι ἀποφαίνειν.

β'. Φλιάσιοι τοίνυν φίλοι μὲν ἐγένοντο Λακεδαιμονίοις, ὅτ'

ciebat in exilium. Quo factum, vt ſuam in poteſtatem redigeret omnia, palamque tyrannidem exerceret. Atque ad haec vt ſocii conniuerent, vel largitionibus impetrabat, vel eo, quod impigre cum mercenariis copiis eos ſequeretur, ſi quam illi expeditionem ſuſciperent.

CAP. II.

Poſteaquam haec ita ſucceſſiſſent, et Argiui quidem Tricranum, in agro Phliaſio ſupra fanum Iunonis ſitum, moenibus cinxiſſent, Sicyonii vero in finibus eorum Thyamiam munirent; vehementer Phliaſii premebantur, et commeatus inopia laborabant. Nihilominus conſtanter Lacedaemoniorum in ſocietate perſiſtebant. Enimuero quum eorum, quae praeclare magnis a rebuſpublicis geruntur, omnes hiſtorici meminerint: equidem arbitror, multo magis eſſe operae pretium, indicari ea, quae exiguum aliquod oppidum, et inſignia, neque pauca numero, geſſerit.

2. Inierant cum Lacedaemoniis amicitiam id temporis Phliaſii,

* Al. Τρικάρανον.

ὅτ' ἐκεῖνοι μέγιστοι ἦσαν. σφαλέντων δ' αὐτῶν ἐν τῇ ἐν Λεύκτροις μάχῃ, καὶ ἀποσάντων μὲν πολλῶν περιοίκων, ἀποσάντων δὲ πάντων τῶν Εἰλώτων, ἔτι δὲ τῶν συμμάχων, πλὴν πάνυ ὀλίγων, ἐπιστρατευόντων δ' αὐτοῖς, ὡς εἰπεῖν, πάντων τῶν Ελλήνων, πιστοὶ διέμειναν· καὶ ἔχοντες πολεμίους τοὺς δυνατωτάτους τῶν ἐν Πελοποννήσῳ Αργείους καὶ Αρκάδας, ὅμως ἐβοήθησαν αὐτοῖς, καὶ διαβαίνειν τελευταίοι λαχόντες εἰς Πρασιὰς τῶν συμβοηθησάντων. ἦσαν δὲ οὗτοι, Κορίνθιοι, Επιδαύριοι, Τροιζήνιοι, Ερμιονεῖς, Αλιεῖς, Σικυώνιοι, καὶ Πελληνεῖς.

γ'. Οὐ γὰρ πώποτε ἀφέστασαν. ἀλλ' οὐδ' ἐπεὶ ὁ ξεναγὸς τοὺς προδιαβεβῶτας λαβὼν, ἀπολιπὼν αὐτοὺς ὤχετο, οὐδὲ ὡς ἐπεστράφησαν, ἀλλ' ἡγεμόνα μισθωσάμενοι ἐκ Πρασιῶν, ὄντων τῶν πολεμίων περὶ Αμύκλας, ὅπως ἐδύναντο διαδύντες εἰς Σπάρτην ἀφίκοντο. καὶ μὴν οἱ Λακεδαιμόνιοι ἄλλως

sii, quum ampliſſima ipſorum eſſet poteſtas. Iidem, adtritis Lacedaemoniorum in proelio ad Leuctra viribus, quum plerique finitimi deficerent ab ipſorum fide: facerent idem ſerui omnes, qui Helotes dicuntur, omnesque ſocii, paucis exceptis; bellum aduerſus eos moverent, vt ita dicam, Graeci vniuerſi; in fide tamen perſtiterunt. Quanquam etiam infeſtos ſibi haberent Argiuos et Arcades, omnium in Peloponneſo potentiſſimos; nihilominus opem eis tulerunt, et quidem forte hoc illis obtigit, vt poſtremi omnium eorum, qui Lacedaemoniis coniunctim ſuppetias ferebant, Praſias ſe conferrent. Erant inter hos Corinthii, Epidaurii, Troezenii, Hermionenſes, Halienſes, Sicyonii, et Pellenenſes.

3. Nimirum nunquam a Lacedaemoniis defecerunt. Immo ne tunc quidem, quum, relictis ipſis, mercenariorum militum ductor abiret cum iis, qui anteceſſerant, ſeſe in itinere conuerterunt; ſed mercede conducto Praſiis viae duce, quum hoſtes iuxta Amyclas eſſent, vti quidem poterant, penetrantes, Spartam venerunt. Lacedaemonii ſane

λως τε ἐτίμων αὐτὰς, καὶ βῶν ξένια ἔπεμψαν.

δ'. Ἐπεὶ δ', ἀναχωρησάντων τῶν πολεμίων ἐκ τῆς Λακεδαίμονος, οἱ Ἀργεῖοι ὀργιζόμενοι τῇ τῶν Φλιασίων περὶ τὰς Λακεδαιμονίας προθυμίᾳ, ἐνέβαλλον πανδημεὶ εἰς τὸν Φλιοῦντα, καὶ τὴν χώραν αὐτῶν ἐδήων, ἐδὲ ὡς ὑφίεντο· ἀλλὰ καὶ ἐπεὶ ἀπεχώρων, φθείραντες ὅσα ἐδύναντο, ἐπεξελθόντες οἱ τῶν Φλιασίων ἱππεῖς ἐπηκολούθων αὐτοῖς, καὶ ὀπισθοφυλακοῦντων τοῖς Ἀργείοις τῶν ἱππέων ἁπάντων καὶ λόχων τῶν μετ' αὐτὰς τεταγμένων, ἐπιθέμενοι τούτοις ἐξήκοντα ὄντες, ἐτρέψαντο πάντας τὰς ὄπισθεν φύλακας· καὶ ἀπέκτειναν μὲν ὀλίγους αὐτῶν, τρόπαιον μέντοι ἐστήσαντο, ὁρώντων τῶν Ἀργείων, ἐδὲν διαφέρον, ἢ εἰ πάντας ἀπεκτόνεσαν αὐτούς.

ε'. Αὖθις δὲ Λακεδαιμόνιοι μὲν καὶ οἱ σύμμαχοι ἐφρούρων τὸ Ονειον, Θηβαῖοι δὲ προσήεσαν ὡς ὑπερβησόμενοι.

ne quum aliis eos honoribus ornarent, tum bouem etiam ipsis, hospitalis doni loco, miserunt.

4. Post vbi, hostibus Lacedaemone discedentibus, Argiui, ob singularem erga Lacedaemonios beneuolentiam, Phliasiis succensentes, vniuersis cum reipublicae copiis Phliuntis agrum ingressi essent, eumque populando vastassent: tamen ne sic quidem illi quidquam remisere. Quin etiam id temporis, quum Argiui finibus ipsorum excederent, vastatis rebus, quas quidem poterant, omnibus; egressi aduersus eos Phliasiorum equites, vestigiis ipsorum inhaerebant. Quumque vniuersus Argiuorum equitatus, vna cum cohortibus, quae collocatae post equites fuerant, agmen extremum tutarentur: tamen hos adgressi LX omnino Phliasiorum equites, totum illud agminis extremi praesidium in fugam verterunt. Et quamvis paucos ex eis occiderent, tamen in Argiuorum conspectu tropaeum excitarunt: quod erat perinde, ac si eos omnes interfecissent.

5. Rursus cum Lacedaemonii, eorumque socii, praesidio tenerent Oneum, ac Thebani adventarent, quasi qui superare Oneum

ἑπόμενοι. πορευομένων δὲ διὰ Νεμέας τῶν Ηλείων καὶ Ἀρκάδων, ὅπως συμμίξαιεν τοῖς Θηβαίοις, προσήνεγκαν μὲν λόγον τῶν Φλιασίων φυγάδες, ὡς εἰ θελήσειαν ἐπιφανῆναι μόνον σφίσι, λάβοιεν ἂν Φλιοῦντα. ἐπεὶ δὲ ταῦτα συνωμολογήθη, τῆς νυκτὸς ὑπεκαθίζοντο ὑπ' αὐτῷ τῷ τείχει, κλίμακας ἔχοντες οἵ τε φυγάδες καὶ ἄλλοι μετ' αὐτῶν ὡς ἑξακόσιοι. ἐπεὶ δὲ οἱ μὲν σκοποὶ ἐσήμαινον ἀπὸ τοῦ Τρικράνου ὡς πολεμίων ἐπιόντων, ἡ δὲ πόλις τὸν νοῦν εἶχε πρὸς τούτοις, ἐν δὲ τούτῳ οἱ προδιδόντες ἐσήμαινον τοῖς ὑποκαθημένοις ἀναβαίνειν.

ς'. Οἱ δ' ἀναβάντες, καὶ λαβόντες τῶν φρουρῶν τὰ ὅπλα ἔρημα, ἐδίωκον τοὺς ἡμεροφύλακας ὄντας δέκα. ἀφ' ἑκάστης δὲ τῆς πεμπάδος εἷς ἡμεροφύλαξ κατελείπετο. καὶ ἕνα μὲν ἔτι καθεύδοντα ἀπέκτειναν, ἄλλον δὲ καταφυγόντα πρὸς τὸ Ἡραῖον. φυγῇ δ' ἐξαλλομένων ἀπὸ τοῦ τείχους εἰς τὸ ἄσυ, ὁρώντων τῶν ἡμεροφυλάκων, ἀναμφισβητήτως εἶχον οἱ ἀναβάντες τὴν ἀκρόπολιν.

ζ'. Ἐπεὶ δὲ κραυγῆς γενομένης εἰς τὴν πόλιν ἐβοήθουν

Oneum vellent, pergentibus interim per Nemeam Eleis et Arcadibus, vt se cum Thebanis coniungerent: significabant eis Phliasiorum exules, posse Phliuntem capi, si tantum se ostendissent. Posteaquam illi adsensi essent, noctu sub ipsis muris exules et alii ιοc cum scalis delitescebant. Inde significantibus a Tricrano speculatoribus, quod hostes aduentarent, quum in hos ciues intenti essent: interea proditores delitescentibus signum dant, vt ascenderent.

6. Quapropter illi, consensis muris, occupatisque custodum armis desertis, diurnos excubitores numero decem persequebantur. Nam de singulis quinionibus custos diurnus vnus relictus fuerat. Ex his vnum illi adhuc dormientem, alterum ad Iunonis fanum se recipientem interfecere. Quum autem ab his fugae studio de muro desiliretur in vrbem, spectantibus diurnis excubitoribus; absque controuersia tenebant iam arcem ii, qui ascenderant.

7. Verum excitato clamore, quum

θεν οἱ πολῖται, τὸ μὲν πρῶτον ἐξελθόντες ἐκ τῆς ἀκροπόλεως οἱ πολέμιοι ἐμάχοντο ἐν τῷ πρόθεν τῶν εἰς τὴν πόλιν φερουσῶν πυλῶν· ἔπειτα πολιορκούμενοι ὑπὸ τῶν προσβοηθούντων, ἐχώρουν πάλιν πρὸς τὴν ἀκρόπολιν. οἱ δὲ ὁπλῖται συνεισπίπτουσιν αὐτοῖς. τὸ μὲν οὖν μέσον τῆς ἀκροπόλεως εὐθὺς ἔρημον ἐγένετο. ἐπὶ δὲ τὸ τεῖχος καὶ τοὺς πύργους ἀναβάντες οἱ πολέμιοι ἔπαιον καὶ ἔβαλλον τοὺς ἔνδον. οἱ δὲ χαμόθεν ἠμύνοντο, καὶ κατὰ τὰς ἐπὶ τὸ τεῖχος φερούσας κλίμακας προσεμάχοντο.

η'. Ἐπεὶ δὲ τῶν ἔνθεν καὶ ἔνθεν πύργων ἐκράτησάν τινων οἱ πολῖται, ὁμόσε δὴ ἐχώρουν ἀπονενοημένως τοῖς ἀναβεβηκόσιν. οἱ δὲ, ὠθούμενοι ὑπ' αὐτῶν τῇ τόλμῃ τε καὶ τῇ μάχῃ, εἰς ἔλαττον συνειλοῦντο. ἐν δὲ τούτῳ καιρῷ οἱ μὲν Ἀρκάδες καὶ οἱ Ἀργεῖοι περὶ τὴν πόλιν ἐκυκλοῦντο, καὶ κατὰ κεφαλὴν τὸ τεῖχος τῆς ἀκροπόλεως διώρυττον. τῶν δὲ ἔνδοθεν οἱ μὲν τοὺς ἐπὶ τὸ τεῖχος, οἱ δὲ καὶ ἔτι ἔξωθεν ἐπαναβαίνοντας, ἐπὶ ταῖς κλίμαξιν ὄντας, ἔπαιον, οἱ δὲ πρὸς τοὺς ἐπαναβεβηκότας αὐτῶν ἐπὶ τοὺς πύργους ἐμάχοντο.

quum ciues ſuis ſuppetias latum accurrerent; primum hoſtes ex arce prodeuntes ante portas, quae in vrbem ducunt, dimicabant. Deinde obſeſſi ab iis, qui opem ſuis latum affluebant, rurſus arcem verſus pedem referebant. Heic Phliaſiorum grauis armaturae pedites vna cum ipſis in arcem irrumpunt. Itaque media pars arcis mox deſerta relinquebatur, et hoſtes muris ac turribus conſcenſis, ingreſſos, telis ac iaculis feriebant. Illi vero de inferiore loco ſe defendebant, et ad ſcalas in murum ducentes, dimicabant.

8. Poſteaquam ciues nonnullas hinc et inde turres occupaſſent, inſano more cum iis, qui aſcenderant, congrediebantur. Illi quum ciuium audacia et dimicatione vrgerentur, in anguſtum cogebantur. Interim Arcades et Argiui vrbem cingebant, et de ſuperiore loco murum arcis perfodiebant. Ciues, qui erant in arce, alii hoſtes in muro, alii extrinſecus aſcendentes, in ipſis ſcalis feriebant: alii aduerſus eos, qui iam turres conſcenderant, dimicabant:

quumque

χοντο, καὶ πῦρ εὑρόντες ἐν ταῖς σκηναῖς, ὑφῆπτον αὐτὰς, προσφορᾶντες τῶν δραγμάτων, ἃ ἔτυχον ἐξ αὐτῆς τῆς ἀκροπόλεως τεθερισμένα. ἐνταῦθα δὴ οἱ μὲν ἀπὸ τῶν πύργων, τὴν φλόγα φοβούμενοι, ἐξήλλοντο, οἱ δὲ ἐπὶ τῶν τειχῶν, ὑπὸ τῶν ἀνδρῶν παιόμενοι, ἐξέπιπτον.

θ'. Ἐπεὶ δὲ ἄπαξ ἤρξαντο ὑπείκειν, ταχὺ δὴ πᾶσα ἡ ἀκρόπολις ἔρημος τῶν πολεμίων ἐγεγένητο, εὐθὺς δὲ καὶ οἱ ἱππεῖς ἐξήλαυνον. οἱ δὲ πολέμιοι ἰδόντες αὐτὰς ἀπεχώρουν, καταλιπόντες τάς τε κλίμακας καὶ τὰς νεκρὰς, ἐνίας δὲ καὶ ζώντας ἀποκεχωλευμένους. ἀπέθανον δὲ τῶν πολεμίων οἵ τε ἔνδον μαχόμενοι, καὶ οἱ ἔξω ἀλλόμενοι, οὐκ ἐλάττους τῶν ἐγδοήκοντα. ἔνθα δὴ θεάσασθαι παρῆν ἐπὶ τῆς σωτηρίας τοὺς μὲν ἄνδρας δεξιουμένους ἀλλήλους, τὰς δὲ γυναῖκας πιεῖν τε φερούσας, καὶ ἅμα χαρᾷ δακρυούσας· πάντας δὲ τοὺς παρόντας τότε γε τῷ ὄντι κλαυσίγελως εἶχεν.

ι. Ἐνέβαλον δὲ καὶ τῷ ὑστέρῳ ἔτει εἰς τὸν Φλιοῦντα οἵ τε Ἀργεῖοι καὶ οἱ Ἀρκάδες ἅπαντες. αἴτιον δ' ἦν τοῦ ἐπικεῖσθαι αὐτοὺς ἀεὶ

quumque reperiſſent in tabernaculis ignem, turres ipſas incendebant, allatis manipulis, qui forte ipſa ab arce demeſſi fuerant. Tum vero qui in turribus erant, flammam veriti, deſiliebant: qui autem in muris, a ciuibus caeſi expellebantur.

9. Poſteaquam ſemel coepiſſent cedere, confeſtim arx tota deſerta eſt ab hoſtibus, et equites vrbe ſunt egreſſi. Quos vbi conſpexiſſent hoſtes, ſcalis et cadaueribus interfectorum, atque etiam nonnullis adhuc viuis, qui crura fregerant, relictis, diſcedebant. Perierunt ex hoſtibus, qui vel intus pugnauerant, vel extra vrbem et arcem ſaltabant, non pauciores quam octoginta. Atque heic ſpectare erat viros, ſalute parta, ſe inuicem complectentes, mulieres vero potum afferentes, ſimulque prae gaudio lacrymantes: Denique cunctos, qui aderant, miſtus lacrymis riſus occupabat.

10. Etiam ſequenti anno Argiui et Arcades omnes Phliaſiorum fines inuaſerunt. Erat autem cauſſa, quamobrem ſemper

Phliaſios

ἀεὶ τοῖς Φλιασίοις, ὅτι ἅμα μὲν ὠργίζοντο αὐτοῖς, ἅμα δὲ ἐν μέσῳ εἶχον, καὶ ἐν ἐλπίδι ἦσαν ἀεὶ διὰ τὴν ἀπορίαν τῶν ἐπιτηδείων παραστήσεσθαι αὐτούς. οἱ δὲ ἱππεῖς καὶ οἱ ἐπίλεκτοι τῶν Φλιασίων καὶ ἐν ταύτῃ τῇ ἐμβολῇ, ἐπὶ τῇ διαβάσει τοῦ ποταμοῦ, ἐπιτίθενται σὺν τοῖς παροῦσι τῶν Ἀθηναίων ἱππεῦσι· καὶ κρατήσαντες, ἐποίησαν τοὺς πολεμίους τὸ λοιπὸν τῆς ἡμέρας ὑπὸ τὰς ἀκροφορείας ὑποχωρεῖν, ὥσπερ ἀπὸ φιλίας καρποῦ τοῦ ἐν τῷ πεδίῳ φυλαττομένους, μὴ καταπατήσειαν.

ιά. Αὖθις δέ ποτε ἐστράτευσεν ἐπὶ Φλιοῦντα ὁ ἐν Σικυῶνι ἄρχων, Θηβαίους ἄγων, ὅς τε αὐτὸς εἶχε φρουρὰς, καὶ Σικυωνίους, καὶ Πελληνέας· (ἤδη γὰρ τότε ἠκολούθουν τοῖς Θηβαίοις) καὶ Εὔφρων δὲ τοὺς αὐτοῦ ἔχων μισθοφόρους περὶ δισχιλίους συνεστράτευετο. οἱ μὲν οὖν ἄλλοι αὐτῶν διὰ τοῦ Τρικράνου κατέβαινον ἐπὶ τὸ Ἡραῖον, ὡς τὸ πεδίον φθερροῦντες· κατὰ δὲ τὰς εἰς

Phliaſios premerent, partim quod eis ſuccenſerent, partim quod eſſent loco inter vtroſque medio. Itaque perpetuo bona erant in ſpe, futurum vt ob rerum neceſſariarum inopiam eos ad deditionem compellerent. Verum hac quoque in expeditione Phliaſiorum equites ac delecti milites hoſtem in traiectu amnis vna cum Athenienſibus, qui aderant, ſunt adorti. Quumque victoria potiti eſſent, perfecerunt, vt hoſtis reliquo diei ſpatio ſub cacumina montium ſe reciperet, quaſi caueret, ne foederatorum quorundam fruges in planitie conculcaret.

11. Rurſus et Sicyonis praefectus aduerſus Phliaſios bellum mouit, ducens ſecum Thebanos, et praeſidiarios, quos habebat, et Sicyonios, et Pellenenſes, qui iam id temporis Thebanos duces ſequi ſolebant. Atque huic expeditioni aderat etiam Euphron, qui ſecum habebat ſtipendiarios milites plus minus IIcIↃ. Ac tum alii quidem per Trieranum ad Iunonis fanum deſcendebant, quaſi vaſtare vellent ea, quae erant in campo. Ve-

εἰς Κόρινθον φερούσας πύλας ἐπὶ τῷ ἄκρῳ κατέλιπε Σικυωνίους τε καὶ Πελληνέας, ὅπως μὴ ταύτῃ περιελθόντες οἱ Φλιάσιοι κατὰ κεφαλὴν αὐτῶν γένοιντο ὑπὲρ τῷ Ἡραίῳ.

ιβ'. Ὡς δ' ἔγνωσαν οἱ ἐκ τῆς πόλεως τοὺς πολεμίους ἐπὶ τὸ πεδίον ὡρμημένους, ἀντεξελθόντες οἵ τε ἱππεῖς καὶ οἱ ἐπίλεκτοι τῶν Φλιασίων ἐμάχοντο, καὶ οὐκ ἀνίεσαν εἰς τὸ πεδίον αὐτούς. καὶ τὸ μὲν πλεῖστον τῆς ἡμέρας ἐνταῦθα ἀκροβολιζόμενοι διῆγον, οἱ μὲν περὶ τὸν Εὔφρονα, ἐπιδιώκοντες μέχρι τοῦ ἱππασίμου, οἱ δὲ ἔνδοθεν, μέχρι τοῦ Ἡραίου.

ιγ'. Ἐπεὶ δὲ ὥρα ἐδόκει εἶναι, ἀπῆσαν οἱ πολέμιοι κύκλῳ τοῦ Τρικράνου. ὥστε γὰρ ὁ τὴν σύντομον πρὸς τοὺς Πελληνέας ἀφικέσθαι, ἡ πρὸ τοῦ τείχους φάραγξ εἶργε. μικρὸν δ' αὐτοὺς πρὸς τὸ ὄρθιον προπέμψαντες οἱ Φλιάσιοι, ἀποτρεπόμενοι ἴεντο τὴν παρὰ τὸ τεῖχος ἐπὶ τοὺς Πελληνέας καὶ τοὺς μεθ' αὐτῶν.

ιδ'. Καὶ οἱ περὶ τὸν Θηβαῖον δὲ, αἰσθόμενοι τὴν σπουδὴν τῶν

rum iuxta portas, quae Corinthum ducunt, in cacumine Sicyonii ac Pellenenſes relicti erant; ne, hac Phliaſii circumeuntes, ſupra fanum Iunonis altiorem locum occuparent.

12. Poſteaquam oppidani hoſtes planiciem ingreſſos animaduerterant, equites et delecti ex omni numero Phliaſiorum aduerſus eos prodeunt, ac pugnando prohibent, quo minus in planitiem deſcenderent. Maxima diei pars velitationibus eſt conſumta, quum Euphronis milites hoſtem ad ea vſque loca perſequerentur, quae equitibus erant idonea: oppidani contra, vſque ad Iunonis fanum.

13. Poſteaquam tempus abeundi eſſe putabant, abierunt hoſtes ita, vt Tricranum circumirent. Nam quo minus via breuiori contenderent ad Pellenenſes, vallis ea, quae ante caſtellum hoc erat, impediebat. Quumque Phliaſii parumper eos vſque ad accliuia ſequuti eſſent, conuerſo itinere, iuxta caſtellum aduerſus Pellenenſes et alios, qui cum illis erant, pergunt.

14. Ea Phliaſiorum feſtinatione cognita, praefectus Thebanus

τῶν Φλιασίων, ἡμιλλῶντο, ὅπως φθάσειαν τοῖς Πελληνεῦσι βοηθήσοντες. ἀφικόμενοι δὲ πρότερον οἱ ἱππεῖς ἐμβάλλουσι τοῖς Πελληνεῦσι. δεξαμένων δὲ τὸ πρῶτον, ἐπαναχωρήσαντες, πάλιν σὺν τοῖς παραγεγενημένοις τῶν πεζῶν ἐνέβαλον, καὶ ἐκ χειρὸς ἐμάχοντο. καὶ ἐκ τούτου δὴ ἐγκλίνουσιν οἱ πολέμιοι, καὶ ἀποθνήσκουσι τῶν τε Σικυωνίων τινὲς, καὶ τῶν Πελληνέων μάλα πολλοὶ καὶ ἄνδρες ἀγαθοί.

ιέ. Τούτων δὲ γενομένων, οἱ μὲν Φλιάσιοι τρόπαιον ἵσταντο λαμπρὸν, παιανίζοντες, ὥσπερ εἰκός. οἱ δὲ περὶ τὸν Θηβαῖον καὶ τὸν Εὔφρονα, περιεώρων ταῦτα, ὥσπερ ἐπὶ θέαν περιδεδραμηκότες. τούτων δὲ πραχθέντων, οἱ μὲν ἐπὶ Σικυῶνος ἀπῆλθον, οἱ δ' εἰς τὸ ἄστυ ἀπεχώρησαν.

ις'. Καλὸν δὲ καὶ τοῦτο διεπράξαντο οἱ Φλιάσιοι. τὸν γὰρ Πελληνέα πρόξενον ζῶντα λαβόντες, καίπερ πάντων σπανιζόμενοι, ἀφῆκαν ἄνευ λύτρων. γενναίως μὲν δὴ καὶ ἀλκίμως πῶς οὐκ ἄν τις φαίη εἶναι τοὺς τὰ τοιαῦτα διαπραττομένους;

ιζ'. Ὡς γεμὴν καὶ διὰ καρτερίας τοῖς φίλοις τὴν πίστιν διέσωζον,

nus cum ſuis contendebat, vt mature Pellenenſibus opem ferret. Sed quia Phliaſiorum equites horum conatum anteceperant, Pellenenſes adorti ſunt. Illis hoſtem initio excipientibus, pedem Phliaſii retulere; ſumtiſque ſecum peditibus, qui aduenerant, rurſus in hoſtes perrexerunt, manumque conſeruerunt. Tum vero terga dare hoſtes, ac Sicyonii quidam interfici, et Pellenenſes, multi ſane forteſque viri.

15. His actis, Phliaſii tropaeum ſtatuunt illuſtre; quum paeana, ceu par erat, canerent. Interim Thebani ducis et Euphronis milites haec adſpectabant vndique, quaſi ad ſpectaculum circumcurſitaſſent. Hinc Sicyonem hoſtes ſe contulerunt, oppidani vero in vrbem.

16. Etiam hoc praeclare factum a Phliaſiis, quod quum Pellenenſem quendam hoſpitem ciuitatis ſuae publicum cepiſſent; tametſi rerum omnium inopia premerentur, nihilominus eum ſine pretio dimiſerint. Quis eos, qui talia perpetrant, non viros magnanimos et fortes dixerit?

17. Eoſdem, magna conſtantia, fidem amicis datam non vio-

διέσωζον, περιφανές· οἱ ἐπεὶ εἵροντο τῶν ἐκ τῆς γῆς καρπῶν, ἔζων, τὰ μὲν ἐκ τῆς πολεμίας λαμβάνοντες, τὰ δὲ ἐκ Κορίνθου ὠνούμενοι, διὰ πολλῶν κινδύνων ἐπὶ τὴν ἀγορὰν ἰόντες, χαλεπῶς μὲν τιμὴν πορίζοντες, χαλεπῶς δὲ τοὺς πορίζοντας διαπραττόμενοι, γλίσχρως δ' ἐγγυητὰς καθιστάντων ἀξόντων ὑποζυγίων.

ιή. Ἤδη δὲ παντάπασιν ἀπορούντες, Χάρητα διεπράξαντο σφίσι παραπέμψαι τὴν παραπομπήν. ἐπεὶ δὲ ἐν Φλιοῦντι ἐγένοντο, ἐδεήθησαν αὐτοῦ καὶ τοὺς ἀχρείους συνεκπέμψαι εἰς τὴν Πελλήνην. κἀκείνους μὲν ἐκεῖ κατέλιπον· ἀγοράσαντες δὲ, καὶ ἐπισκευασάμενοι ὁπόσα ἐδύναντο ὑποζύγια, νυκτὸς ἀπῆσαν, οὐκ ἀγνοοῦντες, ὅτι ἐνεδρεύσοιντο ὑπὸ τῶν πολεμίων, ἀλλὰ νομίζοντες χαλεπώτερον εἶναι τοῦ μάχεσθαι, τὸ μὴ ἔχειν τὰ ἐπιτήδεια.

ιθ'. Καὶ προῆσαν μὲν οἱ Φλιάσιοι μετὰ Χάρητος. ἐπεὶ δὲ ἐνέτυχον τοῖς πολεμίοις, εὐθὺς ἔργου τε εἴχοντο, καὶ παρακελευσάμενοι ἀλλήλοις ἐνέκειντο, καὶ ἅμα

lasse, cuiuis est perspicuum. Nam quum prohiberentur, quo minus agri sui fructus perciperent; partim victum ex hostium agro petebant, partim eum Corinthi emebant, quum quidem non sine multis periculis ad forum illud irent, ac difficulter pretii copiam sibi pararent, difficulter inuenirent, qui pretium suppeditarent. Immo vix fideiussores pro iumentis dare poterant, quae commeatum adueherent.

18. Denique summam ad rerum inopiam redacti, a Charete impetrant, vt ab ipso deducerentur. Phliuntem vbi venissent, eundem rogant, vti turbam inutilem secum Pellenen duceret, quam quidem istic reliquerunt. Deinde coemtis necessariis, oneratisque iumentis, quot quidem poterant, noctu discessere: non illi quidem ignorantes futurum, vt ab hoste ipsis insidiae struerentur; sed arbitrati grauius esse rebus necessariis carere, quam dimicare.

19. Itaque vna cum Charete progrediebantur. Quumque incidissent in hostes, mox eos adoriri coeperunt; ac semet cohortati mutuo, tum hostes vrgebant ipsi, tum clamoribus

Charetis

ἅμα Χάρητα ἐπιβοηθεῖν ἐβόων. νίκης δὲ γενομένης, καὶ ἐκβληθέντων ἐκ τῆς ὁδῦ τῶν πολεμίων, ὕτω δὴ οἴκαδε καὶ ἑαυτοὺς, καὶ ἃ ἦγον, ἀπέσωσαν. ὡς δὲ τὴν νύκτα ἠγρύπνησαν, ἐκάθευδον μέχρι πόρρω τῆς ἡμέρας.

κ'. Ἐπεὶ δὲ ἀνέστη ὁ Χάρης, προσελθόντες οἱ ἱππεῖς καὶ οἱ χρησιμώτατοι τῶν πολιτῶν, ἔλεγον, "ὦ Χάρης, ἔξεστί σοι τήμερον κάλλιστον ἔργον διαπράξασθαι. χωρίον γὰρ ἐπὶ τοῖς ὁρίοις ἡμῖν οἱ Σικυώνιοι τειχίζουσιν, οἰκοδόμους μὲν πολλοὺς ἔχοντες, ὁπλίτας δὲ ὀλίγους πάνυ πολλούς. ἡγησόμεθα μὲν οὖν ἡμεῖς οἱ ἱππεῖς καὶ τῶν πολιτῶν οἱ ἐρρωμενέστατοι· σὺ δὲ τὸ ξενικὸν ἔχων ἐὰν ἀκολουθῇς, ἴσως μὲν διαπεπραγμένα σοι καταλήψῃ, ἴσως δὲ ἐπιφανεὶς σὺ, ὥσπερ ἐν Πελλήνῃ, τροπὴν ποιήσεις. εἰ δέ τι δυσχερές σοι ἐστὶν ὧν λέγομεν, ἀνακοίνωσαι τοῖς Θεοῖς θυόμενος. οἰόμεθα γὰρ ἔτι σε μᾶλλον ἡμῶν τοὺς Θεοὺς ταῦτα πράττειν κελεύσειν. τοῦτο δὲ χρὴ, ὦ Χάρης, εὖ εἰδέναι, ὅτι ἐὰν ταῦτα πράξῃς, τοῖς μὲν πολεμίοις

Charetis opem implorabant. Victoria potiti, et hoſte de via reiecto; cum omnibus, quae ſecum vehebant, ſalui domum peruenere. Quia vero ea nocte vigilauerant, multam in lucem vſque dormiebant.

20. Poſteaquam deinde ſurrexiſſet Chares, accedunt ad eum equites, et ciues rebus gerendis maxime idonei, cum his verbis: Hodie tibi, Chares, pulcherrimum facinus patrandi offertur occaſio. Nam Sicyonii caſtellum noſtris in finibus extruunt, et ad eam rem multorum quidem aedificatorum vtuntur opera, paucorum vero militum. Quapropter nos quidem equites, et robuſtiſſimi quique ciues, duces itineris erimus: tu vero ſi cum milite mercenario ſequeris, fortaſſis rem confectam inuenies: fortaſſis hoſtes, ſi quidem te oſtenderis, terga dare coges, vti factum apud Pellenen. Quod ſi quid eſſe difficultatis hac in re putas, quam proponimus, Deos per exta conſulito. Arbitramur enim, Deos magis iuſſuros haec te facere, quam nos. Hoc quidem certe, Chares, ſcire te volumus futurum, vt, hac re patrata, non ſolum munitio-

μίοις ἐπιτετειχικὼς* ἔσῃ, φιλίαν δὲ πόλιν διασεσωκώς. εὐκλεέστατος δὲ ἐν τῇ πατρίδι ἔσῃ, ὀνομαστότατος δὲ καὶ ἐν τοῖς συμμάχοις καὶ πολεμίοις.„

κά. Ο μὲν δὴ Χάρης πειθεὶς, ἐθύετο· τῶν δὲ φλιασίων εὐθὺς μὲν οἱ ἱππεῖς τοὺς θώρακας ἐνεδύοντο, καὶ τοὺς ἵππους ἐχαλίνων, οἱ δὲ ὁπλῖται ὅσα εἰς πεζὸν παρεσκευάζοντο. ἐπεὶ δὲ ἀναλαβόντες τὰ ὅπλα ἐπορεύοντο ἔνθα ἐθύετο, ἀπήντα αὐτοῖς ὁ Χάρης καὶ ὁ μάντις, καὶ ἔλεγον ὅτι καλὰ εἴη τὰ ἱερά. ἀλλὰ περιμένετε, ἔφασαν· ἤδη γὰρ καὶ ἡμεῖς ἕξιμεν. ὡς δὲ τάχιστα ἐκηρύχθη, θείᾳ τινὶ προθυμίᾳ καὶ οἱ μισθοφόροι ταχὺ ἐξέδραμον.

κβ'. Ἐπεὶ δὲ Χάρης ἤρξατο πορεύεσθαι, προήεσαν αὐτῷ οἱ τῶν φλιασίων ἱππεῖς καὶ πεζοί· καὶ τὸ μὲν πρῶτον ταχέως ἠγοῦντο, ἔπειτα δὲ ἐτρόχαζον· τέλος δὲ οἱ μὲν ἱππεῖς ἤλαυνον, οἱ δὲ πεζοὶ κατὰ κράτος ἔθεον ὡς δυνατὸν ἐν τάξει, οἷς καὶ ὁ Χάρης σπενδῃ

nem hoſtibus ipſe obieceris; ſed etiam oppidum amicitia coniunctum incolume ſerues. Praeterea clariſſimum in patria nomen conſequeris, et tam apud hoſtes quam ſocios eris celeberrimus.

21. Hac oratione permotus Chares, rem ſacram faciebat. Interim Phliaſiorum equites confeſtim loricas induebant, et fraenabant equos; graui armatura parante omnia, quae peditibus eſſent neceſſaria. Poſteaquam, ſumtis armis, eum ad locum pergerent, vbi Chares exta conſulebat: occurrit eis cum hariolo Chares, et vterque perlitatum aiebat. Ac vos quidem, inquiunt, expectate parumper, dum nos quoque vobiſcum exeamus. Re celerrime denuntiata, diuina quadam alacritate animorum etiam ſtipendiarii milites excurrebant.

22. Poſteaquam proficiſcendi Chares initium feciſſet, praecedebant equites peditesque Phliaſiorum: qui primo quidem celeriter eos ducebant, deinde curſitabant; tandem equites toris viribus prouehebantur, ac pedites currebant, vti quidem poterant, non perturbatis ordinibus: Sequebatur hos

* Al. ἐπιτετυχηκὼς.

σπουδῇ ἐπηκολούθει. ἦν μὲν ἄρ τῆς ὥρας μικρὸν πρὸ δύντος ἡλίου. κατελάμβανον δὲ τοὺς ἐν τῷ τείχει πολεμίους, τοὺς μὲν, λουομένους, τοὺς δ', ὀψοποιουμένους, τοὺς δὲ, φυρομένας, τοὺς δὲ, σιβάδας ποιουμένους.

κγ'. Ὡς δ' εἶδον τὴν σφοδρότητα τῆς ἐφόδου, εὐθὺς ἐκπλαγέντες ἔφυγον, καταλιπόντες τοῖς ἀγαθοῖς ἀνδράσι πάντα τὰ ἐπιτήδεια. κἀκεῖνοι μὲν ταῦτα δειπνήσαντες, καὶ οἴκοθεν ἄλλα ἐλθόντα, ὡς ἐπ' εὐτυχίᾳ σπείσαντες, καὶ παιανίσαντες, καὶ φυλακὰς κατασκευασάμενοι, κατέδαρθον. οἱ δὲ Κορίνθιοι, ἀφικομένου τῆς νυκτὸς ἀγγέλου περὶ τῆς Θυαμίας, μάλα φιλικῶς κηρύξαντες τὰ ζεύγη καὶ τὰ ὑποζύγια πάντα, καὶ σίτου γεμίσαντες, εἰς τὸν Φλιοῦντα παρήγαγον· καὶ ἕως περιετειχίζετο τὸ τεῖχος, ἑκάστης ἡμέρας παραπομπαὶ ἐγίνοντο.

ΚΕΦ.

hos Chares properanter. Et fiebant haec paullo ante ſolem occidentem. Itaque hoſtes in caſtello reperiunt partim ſe lavantes, partim parantes obſonia, partim panes, nonnullis etiam lectos ſternentibus.

23. Hi quum Phliaſios vehementi cum impetu irruere viderent, mox perterriti fugiunt, ac viris fortibus commeatum omnem relinquunt. Quapropter illi tum iis veſcuntur, tum aliis, quae allata domo fuerant: factaque ob rem proſpere geſtam libatione, ac paeane abſoluto, conſtitutis excubiis, dant ſe quieti. Corinthii noctu de Thyamia certiores facti, perhumaniter iuſſis per praeconem colligi vehiculis ac iumentis omnibus, iiſque frumento oneratis; Phliuntem ea deducunt: et quam quidem diu circumdatum munitionibus hoſtium erat oppidum, quotidie commeatum eo deducentibus ſuis mittebant.

ΚΕΦ. γ'.

Περὶ μὲν δὴ Φλιασίων, ὡς καὶ πιστοὶ τοῖς φίλοις ἐγένοντο, καὶ ἄλκιμοι διετέλεσαν ἐν τῷ πολέμῳ, καὶ ὡς πάντων σπανίζοντες ἐν τῇ συμμαχίᾳ διέμενον, εἴρηται. σχεδὸν δέ τοι περὶ τοῦτον τὸν χρόνον Αἰνέας Στυμφάλιος, γεγενημένος στρατηγὸς τῶν Ἀρκάδων, νομίσας οὐκ ἀνεκτῶς ἔχειν τὰ ἐν τῷ Σικυῶνι, ἀναβὰς σὺν τῷ ἑαυτοῦ στρατεύματι εἰς τὴν ἀκρόπολιν, συγκαλεῖ τῶν Σικυωνίων τῶν τε ἔνδον ὄντων τοὺς κρατίστους, καὶ τοὺς ἄνευ δόγματος ἐκπεπλωκότας μετεπέμπετο.

β'. Φοβηθεὶς δὲ ταῦτα ὁ Εὔφρων, καταφεύγει εἰς τὸν λιμένα τῶν Σικυωνίων, καὶ μεταπεμψάμενος Πασίμηλον ἐκ Κορίνθου, διὰ τοῦτο παραδίδωσι τὸν λιμένα τοῖς Λακεδαιμονίοις· καὶ ἐν ταύτῃ αὖ τῇ συμμαχίᾳ ἀνεστρέφετο, λέγων ὡς Λακεδαιμονίοις διατελοίη πιστὸς ὤν. ὅτε γὰρ ψῆφος ἐδίδοτο ἐν τῇ πόλει, εἰ δοκοίη ἀφίστασθαι, μετ' ὀλίγων ἀποψηφίσασθαι ἔφη.

γ'. Επει-

CAP. III.

Atque hactenus de Phliasiis, quod foederatorum in fide perstiterint, toto illo bello fortiter se gesserint, denique rerum omnium inopia pressi, nihilominus in societate permanserint, diximus. Caeterum hoc fere tempore Aeneas Stymphalius, Arcadum praetor, quum, quae Sicyone fierent, minime toleranda duceret; cum copiis in arcem ascendens, conuocabat praestantissimos quosque Sicyoniorum, qui in vrbe erant, itemque sine decreto publico proscriptos arcessebat.

2. Ea re perterritus Euphron, in portum Sicyoniorum se conferebat, ac Pasimelum Corintho ad se euocans, per eum Lacedaemoniis portum tradebat, rursumque ad societatem illorum redibat, ac se Lacedaemoniorum in fide perstitisse profitebatur. Nam quo tempore per suffragia quaesitum Sicyone fuisset, num ab eorum fide discedendum esset: cum paucis se, id minime faciendum, censuisse aiebat.

3. Postea

γ'. Επειτα δὲ τὺς προδόντας ἑαυτὸν τιμωρήσασθαι βυλόμενος, δῆμον κατασῆσαι. καὶ νῦν, ἔφη, φεύγυσιν ὑπ' ἐμοῦ πάντες οἱ ὑμᾶς προδιδόντες. εἰ μὲν οὖν ἐδυνάσθην ἐγὼ, ὅλην ἂν ἔχων τὴν πόλιν πρὸς ὑμᾶς ἀπέσην· νῦν δὲ ὃ ἐγκρατὴς ἐγενόμην, τὸν λιμένα παραδέδωκα ὑμῖν. ἠκροῶντο μὲν δὴ αὐτοῦ πολλοὶ ταῦτα· ὁπόσοι δὲ ἐπείθοντο, ὃ πάνυ κατάδηλον.

δ'. Αλλὰ γὰρ ἐπείπερ ἠρξάμην, διατελέσαι βύλομαι τὰ περὶ τοῦ Εὐφρονος. στασιασάντων γὰρ ἐν τῷ Σικυῶνι τῶν τε βελτίστων καὶ τοῦ δήμου, λαβὼν ὁ Εὔφρων Αθήνηθεν ξενικὸν, πάλιν κατέρχεται. καὶ τοῦ μὲν ἄστεος ἐκράτει σὺν τῷ δήμῳ. Θηβαίοις δὲ ἀρμοστοῦ τὴν ἀκρόπολιν ἔχοντος, ἐπεὶ ἔγνω ὅτι οὐκ ἂν δυνάμενος, τῶν Θηβαίων ἐχόντων τὴν ἀκρόπολιν, τῆς πόλεως κρατεῖν, συσκευασάμενος χρήματα, ὥχετο, ὡς τούτοις πείσων Θηβαίους ἐκβάλλειν μὲν τοὺς κρατίστους, παραδοῦναι δ' αὐτῷ πάλιν τὴν πόλιν.

ε'. Αἰσθόμενοι δὲ οἱ πρόσθεν φυγάδες τὴν ὁδὸν αὐτοῦ, καὶ

3. Poſtea quum in eos, a quibus proditus fuerat, animadvertere voluiſſet: popularem ſe ſtatum conſtituiſſe dicebat. Adeoque nunc, inquit, omnes illi, qui vos Lacedaemonios deſeruere, per me adhuc exulant. Quapropter ſi mea id fuiſſet in poteſtate, vniuerſa cum vrbe ad vos defeciſſem. Nunc quem occupaui portum, vobis tradidi. Audiebant haec ex eo complures, ſed quam multi fidem ei haberent, non admodum patet.

4. Quia vero mentionem eorum, quae Euphron deſignavit, facere coepi: quae reſtant, continuare lubet. Quum Sicyone diſſiderent inter ſe optimates ac populus, Euphron ſecum Athenis ducto mercenario milite, in patriam rediit. Itaque vrbem, vna cum populo ſua in poteſtate habebat; praefectus vero Thebanus, arcem. Quum autem intelligeret, non poſſe ſe, quamdiu a Thebanis arx teneretur, vrbem ſua in poteſtate retinere: coacta pecunia, Thebas profectus eſt, per eas Thebanis perſuaſurus, vt, optimatibus eiectis, vrbem ſibi reſtituerent.

5. Verum ii, qui prius acti ab eo fuerant in exilium, cogni-

καὶ τὴν παρασκευὴν, ἀντεπορεύοντο εἰς τὰς Θήβας. ὡς δὲ ἑώρων αὐτὸν οἰκείως τοῖς ἄρχουσι συνόντα, φοβηθέντες μή πως διαπράξαιτο ἃ βούλεται, παρεκινδύνευσάν τινες, καὶ ἀποσφάτλουσιν αὐτὸν ἐν τῇ ἀκροπόλει, τῶν τε ἀρχόντων καὶ τῆς βουλῆς συγκαθημένων. οἱ μέντοι ἄρχοντες τοὺς ποιήσαντας εἰσήγαγον εἰς τὴν βουλὴν, καὶ ἔλεγον τάδε·

ς'. "Ανδρες πολῖται, ἡμεῖς τουτουσὶ τοὺς Εὐφρονα ἀποκτείναντας διώκομεν περὶ θανάτου, ὁρῶντες ὅτι οἱ μὲν σώφρονες οὐδὲν δήπου ἄδικον οὐδὲ ἀνόσιον ποιοῦσιν· οἱ δὲ πονηροὶ ποιοῦσι μὲν, λανθάνειν δὲ ὅμως πειρῶνται. οὗτοι δὲ τοσοῦτον πάντας ἀνθρώπους ὑπερβεβλήκασι τόλμῃ τε καὶ μιαρίᾳ, ὥστε παρ' αὐτάς τε τὰς ἀρχὰς, καὶ παρ' αὐτοὺς ὑμᾶς, τοὺς κυρίους ὄντινας δεῖ ἀποθνήσκειν, καὶ ὄντινας μὴ, αὐτογνωμονήσαντες, ἀπέκτειναν τὸν ἄνδρα. εἰ οὖν οὗτοι μὴ δώσουσι τὴν ἐσχάτην δίκην, τίς ποτε πρὸς τὴν πόλιν θαρσῶν πορεύσεται; τί δὲ εἴσεται ἡ πόλις, εἰ ἐξέσται τῷ βουλομένῳ ἀποκτεῖναι πρὶν δηλῶσαι, ὅτου ἕνεκα ἥκοι ἕκαστος; ἡμεῖς μὲν

to ipſius itinere ac inſtituto; et ipſi Thebas aduerſus eum profecti ſunt. Quumque familiariter eum cum magiſtratibus verſari viderent, veriti ne, quae vellet, impetraret: adito quidam ex eis periculo, in arce hominem iugulant, quo tempore iſtic Thebani magiſtratus et ſenatus conſidebant. Mox illi, qui erant in magiſtratu, ad ſenatum caedis auctores introducunt, eumque verbis hiſce compellant:

6. Viros hoſce, ciues, qui Euphronem interemere, capitis arceſſimus. Videmus enim, modeſtos homines nihil nec iniuſtae nec impiae rei deſignare: quum improbi flagitioſe quidem illi agere ſoleant; verum id nihilominus clam eſſe cupiant. At hi tantum omnes homines audacia ſcelereque ſuperarunt, vt haud procul a magiſtratibus, et vobis ipſis, penes quos morte multandi, vel abſolvendi poteſtas ſumma eſt, arbitratu proprio hunc occiderint. Quamobrem ſi extremo hi ſupplicio non afficientur, quis in vrbem venire audebit? quid cognoſcet ciuitas, ſi cuiuis licebit occidere, priuſquam ſignificarit, quamobrem huc quiſque veniat? At nos iſtos reos

agimus,

μὲν τύτυς διώκομεν ὡς ἀνοσιωτάτυς, καὶ ἀνομωτάτυς, καὶ πλεῖσον δὴ ὑπεριδόντας τῆς πόλεως. ὑμεῖς δὲ ἀκηκοότες, ὁποίας τινὸς ὑμῖν δοκῦσιν ἄξιοι εἶναι δίκης, ταύτην αὐτοῖς ἐπίθετε.„

ζ'. Οἱ μὲν ἄρχοντες τοιαῦτα εἶπον· τῶν δὲ ἀποκλεινάντων οἱ μὲν ἄλλοι ἠρνῦντο μὴ αὐτόχειρες γενέσθαι· εἷς δὲ ὡμολογήκει, καὶ τῆς ἀπολογίας ὧδέ πως ἦρχετο· "Αλλ' ὑπερορᾶν μὲν, ὦ Θηβαῖοι, ὃ δυνατὸν ὑμῶν ἀνδρὶ, ὃς εἰδείη κυρίως μὲν ὄνλας ὅ, τι βύλεσθε αὐτῷ χρῆσθαι. τίνι μέντοι πιστεύων ἐνθάδε ἀπέκλεινα τὸν ἄνδρα, εὖ ἴστε· ὅτι πρῶτον μὲν, τῷ νομίζειν δίκαια ποιεῖν· ἔπειτα δὲ, τῷ ὑμᾶς ὀρθῶς γνώσεσθαι. ἤδειν γὰρ, ὅτι καὶ ὑμεῖς τὺς περὶ Αρχίαν καὶ Υπάτην, ὃς ἐλάβετε Εὔφρονι ὅμοια πεποιηκότας, ὃ ψῆφον ἀνεμείνατε, ἀλλὰ ὁπότε πρῶτον ἐδυνάσθητε, ἐτιμωρήσασθε, νομίζοντες, τῶν τε περιφανῶς ἀνοσίων, καὶ τῶν φανερῶς προδοτῶν, καὶ τυραννεῖν ἐπιχειρύντων, ὑπὸ πάντων ἀνθρώπων θάνατον κατεγνῶσθαι.

Οὐκῦν

agimus, vt improbiſſimos ac facinoroſiſſimos homines, quique inſigniter rempublicam hanc contemſerint. Vos re cognita, quo digni eſſe ſupplicio videbuntur, hoc eos afficite.

7. Huiuſmodi magiſtratuum erat oratio. Caeterum reliqui percuſſores ſe patraſſe caedem hanc negabant, vno excepto, qui rem ingenue fatebatur, ſeque hoc quodam modo purgare incipiebat. Vos vero, Thebani, non poteſt is contemnere, qui non ignorat, poſſe vos ſecum arbitratu veſtro agere. Quo autem iure fretus hunc hominem heic occiderim, dicam: Primum eam ob cauſſam id feciſſe me ſcitote, quod exiſtimarem a me fieri iuſtiſſime. Deinde, vt vos recte de cauſſa cognoſceretis. Sciebam enim, vos, quum Archias et Hypates iis ſimilia ſua cum factione patrarent, quae deſignauit Euphron; non expectaſſe iudicii calculum, ſed quam primum fieri potuit, poenas de eis ſumſiſſe. Nam ſtatuebatis, eos, qui palam eſſent impii, palam proditores, ac tyrannidis vſurpatores, ab omnibus hominibus iam capitis damnatos eſſe.

Ac

Οὐκοῦν καὶ Εὔφρων ἔνοχος πᾶσι τούτοις ἦν. παραλαβὼν μὲν γὰρ τὰ ἱερὰ μετὰ καὶ χρυσῶν τούτων καὶ ἀργυρῶν ἀναθημάτων, κενὰ πάντων ἀπέδειξε. προδότης γεμὴν τίς ἂν περιφανέστερος Εὔφρονος εἴη; ὃς Φιλαίταλος μὲν ὢν Λακεδαιμονίοις, ὑμᾶς εἵλετο ἀντ' ἐκείνων· πιστὰ δὲ δοὺς καὶ λαβὼν παρ' ὑμῶν, πάλιν προὔδωκεν ὑμᾶς, καὶ παρέδωκε τοῖς ἐναντίοις τὸν λιμένα. καὶ μὴν πῶς οὐκ ἀπροφασίστως τύραννος ἦν, ὃς δούλους οὐ μόνον ἐλευθέρους, ἀλλὰ καὶ πολίτας ἐποίει; ἀπεκλίννυε δὲ, καὶ ἐφυγάδευε, καὶ χρήματα ἀφῃρεῖτο οὐ τοὺς ἀδικοῦντας, ἀλλ' οὓς αὐτῷ ἐδόκει. ἄτοι δὴ ἦσαν οἱ βέλτιστοι.

Αὖθις δὲ μετὰ τῶν ἐναντιωτάτων ὑμῖν Ἀθηναίων κατελθὼν εἰς τὴν πόλιν, ἐναντία μὲν ἔθετο τῷ παρ' ὑμῶν ἁρμοσῇ τὰ ὅπλα. ἐπεὶ δ' ἐκεῖνον οὐκ ἐδυνάσθη ἐκ τῆς πόλεως ἐκβαλεῖν, συσκευασάμενος χρήματα, δεῦρο ἀφίκετο. καὶ εἰ μὲν ὅπλα ἠθροικὼς ἐφάνη ἐφ' ὑμᾶς, καὶ χάριν ἄν μοι εἴχετε, εἰ ἀπέκτεινα αὐτόν. ὃς δὲ χρήματα ἦλθε παρασκευασάμενος, ὡς τούτοις ὑμᾶς διαφθερῶν, καὶ πείσων, πάλιν κύριον αὐτὸν ποιῆσαι τῆς πόλεως, τούτῳ ἐγὼ τὴν

Ac Euphron quidem certe horum omnium reus erat. Nam quum templa reperiſſet ornata donariis aureis ac argenteis, omnibus his ea ſpoliauit. Proditor vero quis manifeſtior fuit Euphrone? qui quum Lacedaemoniis amiciſſimus eſſet, vos illis praetulit. Idem data et accepta a vobis fide, rurſum vos deſeruit, ac portum veſtris aduerſariis tradidit. Et qui non citra excuſationem omnem tyrannus erat, qui ſeruos non modo libertate, ſed etiam ciuitate donabat? Idem interficiebat, agebat in exilium, facultatibus ſpoliabat non iniuſtum aliquid deſignantes, ſed quos ei collubitum erat, in quibus erant optimates.

Praeterea nobis inſeſtiſſimorum Athenienſium ope recuperata ciuitate, praefecto veſtro arma intulit. Quum autem eum vrbe non poſſet eiicere, coactis pecuniis huc venit. Quod ſi palam aduerſus vos armatos collegiſſet, etiam mihi gratiam haberetis, quod eum interfeciſſem. Nunc quum pecunias paratas attulerit, quibus vos corrumperet, ac permoueret, vt rurſus eum Sicyone rerum ſummae praeficeretis: quonam pacto iu-

re

τὴν δίκην ἐπιθεὶς, πῶς ἂν δικαίως ὑφ' ὑμῶν ἀποθάνοιμι; καὶ γὰρ οἱ μὲν ὅπλοις βιαθέντες, βλάπτονται μὲν, ὅ μέντοι ἄδικοί γε ἀναφαίνονται· οἱ δὲ χρήμασι παρὰ τὸ δίκαιον διαφθαρέντες, ἅμα μὲν βλάπτονται, ἅμα δὲ αἰσχύνῃ περιπίπτουσιν.

Εἰ μὲν τοίνυν ἐμοὶ μὲν πολέμιος ἦν, ὑμῖν δὲ φίλος, κἀγὼ ὁμολογῶ μὴ καλῶς ἂν μοι ἔχειν τοῦτον παρ' ὑμῖν ἀποκτεῖναι· ὁ δὲ ὑμᾶς προδιδοὺς, τί ἐμοὶ πολεμιώτερος ἦν, ἢ ὑμῖν; ἀλλὰ νὴ Δία, εἴποι τις ἂν, ἑκὼν ἦλθε. κἄτα, εἰ μὲν ἀπεχόμενον τῆς πόλεως ὑμῶν ἀπέκτεινέ τις αὐτὸν, ἐπαίνου ἂν ἐτύγχανε· νῦν δὲ ὅτι πάλιν ἦλθεν ἄλλα πρὸς τοῖς πρόσθεν κακὰ ποιήσων, ὅ δικαίως φησί τις αὐτὸν τεθνάναι; πῶ ἔχων Ελλησι σπονδὰς ἀποδείξαι ἢ προδόταις, ἢ πάλιν αὐτομόλοις, ἢ τυράννοις;

Πρὸς δὲ τούτοις ἀναμνήσθητε, ὅτι καὶ ἐψηφίσασθε δήπου, τοὺς φυγάδας ἀγωγίμους εἶναι ἐκ πασῶν τῶν συμμαχίδων. ὅστις δὲ ἄνευ κοινῆ τῶν συμμαχίδων δόγματος κατέρ-

re a vobis interficiar, qui talem hunc ſupplicio affeci? Qui armis coacti ſunt, laeduntur illi quidem, non tamen eſſe iniuſti videri poſſunt. At qui pecuniis praeter ius et aequum ſunt corrupti, ſimul laeduntur, ſimul turpitudine grauantur.

Iam ſi mihi quidem hoſtis, vobis autem amicus erat: fateor ipſe, factum a me eſſe improbe, quod apud vos eum interfecerim. At qui vos deſeruerat, quo pacto magis mihi, quam vobis, hoſtis erat? Fortaſſe quis profecto dixerit: At ſponte ſua huc venit. Ergo ſi quis eum extra vrbem veſtram occidiſſet, laudem reperiſſet: nunc quum reuerſus eſſet, facinora priora cumulaturus aliis, non iure caeſus dicetur? Vnde poteſt is, qui hoc ait, demonſtrare, proditores, transfugas, tyrannos, publicis apud Graecos foederibus contineri?

Praeterea velim vobis in mentem reuocetis, decretum a vobis factum eſſe, quo conceditis, exules comprehenſos ex omnibus ſociis vrbibus abduci ius eſſe. Iam qui, quum exul eſſet, ſine communi ſociarum ciuitatum decreto in patriam reuerſus

ſit;

κατέρχηται φυγὰς, τοῦτον ἔχοι τις ἂν εἰπεῖν ὅπως ὐ δίκαιόν ἐστιν ἀποθνήσκειν; ἐγώ φημι, ὦ ἄνδρες, ἀποκ]είναντας μὲν ὑμᾶς ἐμὲ, τετιμωρηκότας ἔσεσθαι ἀνδρὶ τῷ πάντων ὑμῖν πολεμιωτάτῳ· γνόν]ας δὲ δίκαια πεποιηκέναι, αὐτὸς τετιμωρηκότας φανεῖσθαι ὑπέρ τε ὑμῶν αὐτῶν καὶ ὑπὲρ τῶν συμμάχων ἁπάντων.„

η'. Οἱ μὲν δὴ Θηβαῖοι, ταῦτα ἀκούσαντες, ἔγνωσαν δίκαια τὸν Εὔφρονα πεπονθέναι. οἱ μέντοι πολῖται αὐτὸν ὡς ἄνδρα ἀγαθὸν κομισάμενοι, ἔθαψάν τε ἐν τῇ ἀγορᾷ, καὶ ὡς ἀρχηγέτην τῆς πόλεως σέβονται. ὅτως, ὡς ἔοικεν, οἱ πλεῖστοι ὁρίζονται τοὺς εὐεργέτας αὐτῶν, ἄνδρας ἀγαθοὺς εἶναι.

ΚΕΦ. δ'.

Καὶ τὰ μὲν περὶ Εὔφρονος εἴρηται. ἐγὼ δὲ ἔνθεν εἰς ταῦτα ἐξέβην, ἐπάνειμι. ἔτι γὰρ τειχιζόντων τῶν Φλιασίων τὴν Θυαμίαν, καὶ τοῦ Χάρητος ἔτι παρόντος, ὁ Ὠρωπὸς ὑπὸ τῶν Φευγόντων κατελήφθη. στ]ευσαμένων δὲ πάντων Ἀθηναίων ἐπ' αὐτὸν, καὶ τὸν Χάρητα μεταπεμψαμένων ἐκ τῆς Θυαμίας, ὁ μὲν λιμὴν αὖ ὁ τῶν Σικυωνίων

fit; eumne quiſquam iniuſte caeſum dicere poſſit? Equidem vos aio, Thebani, ſi me occideritis, vlturos vicem eius, qui vobis infeſtiſſimus fuerit: Sin me iuſte feciſſe iudicaueritis, vlti videbimini non vos ſolum, ſed etiam ſocios veſtros vniuerſos.

8. His auditis, Thebani iuſte caeſum Euphronem pronuntiarunt. Verum ciues ipſius eum, vt virum bonum, Sicyonem allatum in foro ſepelierunt, ac vt patronum vrbis venerantur. Hoc modo magna pars hominum, vti quidem videtur, eos viros bonos eſſe ſtatuit, qui bene ſint de ipſis promeriti.

CAP. IV.

Atque haetenus de Euphrone diximus. Quapropter vnde digreſſus ſum, redeo. Nam interea, dum Thyamiam Phliaſii muniunt, praeſente adhuc Charete, Oropus ab exulibus occupatus eſt. Huc Athenienſes quum copias vniuerſas deduxiſſent, et Charetem quoque reuocaſſent; rurſum portus Sicyoniorum a ciuibus et

Arcadibus

νίων πάλιν ὑπ' αὐτῶν τε τῶν πολιτῶν καὶ τῶν Ἀρκάδων ἀλίσκεται. τοῖς δ' Ἀθηναίοις ὀδὲις τῶν συμμάχων ἐβοήθησεν, ἀλλ' ἀνεχώρησαν, Θηβαίοις παρακαταθέμενοι τὸν Ὠρωπὸν, μέχρι δίκης.

β'. Καταμαθὼν δὲ ὁ Λυκομήδης μεμφομένους τὰς Ἀθηναίους τοῖς συμμάχοις, ὅτι αὐτοὶ μὲν πολλὰ πράγματα εἶχον δι' ἐκείνους, ἀντεβοήθησε δ' αὐτοῖς ὀδείς, πείθει τὰς μυρίας πράττειν περὶ συμμαχίας πρὸς αὐτούς. τὸ μὲν ὂν πρῶτον ἐδυσχέραινόν τινες τῶν Ἀθηναίων, τὸ Λακεδαιμονίοις ὄντας φίλους, γενέσθαι τοῖς ἐναντίοις αὐτῶν συμμάχους. ἐπεὶ δὲ λογιζόμενοι εὗρισκον ὀδὲν μεῖον Λακεδαιμονίοις, ἢ σφίσιν ἀγαθὸν, τὸ Ἀρκάδας μὴ προσδεῖσθαι Θηβαίων, ὕτω δὴ προσεδέχοντο τὴν τῶν Ἀρκάδων συμμαχίαν.

γ'. Καὶ Λυκομήδης ταῦτα πράξας, ἀπιὼν Ἀθήνηθεν, δαιμονιώτατα ἀπεθνήσκει. ὄντων γὰρ παμπόλλων πλοίων, ἐκλεξάμενος τούτων ὃ ἐβούλετο, καὶ συνθέμενος τοίνυν ἀποβιβάσαι, ὅποι αὐτὸς κελεύοι, εἵλετο ἐν-

ταῦθα

Arcadibus capitur. Nemo ſociorum ſuppetias Athenienſibus id temporis tulit, ſed diſceſſere; Oropo Thebanorum fidei credito, donec de cauſſa cognoſceretur.

2. Quumque Lycomedes animaduerteret, Athenienſes queri de ſociis, quod quum ipſis illorum cauſſa multum negotii faceſſeretur, nemo tamen viciſſim eis opem ferret: decies millibus auctor eſſe coepit, vt de ſocietate cum illis agerent. Ac primo quidem difficile factu quibuſdam Athenienſibus videbatur, quod, quum Lacedaemoniorum eſſent in foedere, aduerſariis ipſorum adiungere ſe deberent. Verum poſtea quam ratiocinando comperere, nihilo minus ex re Lacedaemoniorum eſſe, quam ſua, Thebanorum auxiliis Arcades non egere; tandem ſocietatem cum Arcadibus inierunt.

3. Eius auctor rei Lycomedes, Athenis diſcedens, feliciſſime diem ſuum obit. Nam quum nauigia complura eſſent, electo de his, quod ipſi placuiſſet, pactoque inito, vt vbi vellet ipſe, exponeretur: iſtic

e naui

ταῦθα ἐκβῆναι, ἔνθα οἱ φυγάδες ἐτύγχανον ὄντες. καὶ-κεῖνος μὲν ἅτως ἀποθνήσκει. ἡ μέντοι συμμαχία ὄντως ἐπεραίνετο.

δ'. Εἰπόντος δὲ Δημοτίωνος ἐν τῷ δήμῳ τῶν Αθηναίων, ὡς ἡ μὲν πρὸς τὰς Αρκάδας φιλία καλῶς αὐτῷ δοκοίη πράτ]εσθαι, τοῖς μέντοι στρατηγοῖς προστάξαι ἔφη χρῆναι, ὅπως καὶ ἡ Κόρινθος σῶα ἢ τῷ δήμῳ τῶν Αθηναίων· ἀκύσαντες ταῦτα οἱ Κορίνθιοι, πέμψαντες ταχὺ ἱκανὰς φυλακὰς ἑαυτῶν πάντοσε, ὅπως ἐφυλάξαν Αθηναῖοι, εἶπον αὐτοῖς ἀπιέναι, ὡς ἀδὲν ἔτι δεόμενοι φυλακῶν. οἱ δ' ἐπείθοντο. ὡς δὲ συνῆλθον οἱ ἐκ τῶν φυλακίων Αθηναῖοι εἰς τὴν πόλιν, ἐκήρυξαν οἱ Κορίνθιοι, εἴ τις ἀδικοῖτο Αθηναίων, ἀπογράφεσθαι, ὡς λημψομένους τὰ δίκαια.

ε'. Οὕτω δὲ τούτων ἐχόντων, Χάρης ἀφικνεῖται μετὰ τῆς ναυτικῆς πρὸς τὰς Κεγχρέας. ἐπεὶ δ' ἔγνω τὰ πεπραγμένα, ἔλεξεν, ὅτι ἀκύσας ἐπιβουλεύεσθαι τῇ πόλει, βοηθῶν παρείη. οἱ δ' ἐπαινέσαντες αὐτὸν, ἀδέν τι μᾶλλον ἐδέχοντο τὰς ναῦς εἰς τὸν λιμένα,

e naui maluit egredi, vbi tum forte exules erant, atque hoc modo extinctus est. Reapse tamen haec societas inita fuit.

4. Quum autem ad populum Athenienſem Demotion verba faceret, videri ſibi recte cum Arcadibus contractam amicitiam, verum dandam eſſe operam, vt et Corinthus Athenienſium populo ſalua eſſet: poſteaquam id inaudiiſſent Corinthii, celeriter miſſis hinc inde ſatis magnis praeſidiis, vbicunque in excubiis Athenienſes erant, eos abire iuſſerunt, quod iam non amplius opera praeſidiariorum egerent. Parebant in hoc illi, quumque de caſtellis in vrbem confluxiſſent; edixere per praeconem Corinthii, ſi quis Athenienſis de iniuria ſibi facta queri vellet, is vti nomen ſuum profiteretur: nec enim ius ei denegatum iri.

5. Atque hoc rerum ſtatu Chares cum claſſe Cenchreas appulit. Quumque quid actum eſſet, comperiſſet; adeſſe ſe dixit auxilii cauſſa, quod Corintho inſidias ſtrui accepiſſet. Illi collaudata ipſius voluntate, non tamen in portum naues admiſere; ſed vti

cum

μένα, ἀλλ' ἀποπλεῖν ἐκέλευον· καὶ τοὺς ὁπλίτας καὶ τὰ δίκαια ποιήσαντες ἀπέπεμψαν. ἐκ μὲν δὴ τῆς Κορίνθου οἱ Ἀθηναῖοι ὕστως ἀπηλλάγησαν.

ς'. Τοῖς μέντοι Ἀρκάσιν ἠναγκάζοντο πέμπειν τοὺς ἱππέας ἐπικούρους, διὰ τὴν συμμαχίαν, εἴ τις στρατεύοιτο ἐπὶ τὴν Ἀρκαδίαν. τῆς δὲ Λακωνικῆς οὐκ ἐπέβαινον ἐπὶ πολέμῳ. τοῖς δὲ Κορινθίοις ἐνθυμουμένοις, ὡς χαλεπῶς ἔχοι αὐτοὺς σωθῆναι, κεκρατημένους μὲν καὶ πρόσθεν κατὰ γῆν, προσγεγενημένων δὲ αὐτοῖς Ἀθηναίων ἀνεπιτηδείων, ἔδοξεν ἀθροίζειν καὶ πεζοὺς καὶ ἱππέας μισθοφόρους. ἡγούμενοι δὲ τούτων, ἅμα μὲν τὴν πόλιν ἐφύλαττον, ἅμα δὲ τοὺς πολεμίους κακῶς ἐποίουν.

ζ'. Εἰς μέντοι Θήβας ἔπεμψαν ἐπερησομένους, εἰ τύχοιεν ἂν εἰρήνης ἐλθόντες. ἐπεὶ δὲ οἱ Θηβαῖοι ἰέναι ἐκέλευον, ὡς *ἐσομένης, ἐδεήθησαν οἱ Κορίνθιοι ἐᾶσαι σφᾶς ἐλθεῖν καὶ ἐπὶ τοὺς συμμάχους, ὡς μετὰ μὲν τῶν βουλομένων ποιησόμενοι τὴν εἰρήνην, τοὺς τε πόλεμον αἱρη-

cum eis diſcederet, hortabantur. Itidem milites Athenienſes, poſteaquam ſatis eis factum eſſet, dimiſerunt. Hoc modo Athenienſes Corintho diſceſſerunt.

6. Vt autem auxiliares equitum copias Arcadibus mitterent, tenebantur ex cauſa foederis, ſi quis Arcadiae bellum intuliſſet: neque tamen agrum Laconicum, inferendi belli cauſa, invadebant. Caeterum Corinthiis, qui ſecum ipſi perpenderent, difficulter ſe ſaluos eſſe poſſe, qui iam ante terra premerentur, ac iam nouos aduerſarios Athenienſes nacti eſſent, viſum eſt, cogendas eſſe ſtipendiarias equitum peditumque copias. His quum ipſimet praeeſſent, eadem opera ciuitatem ſuam praeſidio muniebant, et hoſtes ſuos vexabant.

7. Praeterea Thebas mittunt interrogatum, pacemne poſſent impetrare, ſi eo veniſſent. Quumque venire Thebani eos iuberent, quod impetraturi pacem eſſent: orabant Corinthii, prius vti conueniundi ſocios poteſtatem ſibi facerent. Nam cupere ſe vna cum iis pacem facere, qui eam expoſcerent: permiſſuros, vt illi bellum gererent, qui paci bellum

* Al. ἰσομένων.

αἱρησομένους ἐάσοντες πολεμεῖν. ἐφέντων δὲ καὶ ταῦτα πράττειν τῶν Θηβαίων, ἐλθόντες εἰς Λακεδαίμονα οἱ Κορίνθιοι εἶπον·

η'. "Ημεῖς, ὦ ἄνδρες Λακεδαιμόνιοι, πρὸς ὑμᾶς πάρεσμεν, ὑμέτεροι φίλοι· καὶ ἀξιοῦμεν, εἰ μέν τινα ὁρᾶτε σωτηρίαν ὑμῖν, ἐὰν διαπαρτερῶμεν πολεμοῦντες, διδάξαι καὶ ἡμᾶς· εἰ δὲ ἀπόρως γιγνώσκετε ἔχοντα τὰ ὑμέτερα, εἰ μὲν καὶ ὑμῖν συμφέρει, ποιήσασθαι μεθ' ἡμῶν τὴν εἰρήνην· (ὡς οὐδὲ μετ' οὐδένων ἂν ἥδιον, ἢ μεθ' ὑμῶν σωθείημεν) εἰ μέντοι ὑμεῖς λογίζεσθε συμφέρειν ὑμῖν πολεμεῖν, δεόμεθα ὑμῶν ἐᾶσαι ἡμᾶς εἰρήνην ποιήσασθαι. σωθέντες μὲν γὰρ, ἴσως ἂν αὖθις ἔτι ποτὲ ἐν καιρῷ ὑμῖν γενοίμεθα· ἐὰν δὲ νῦν ἀπολώμεθα, δῆλον ὅτι οὐδέποτε ἔτι χρήσιμοι ἐσόμεθα."

θ'. Ἀκούσαντες δὲ ταῦτα οἱ Λακεδαιμόνιοι, τοῖς τε Κορινθίοις συνεβούλευον τὴν εἰρήνην ποιήσασθαι, καὶ τῶν ἄλλων συμμάχων ἐπέτρεψαν, τοῖς μὴ βουλομένοις σὺν ἑαυτοῖς πολεμεῖν

lum praeferrent. Quod quum itidem eis Thebani concederent, Corinthii Lacedaemonem profecti, hac oratione sunt vsi:

8. Venimus, Lacedaemonii, ad vos, qui amici vestri sumus; aequumque censemus esse, vt, si quam in eo rationem salutis vestrae sitam perspicitis, si nos in bello perseuerauerimus; eam nobis etiam commonstretis: Sin ad inopiam res vestras esse redactas intelligetis: vna nobiscum pacem faciatis, si quidem id ex re vestra fuerit. Nec enim vlli sunt homines, quibuscum vsque adeo salui esse cupiamus, ac vobiscum. At si vos rationem aliquam intelligitis, quamobrem vobis bellum expediat gerere; precamur vos, vti nobis pacem facere per vos liceat. Nam si hoc tempore fuerimus conseruati, fortasse rursus aliquando vobis vsui erimus: Sin iam pereamus, certum est, non posse nos vnquam vobis deinceps prodesse.

9. His auditis, Lacedaemonii non modo dant hoc consilii Corinthiis, vt pacem facerent: sed aliis etiam sociis liberum relinquunt, vt, si quidem eis secum bello incumbere non placeret, quiescendo se

λεμεῖν, ἀναπαύεσθαι. αὐτοὶ δ' ἔφασαν πολεμοῦντες πράξειν ὅ, τι ἂν τῷ Θεῷ φίλον ᾖ· ὑφήσεσθαι δὲ ὑδέποτε, ἢν παρὰ τῶν πατέρων παρέλαβον Μεσσήνην, ταύτης στερηθῆναι.

ι'. Οἱ μὲν Κορίνθιοι ἀκούσαντες ταῦτα, ἐπορεύοντο εἰς τὰς Θήβας ἐπὶ τὴν εἰρήνην. οἱ μέντοι Θηβαῖοι ἠξίουν αὐτοὺς καὶ συμμαχίαν ὀμνύναι. οἱ δὲ ἀπεκρίναντο, ὅτι ἡ μὲν συμμαχία οὐκ εἰρήνη, ἀλλὰ πολέμου μεταλλαγὴ εἴη· εἰ δὲ βούλοιντο, παρεῖναι ἔφασαν τὴν δικαίαν εἰρήνην ποιησόμενοι. ἀγαθέντες δὲ αὐτοὺς οἱ Θηβαῖοι, ὅτι καίπερ ἐν κινδύνῳ ὄντες, οὐκ ἤθελον τοῖς εὐεργέταις εἰς πόλεμον καθίσασθαι, συνεχώρησαν αὐτοῖς, καὶ Φλιασίοις, καὶ τοῖς ἐλθοῦσι μετ' αὐτῶν εἰς Θήβας, τὴν εἰρήνην, ἐφ' ᾧ τε ἔχειν τὴν ἑαυτῶν ἑκάστους. καὶ ἐπὶ τούτοις ὠμόσθησαν οἱ ὅρκοι.

ια'. Οἱ μὲν δὴ Φλιάσιοι, ἐπεὶ οὕτως ἡ ξύμβασις ἐγένετο, εὐθὺς ἀπῆλθον ἐκ τῆς Θυαμίας· οἱ δὲ Ἀργεῖοι, ὀμόσαντες ἐπὶ τοῖς αὐτοῖς τούτοις εἰρήνην ποιήσασθαι, ἐπεὶ οὐκ ἠδύναντο καταπρᾶξαι, ὥστε τοὺς τῶν Φλιασίων φυγάδας

se recrearent. Se tamen perſtituros aiebant in bello, atque id facturos, quod Deo viſum eſſet. Nunquam certe conceſſuros, vt Meſſene, quam a maioribus ſuis accepiſſent, ſibi eriperetur.

10. Quibus auditis, Corinthii pacis conſtituendae cauſſa Thebas profecti ſunt. Ab eis petebant Thebani, vt in ipſorum etiam ſocietatem iurarent. Verum reſpondebant Corinthii, ſocietatem non eſſe pacem, ſed belli commutationem. Quod ſi ita placeret ipſis, adeſſe ſe aiebant, vt conditionibus aequis pacem facerent. Quorum virtutem admirati Thebani, quod, tametſi eſſent in periculo, nollent tamen aduerſus bene de ſe meritos bellum gerere: pacem ipſis, et Phliaſiis, et quotquot Thebas cum eis venerant, ea conditione conceſſerunt; vt ſinguli agro ſuo potirentur. Deinde ſacramentis haec confirmata ſunt.

11. Ac Phliaſii quidem, poſteaquam haec pax conſtituta eſſet, confeſtim exceſſere Thyamia. Verum Argiui, quanquam iiſdem conditionibus pacem ſe facturos iurauerant, quia tamen impetrare non poterant, vt Phliaſiorum exules

γάδας μένειν ἐν τῷ Τρικαράνῳ, ὡς ἐν τῇ ἑαυτῶν πόλει *ὄντας, παραλαβόντες ἐφρούρουν, φάσκοντες σφετέραν καὶ τὴν γῆν ταύτην εἶναι, ἣν ὀλίγῳ πρότερον, ὡς πολεμίαν οὖσαν, ἐδῄωσαν. καὶ δίκας τῶν Φλιασίων προκαλουμένων, οὐκ ἐδίδοσαν.

ιβ'. Σχεδὸν δὲ περὶ τοῦτον τὸν χρόνον τετελευτηκότος ἤδη τοῦ πρότερον Διονυσίου, ὁ υἱὸς αὐτοῦ πέμπει βοήθειαν τοῖς Λακεδαιμονίοις δώδεκα τριήρεις, καὶ ἄρχοντα αὐτῶν Τιμοκράτην. οὗτος δ' ὢν ἀφικόμενος, συνεξαιρεῖ αὐτοῖς Σελλασίαν· καὶ τοῦτο πράξας, ἀπέπλευσεν οἴκαδε. μετὰ δὲ τοῦτο οὐ πολλῷ ὕστερον καταλαμβάνουσιν οἱ Ηλεῖοι Λασιῶνα, τὸ μὲν παλαιὸν ἑαυτῶν ὄντα, ἐν δὲ τῷ παρόντι συντελοῦντα εἰς τὸ Αρκαδικόν.

ιγ'. Οἱ μέντοι Αρκάδες οὐ παρωλιγώρησαν, ἀλλ' εὐθὺς παραγγείλαντες ἐβοήθουν. ἀντεβοήθησαν δὲ καὶ οἱ τῶν Ηλείων τετρακόσιοι, καὶ ἔτι τριακόσιοι. ἀντισφαλευομένων δὲ τὴν ἡμέραν ἐν ἐπιπεδοτέρῳ χωρίῳ τῶν Ηλείων, τῆς νυκτὸς οἱ Αρκάδες ἀναβαίνουσιν ἐπὶ τὴν τοῦ ὑπὲρ τῶν Ηλείων ὄρους κορυφήν· ἅμα δὲ τῇ ἡμέρᾳ κατέβαινον ἐπὶ τοὺς

in Tricarano, tanquam si essent in ciuitate sua, manerent: Thyamiam receptam praesidio muniebant, quod eum agrum suum esse dicerent, quem paulo ante velut hosticum vastaverant. Quumque Phliasii provocarent ad causae disceptationem, denegatum hoc eis est.

12. Atque hoc ferme tempore, quum iam Dionysius maior e viuis excessisset: filius eius naues duodecim, quibus Timocratem praefecerat, in subsidium Lacedaemoniis mittit. Is quum appulisset, in expugnanda eos Sellasia iuuit; eaque re gesta, domum nauigauit. Non multo post, Lasionem Elei occupant, quod oppidum fuerat illud quidem olim ipsorum in potestate: sed hoc tempore iuris Arcadici erat.

13. Eam rem Arcades minime negligebant, sed mox concitatis suis opem ferebant. Contra prodibant cccc Elei, rursumque ccc. Quumque interdiu castra in campo nonnihil plano Elei hostibus opposuissent, noctu Arcades in verticem montis eius ascendunt, qui Eleis imminebat, ac prima luce aduersus Eleos descendunt.

* Al. ἔχοντες.

τὰς Ηλείας. οἱ δὲ, ἰδόντες ἅμα μὲν ἐξ ὑπερδεξίᾳ προσιόντας, ἅμα δὲ πολλαπλασίους, ἐκ πολλῶ μὲν ἀπελθεῖν ἠσχύνθησαν, ὁμόσε δὲ ἦλθον, καὶ εἰς χεῖρας δεξάμενοι ἔφυγον· καὶ πολλὰς μὲν ἄνδρας, πολλὰ δὲ ὅπλα ἀπώλεσαν, κατὰ δυσχωρίας ἀποχωρῶντες.

ιδ'. Οἱ δὲ Αρκάδες, διαπραξάμενοι ταῦτα, ἐπορεύοντο ἐπὶ τὰς τῶν ἀκρωρειῶν πόλεις. λαβόντες δὲ ταύτας, πλὴν Θραύστα, ἀφικνοῦνται εἰς Ολυμπίαν· καὶ περισαυρώσαντες τὸν Κρόνειον, ἐνταῦθα ἐφρούρουν, καὶ ἐκράτουν τοῦ Ολυμπιακοῦ ὄρους. ἔλαβον δὲ καὶ Μαργανέας, ἐνδόντων τινῶν. ὕστερον δὲ τούτων προκεχωρηκότων, οἱ μὲν Ηλεῖοι αὖ παντάπασιν ἠθύμησαν· οἱ δὲ Αρκάδες ἔρχονται ἐπὶ τὴν πόλιν. καὶ μέχρι μὲν τῆς ἀγορᾶς ἦλθον· ἐκεῖ μέντοι ὑποστάντες οἵ τε ἱππεῖς καὶ ἄλλοι τινὲς αὐτῶν, ἐκβάλλουσί τε αὐτοὺς, καὶ ἀπέκλειναν τινὰς, καὶ τρόπαιον ἔστησαντο.

ιε'. Ην μὲν δὴ καὶ πρότερον διαφορὰ ἐν τῇ Ηλιδι. οἱ μὲν γὰρ περὶ Χάροπόν τε, καὶ Θρασωνίδαν, καὶ Δρυεῖον, εἰς δημοκρατίαν

scendunt. Illi quum simul eos et superiore de loco aduentantes viderent, et multo se plures: diu quidem, quo minus discederent, pudore detinebantur, tandem vero congressi cum Arcadibus, vix conferta cum illis manu, fugam arripiunt. Quumque per difficilia loca discederent, multos et viros et arma desiderarunt.

14. Arcades, ea re gesta, versus sita in iugis collium oppida pergunt: quumque ea cepissent, excepta Thrausto, ad Olympiam accedunt. Vbi Saturni aedem vallo muniuissent, praesidium ibi collocant, ac monte Olympiaco potiuntur. Praeterea Marganeas, nonnullis cedentibus, capiunt. Quibus ita succedentibus, omnino deiectis Elei quidem animis erant, Arcades vero ad ipsam vrbem vsque accedunt. Quumque ad forum vsque penetrassent, istic Elei quidam equites, aliique se opponunt; expulsisque Arcadibus, et nonnullis interemtis, tropaeum statuunt.

15. Erat autem iam ante quoddam apud Elidem dissidium. Nam qui Charopo, Thrasonidae, Argeo adhaerebant,

δημοκρατίαν ἦγον τὴν πόλιν, οἱ δὲ περὶ Στάλκαν τε, καὶ Ἱππίαν, καὶ Στρατόλαν, εἰς ὀλιγαρχίαν. ἐπεὶ δὲ οἱ Ἀρκάδες, μεγάλην δύναμιν ἔχοντες, σύμμαχοι ἐδόκων εἶναι τοῖς δημοκρατεῖσθαι βουλομένοις, ἐκ τούτου δὴ θρασύτεροι οἱ περὶ τὸν Χάροπον ἦσαν, καὶ συνθέμενοι τοῖς Ἀρκάσιν ἐπιβοηθεῖν, καταλαμβάνουσι τὴν ἀκρόπολιν.

ις'. Οἱ δὲ ἱππεῖς καὶ οἱ τριακόσιοι οὐκ ἠμέλησαν, ἀλλ' εὐθὺς ἐχώρουν ἄνω, καὶ ἐκκρούουσιν αὐτούς· ὥστ' ἔφυγον σὺν τῷ Ἀργείῳ καὶ Χαρόπῳ τῶν πολιτῶν περὶ τετρακοσίους. οὐ πολὺ δὲ ὕστερον ἔτοι παραλαβόντες τῶν Ἀρκάδων τινὰς, καταλαμβάνουσι Πύλον. καὶ πολλοὶ μέντοι πρὸς αὐτοὺς ἐκ τῆς πόλεως ἀπῄεσαν τοῦ δήμου, ἅτε χωρίον τε καλὸν, καὶ μεγάλην ῥώμην τὴν τῶν Ἀρκάδων σύμμαχον ἔχοντες. ἐνέβαλον δὲ ὕστερον καὶ εἰς τὴν χώραν τὴν τῶν Ἠλείων οἱ Ἀρκάδες ὑπὸ τῶν φευγόντων ἀναπειθόμενοι, ὡς ἡ πόλις προσχωρήσοιτο.

ιζ'. Ἀλλὰ τότε μὲν οἱ Ἀχαιοὶ, φίλοι τοῖς Ἠλείοις γενόμενοι,

popularis ciuitatis ſtatus auctores erant: e contrario Stalcae, Hippiae, Stratolae factio ad paucorum imperium rempublicam reuocabat. Quum autem Arcades, qui magnas habebant copias, iis opitulari viderentur, qui populi poteſtatem in adminiſtratione probabant: audacior ex eo Charopus cum ſuis erat, pactique cum Arcadibus de ſummittendis auxiliis, arcem capiunt.

16. Eam rem equites cum ccc non negligere, ſed ſtatim ſurſum pergere, vique aduerſarios ex arce propellere: quo facto, vt cum Argeo Charopoque plus minus cccc ciues in exilium eiicerentur. Non multo poſt, ſumtis hi ſecum Arcadibus quibuſdam, Pylum capiunt: quo quidem ad eos multi ex populo ab vrbe confluebant, quod iam oppidum egregium, et ab Arcadibus, quorum erat magna potentia, ſubſidia haberent: qui ſane deinceps etiam fines Eleorum ingreſſi ſunt, perſuaſi ab exulibus, futurum, vt vrbs deditionem faceret.

17. Verum id temporis Achaei, Eleorum foederati, vrbem

νοι, τὴν πόλιν αὐτῶν διεφύλαξαν· ὥστε οἱ Ἀρκάδες ἀδὲν ἄλλο πράξαντες, ἢ δηώσαντες αὐτῶν τὴν χώραν, ἀπῆλθον. εὐθὺς μέντοι ἐκ τῆς Ἠλείας ἐξελθόντες, αἰσθόμενοι τὺς Πελληνεῖς ἐν Ἠλιδι ὄν[τ]ας, νυκ[τ]ὸς μακροτάτην ὁδὸν ἐλθόντες καταλαμβάνουσιν αὐτῶν Ὀλυρον. ἤδη γὰρ πάλιν προσεκεχωρήκεσαν οἱ Πελληνεῖς εἰς τὴν τῶν Λακεδαιμονίων συμμαχίαν.

ιή. Ἐπεὶ δ' ἤσθοντο τὰ περὶ Ὀλύρυ, περιελθόντες αὖ καὶ ἅτοι, ὅποι ἐδύναντο, εἰς τὴν αὐτῶν πόλιν Πελλήνην εἰσῆλθον. καὶ ἐκ τύτυ δὴ ἐπολέμυν τοῖς ἐν Ὀλύρῳ Ἀρκάσι τε καὶ τῷ ἑαυτῶν παντὶ δήμῳ, καὶ μάλα ὀλίγοι ὄντες. ὅμως δὲ ἀδὲ πρόσθεν ἐπαύσαν[τ]ο, πρὶν ἐξεπολιόρκησαν τὸν Ὀλυρον.

ιθ. Οἱ δ' αὖ Ἀρκάδες πάλιν ποιῦνται ἄλλην στρατείαν εἰς τὴν Ἦλιν. μεταξὺ δὲ Κυλλήνης τε καὶ τῆς πόλεως στρατοπεδευομένοις αὐτοῖς ἐπιτίθενται οἱ Ἠλεῖοι, ὑποστάντες δὲ οἱ Ἀρκάδες ἐνίκησαν αὐτύς. καὶ Ἀνδρόμαχος μὲν ὁ Ἠλεῖος ὕπαρχος, ὅσπερ αἴτιος ἐδόκει εἶναι συνάψαι τὴν μάχην, αὐτὸς αὐτὸν διέφθειρεν· οἱ δ' ἄλλοι εἰς τὴν πόλιν

bem eorum tutati ſunt: eoque factum, vt Arcades, alia re nulla geſta, quam quod agrum vaſtaſſent, diſceſſerint. Vbi primum egreſſi fines Eleorum fuiſſent, certiores facti, Pellenenſes apud Elidem eſſe; noctu itinere longiſſimo confecto, Olurum, Pellenenſium oppidum, capiunt. Nam rurſum Pellenenſes ad Lacedaemoniorum ſocietatem acceſſerant.

18. Illi, re cognita, et ipſi facto circuitu, qua quidem poterant, Pellenen reuertuntur. Deinde cum Arcadibus, qui Olurum tenebant, et vniuerſo cum Arcadum populo bellum gerunt, quanquam ipſi perpauci numero eſſent: neque deſtitere prius, quam Olurum expugnaſſent.

19. Rurſus Arcades alia expeditione Elidem adoriuntur. Quumque inter Cyllenen ac vrbem ipſam caſtra haberent, ab Eleis inuaduntur; quorum et impetum ſuſtinuerunt Arcades, et vicerunt. Tunc Andromachus Eleorum praefectus, qui, vt proelium hoc iniretur, auctor fuerat, ſibi ipſi manus attulit: reliqui

πόλιν ἀπεχώρησαν. ἀπέθανε δὲ ἐν ταύτῃ τῇ μάχῃ παραγενόμενος καὶ Σωκλείδας ὁ Σπαρτιάτης. ἤδη γὰρ τότε οἱ Λακεδαιμόνιοι τοῖς Ἠλείοις σύμμαχοι ἦσαν.

κ'. Πιεζόμενοι δὲ οἱ Ἠλεῖοι ἐν τῇ ἑαυτῶν, ἠξίουν καὶ τὰς Λακεδαιμονίους, πέμποντες πρέσβεις, ἐπιστρατεύειν τοῖς Ἀρκάσι, νομίζοντες ὅτως ἂν μάλιστα *ἀποκαλεῖν τὰς Ἀρκάδας, εἰ ἀμφοτέρωθεν πολεμοῖντο. καὶ ἐκ τούτου δὴ Ἀρχίδαμος στρατεύεται μετὰ τῶν πολιτῶν, καὶ καταλαμβάνει Κρῶμνον. καταλιπὼν δ' ἐν αὐτῷ φρουρὰν τῶν δώδεκα λόχων τρεῖς, ὅτως ἐπ' οἴκου ἀνεχώρησεν.

κα'. Οἱ μέντοι Ἀρκάδες, ὥσπερ ἔτυχον ἐκ τῆς εἰς Ἦλιν στρατείας συνειλεγμένοι, βοηθήσαντες, περιεσαύρωσαν τὸν Κρῶμνον διπλῷ σαυρώματι, καὶ ἐν ἀσφαλεῖ ὄντες, ἐπολιόρκουν τοὺς ἐν τῷ Κρώμνῳ. χαλεπῶς δὲ ἡ τῶν Λακεδαιμονίων πόλις φέρουσα ἐπὶ τῇ πολιορκίᾳ τῶν πολιτῶν, ἐκπέμπει στρατιάν· ἡγεῖτο δὲ καὶ τότε Ἀρχίδαμος. ἐλθὼν δὲ ἐδῄου καὶ τῆς Ἀρκαδίας ὅσα ἐδύνατο, καὶ τῆς Σκιρίτιδος,

liqui in vrbem pedem retulerunt. Interfectus eſt et Soclidas Spartanus, qui huic pugnae intererat. Nam hoc tempore Lacedaemoniis cum Eleis ſocietas erat.

20. Quumque in vrbe ſua Elei premerentur, miſſis legatis, petebant, vt Lacedaemonii bellum Arcadibus facerent. Exiſtimabant enim, hac potiſſimum ratione Arcades auocari poſſe, ſi vtrinque bello laceſſerentur. Itaque ciues ſuos Archidamus educit, et Cromnum capit, ibique relicto praeſidio trium cohortium ex duodecim, quas habebat, domum redit.

21. Arcades ita vti tum forte adhuc erant ab expeditione, qua Elidem inuaſerant, collecti, ſuis opem ferunt, et Cromnum duplici vallo cingunt, eoque muniti, Cromnios obſident. Heic quum Lacedaemoniorum vrbs grauiter moleſteque ferret, ciues Cromnios oppugnari, exercitum domo proficiſci iubet: cui tum quoque Archidamus praeficiebatur. Is cum copiis profectus, Arcadiam et Sciritidem, quantum poterat, populabatur:

* Al. ἀποβαλεῖν.

δος, καὶ πάντα ἐποίει ὅπως, εἰ δύναιτο, ἀπαγάγοι τὰς πολιορκῶντας. οἱ δὲ Αρκάδες ὐδέν τι μᾶλλον ἐκινοῦντο, ἀλλὰ ταῦτα πάντα παρεώρων.

κβ'. Κατιδὼν δέ τινα λόφον ὁ Αρχίδαμος, δι' οὗ τὸ ἔξω ϛαύρωμα περιεβέβληντο οἱ Αρκάδες, ἐνόμισεν ἐλεῖν ἂν τοῦτον, καὶ εἰ τοῦτο κρατήσειεν, οὐκ ἂν δύνασθαι μένειν τοὺς ὑπὸ τοῦτον πολιορκοῦντας. κύκλῳ δὲ περιάγοντος αὐτῷ ἐπὶ τοῦτο τὸ χωρίον, ὡς εἶδον οἱ προθέοντες πελτασταὶ τῷ Αρχιδάμῳ τοὺς Επαρίτας ἔξω τοῦ ϛαυρώματος, ἐπιτίθενται αὐτοῖς, καὶ ἱππεῖς συνεμβάλλειν ἐπειρῶντο. οἱ δ' οὐκ ἐνέκλιναν, ἀλλὰ συντεταγμένοι ἡσυχίαν εἶχον. οἱ δ' αὖ πάλιν ἐνέβαλον. ἐπεὶ δὲ οὐδὲ τότε ἐνέκλιναν, ἀλλὰ καὶ ἐπῆσαν, ἤδη ὕσης πολλῆς κραυγῆς, ἐβοήθει δὴ καὶ αὐτὸς Αρχίδαμος, ἐκτραπόμενος κατὰ τὴν ἐπὶ Κρῶμνον φέρουσαν ἁμαξιτὸν, εἰς δύο ἔχων, ὥσπερ ἐτύγχανεν ἄγων.

κγ'. Ως

pulabatur: omniaque moliebatur, vt, si fieri posset, obsidionem solueret. Verum Arcades se loco non mouebant, adeoque flocci pendebant haec omnia.

22. Tum Archidamus, colle quodam conspecto, quo vallum exterius Arcades cinxerant, eum se posse capere putabat: quo quidem si potitus esset, non iam amplius eos, qui oppidum isto sub colle obsidebant, subsistere posse. Quumque copias suas ad eum locum ambitu quodam circumduceret, posteaquam praecurrentes Archidami regis cetrati extra vallum Eparitos videbant; in eos irruebant, simulque cum eis equites irrumpere conabantur. Illi minime fugam dabant, sed acie instructa subsistebant. Tunc alii rursus in eos impetum faciebant: sed quum tantum abesset, vt illi terga verterent, vt etiam in aduersos pergerent, magno iam coorto clamore; tum vero Archidamus ipse suis succurrebat, nonnihil deflectens versus eam viam, qua currus agi possunt, et quae Cromnum ducit, militibus suis in binos instructis, quemadmodum forte tum copias ducebat.

κγ'. Ως δὲ ἐπλησίασαν ἀλλήλοις, οἱ μὲν σὺν τῷ Αρχιδάμῳ κατὰ κέρας, ἅτε καθ' ὁδὸν πορευόμενοι, οἱ δὲ Αρκάδες ἀθρόοι συνασπιδῶντες, ἐν τούτῳ ἔτι ἐδύναντο οἱ Λακεδαιμόνιοι ἀντέχειν τῷ τῶν Αρκάδων πλήθει, ἀλλὰ ταχὺ μὲν ὁ Αρχίδαμος ἐτέτρωτο τὸν μηρὸν διαμπάξ, ταχὺ δὲ οἱ μαχόμενοι πρὸ αὐτοῦ ἀπέθνησκον, Πολυαινίδας τε καὶ Χίλων, ὁ τὴν ἀδελφὴν τοῦ Αρχιδάμου ἔχων. καὶ οἱ πάντες δὲ αὐτῶν τότε ἀπέθανον οὐκ ἔλαττον τῶν τριάκοντα.

κδ'. Ως δὲ κατὰ τὴν ὁδὸν ἀναχωροῦντες εἰς τὴν εὐρυχωρίαν ἐξῆλθον, ἐνταῦθα δὴ Λακεδαιμόνιοι ἀντιπαρετάξαντο. καὶ μὴν οἱ Αρκάδες, ὥσπερ εἶχον συντεταγμένοι, ἔστησαν, καὶ πλήθει μὲν ἐλείποντο, εὐθυμότερον δὲ πολὺ εἶχον, ἐπεληλυθότες δὴ ἀποχωροῦσι, καὶ ἄνδρας ἀπεκτονότες. οἱ δὲ Λακεδαιμόνιοι μάλα ἀθύμως εἶχον, τετρωμένον μὲν ὁρῶντες τὸν Αρχίδαμον, ἀκηκοότες δὲ τὰ ὀνόματα τῶν τεθνηκότων, ἀνδρῶν τε ἀγαθῶν, καὶ σχεδὸν τῶν ἐπιφανεστάτων.

κε'. Ως

23. Vbi primum propius ad ſe inuicem acceſſere, Archidami milites in cornu exporrecti, quod ipſa in via incederent, Arcades vero conferti, et clypeos conſtipantes: tum vero Lacedaemonii Arcadum multitudini reſiſtere non poterant, adeoque celeriter Archidamus, femore traiecto, vulnerabatur, interfectis etiam ſtatim illis, qui ante ipſum propugnabant, nimirum Polyaenida et Chilone, quocum ſoror Archidami nupta erat. Denique non pauciores quam xxx, ex eis interfecti ſunt.

24. Hinc vbi de via cedentes Lacedaemonii latiorem in locum peruenisſent, tum vero adverſus hoſtes aciem rurſus inſtruebant. Nihilominus Arcades, ita vti tum inſtructi erant, ſtabant: ac numero quidem vincebantur, magis tamen viriles habebant animos: quippe qui pedem referentes inuaſiſſent, atque etiam quoſdam occidiſſent. E contrario Lacedaemonii perquam deiectis erant animis, qui vulneratum Archidamum cernerent, et interfectorum audiiſſent nomina, virorum fortium, ac prope clariſſimorum.

25. Tandem

κέ. Ὡς δὲ πλησίον ὄντων, ἀναβοήσας τις τῶν πρεσβυτέρων εἶπε· τί δεῖ ἡμᾶς, ὦ ἄνδρες, μάχεσθαι, ἀλλ' ἀ σπεισαμένους διαλυθῆναι; ἄσμενοι δὴ ἀκούσαντες, ἐσπείσαντο. καὶ οἱ μὲν Λακεδαιμόνιοι τοὺς νεκροὺς ἀνελόμενοι ἀπῆλθον, οἱ δ' Ἀρκάδες ἐπαναχωρήσαντες, ἔνθα τοπρῶτον ἤρξαντο ἐπιέναι, τρόπαιον ἐστήσαντο.

κς'. Ὡς δὲ οἱ Ἀρκάδες περὶ τὸν Κρῶμνον ἦσαν, οἱ ἐκ τῆς πόλεως Ἠλεῖοι, πρῶτον μὲν ἰόντες ἐπὶ τὴν Πύλον, ἐπιτυγχάνουσι τοῖς Πυλίοις ἀποκεκρυσμένοις ἀπὸ τῶν Θαλάμων. καὶ προσελαύνοντες οἱ ἱππεῖς τῶν Ἠλείων, ὡς εἶδον αὐτοὺς, οὐκ ἠμέλησαν, ἀλλ' εὐθὺς ἐμβάλλουσι. καὶ τοὺς μὲν ἀποκτείνυσιν, οἱ δέ τινες αὐτῶν καταφεύγουσιν ἐπὶ γήλοφον. ἐπεὶ μέντοι ἦλθον οἱ πεζοὶ, ἐκκόπτουσι καὶ τοὺς ἐπὶ τῷ γηλόφῳ. καὶ τοὺς μὲν αὐτῶν ἀπέκτειναν, τοὺς δὲ ζωγροὺς ἔλαβον, ἐγγὺς διακοσίων. καὶ ὅσοι μὲν ξένοι ἦσαν αὐτῶν, ἀπέδοντο· ὅσοι δὲ φυγάδες, ἀπέσφαττον. μετὰ δὲ ταῦτα τάς τε Πυλίας, ὡς οὐδεὶς αὐτοῖς ἐβοήθει, σὺν αὐτῷ τῷ χωρίῳ αἱροῦσι, καὶ τοὺς Μαργανέας ἀναλαμβάνουσι.

κζ'. Καὶ

25. Tandem quum propius ad ſe inuicem acceſſiſſent, et quidam ex ſenioribus exclamaſſet. Quamobrem pugnabimus, o viri? cur non potius, induciis factis, rem componimus? perlubenter audita ea voce, induciae factae ſunt. Ita Lacedaemonii, ſublatis mortuorum cadaueribus, diſceſſerunt, et Arcades eo regreſſi, vnde primum in eos impetum fecerant, tropaeum excitarunt.

26. Interea vero, dum Cromnum Arcades obſidebant; Elei, qui erant in vrbe, dum Pylum verſus pergunt, forte in Pylios incidunt, qui repulſi a Thalamis fuerant. Itaque profecti ad eos equites Elei, quum primum illos conſpicerent, occaſionem non negligunt; ſed confeſtim in eos irruentes, quoſdam occidunt, caeteris in collem ſe recipientibus. Poſteaquam deinde pedites Eleorum acceſſiſſent, ab his etiam illi de colle deiiciuntur: partimque ſunt interfecti, partim viui hoſtium in poteſtatem venerunt, prope cc. Ex iis quotquot milites erant mercenarii, diuenditi ſunt; exules autem, iugulati. Hinc Pylios, quum nemo ſuppetias eis ferret, vna cum oppido capiunt, et Marganeas recipiunt.

27. Ali-

κζ'. Καὶ μὴν οἱ Λακεδαιμόνιοι ὕστερον αὖ ἐλθόντες νυκτὸς ἐπὶ τὸν Κρῶμνον, ἐπικρατοῦσι τοῦ στρατεύματος, καὶ τὰς τε Ἀργείους καὶ τοὺς πολιορκουμένους τῶν Λακεδαιμονίων εὐθὺς ἐξεκάλουν. ὅσοι μὲν οὖν ἐγγύτατά τε ἐτύγχανον ὄντες καὶ ὠξυλάβησαν, ἐξῆλθον· ὁπόσους δὲ ἔφθασαν πολλοὶ τῶν Ἀρκάδων συμβοηθήσαντες, ἀπεκλείσθησαν ἔνδον, καὶ ληφθέντες διενεμήθησαν· καὶ ἓν μέρος ἔλαβον Ἀργεῖοι, ἓν δὲ Θηβαῖοι, ἓν δὲ Ἀρκάδες, ἓν δὲ Μεσσήνιοι. οἱ δὲ σύμπαντες ληφθέντες Σπαρτιατῶν τε καὶ περιοίκων, πλέονες τῶν ἑκατὸν ἐγένοντο.

κη'. Ἐπεὶ γεμὴν οἱ Ἀρκάδες ἐσχόλασαν ἀπὸ τοῦ Κρώμνου, πάλιν δὴ περὶ τοὺς Ἠλείους εἶχον, καὶ τήν τε Ὀλυμπίαν ἐρρωμενέστερον ἐφρούρουν, καὶ ἐπιόντος Ὀλυμπιακοῦ ἔτους, παρεσκευάζοντο ποιεῖν τὰ Ὀλύμπια σὺν τοῖς Πισάταις, τοῖς πρώτοις φάσκουσι προσῆναι τοῦ ἱεροῦ. ἐπεὶ δὲ ὅ, τε μὴν ἦκεν, ᾧ τὰ Ὀλύμπια γίγνεται, αἵ τε ἡμέραι, ἐν αἷς ἡ πανήγυρις ἀθροίζεται, ἐνταῦθα δὴ οἱ Ἠλεῖοι ἐκ τοῦ φανεροῦ συσκευα-

27. Aliquanto poſt Lacedaemonii rurſus noctu Cromnum profecti, vallo potiuntur, ac ſtatim Argiuos et Lacedaemonios obſeſſos euocant. Itaque quotquot ab eis haud procul abfuerant, ſeque mature paraverant, egreſſi ſunt: quotquot autem Arcades concurſantes anteuerterunt, rurſus in vrbem concluſi, et capti ſunt; ſic partientibus eos deinde hoſtibus, vt pars vna cederet Argiuis, alia Thebanis, Arcadibus alia, itemque Meſſeniis. In vniuerſum quidem, quotquot ex Spartanis eorumque finitimis capti ſunt, plures fuere quam centum.

28. Poſteaquam Arcades iam non amplius Cromni obſidione occupabantur, rurſus adverſus Eleos ſe conuertebant, ac non ſolum Olympiam validiori praeſidio muniebant: ſed etiam, appetente anno Olympiaco, parabant ſe ad Olympia celebranda cum Piſatis, qui ſe primos templo praefuiſſe aiebant. Quum iam menſis adeſſet, quo peraguntur Olympia, itidemque celebris illius conuentus dies appetiiſſent: Elei palam ſe parantes, arceſ-

ſitis

συσκευασάμενοι, καὶ παρακαλέσαντες τὰς Αχαιὰς, ἐπορεύοντο τὴν Ολυμπιακὴν ὁδόν.

κθ'. Οἱ δὲ Αρκάδες ἐκείνας μὲν οὐκ ἄν ποτε ὤοντο ἐλθεῖν ἐπὶ σφᾶς, αὐτοὶ δὲ σὺν Πισάταις διετίθεσαν τὴν πανήγυριν. καὶ τὴν μὲν ἱπποδρομίαν ἤδη ἐπεποιήκεσαν, καὶ τὰ δρομικὰ τῶ πενταθλω· οἱ δ' εἰς πάλην ἀφικόμενοι, οὐκέτι ἐν τῷ δρόμῳ, ἀλλὰ μεταξὺ τῶ δρόμω καὶ τῶ βωμῶ ἐπάλαιον. οἱ γὰρ Ηλεῖοι παρῆσαν ἤδη σὺν τοῖς ὅπλοις εἰς τὸ τέμενος. οἱ δὲ Αρκάδες πορρωτέρω μὲν οὐκ ἀπήντησαν, ἐπὶ δὲ τῶ Κλαδάω ποταμῶ παρετάξαντο, ὃς παρὰ τὴν *Αλτην καταῤῥέων εἰς τὸν Αλφειὸν ἐμβάλλει. καὶ σύμμαχοι δὲ παρῆσαν αὐτοῖς, ὁπλῖται μὲν Αργείων εἰς δισχιλίους, Αθηναίων δὲ ἱππεῖς περὶ τετρακοσίους.

λ'. Καὶ μὴν οἱ Ηλεῖοι τἀπὶ θάτερα τῶ ποταμῶ παρετάξαντο, σφαγιασάμενοι δὲ εὐθυς ἐχώρουν. καὶ τὸν πρόσθεν χρόνον εἰς τὰ πολεμικὰ καταφρονούμενοι μὲν ὑπ' Αρκάδων καὶ Αργείων, καταφρονούμενοι δὲ ὑπὸ Αχαιῶν καὶ Αθηναίων, ὅμως ἐκείνη τῇ ἡμέρᾳ τῶν μὲν συμμάχων, ὡς

sitis etiam Achaeis, qua Olympiam itur, via pergebant.

29. Existimabant autem Arcades, nunquam illos venturos; ideoque celebritatem eam vna cum Pisatis ipsi moderabantur. Erant iam absoluti equestres, caeteriique cursus quinquertii; et qui lucta inter se decertabant, non in stadio cursui destinato, sed inter hoc et aram congrediebantur. Nam Elei armati iam ad delubrum peruenerant: quibus Arcades longius non occurrebant; sed ad Cladaum amnem aduersus eos aciem struebant. Is propter Alten fluens, in Alpheum sese exonerat. Aderant autem Arcadibus auxiliares sociorum copiae, nimirum 11 C 1 ↄ grauis armaturae pedites Argiui, et equites Athenienses ferme quadringenti.

30. Nec minus Elei suam aciem ex altera parte amnis hostibus opponebant, mactataque hostia, continuo pergebant. Quanquam autem ante id temporis bellicis in rebus non solum ab Arcadibus et Argiuis, sed etiam Achaeis et Atheniensibus contemnerentur; illo tamen die socios, vt omnium fortissimi

* Al. Αλτιν.

ὡς ἀλκιμώτατοι ὄντες, ἠγῶντο· τὰς δ' Ἀρκάδας (τούτοις γὰρ πρώτοις συνέβαλον) καὶ εὐθὺς ἐτρέψαντο, καὶ ἐπιβοηθήσαντας δὲ τὰς Ἀργείας δεξάμενοι, καὶ τούτων ἐκράτησαν.

λά. Ἐπεὶ μέντοι κατεδίωξαν εἰς τὸ μεταξὺ τοῦ βουλευτηρίου καὶ τοῦ τῆς Ἑστίας ἱεροῦ, καὶ τοῦ πρὸς ταῦτα προσήκοντος θεάτρου, ἐμάχοντο μὲν οὐδὲν ἧττον, καὶ ἐώθουν πρὸς τὸν βωμόν· ἀπὸ μέντοι τῶν στοῶν τε, καὶ τοῦ βουλευτηρίου, καὶ τοῦ μεγάλου ναοῦ βαλλόμενοι, καὶ ἐν τῷ ἰσοπέδῳ μαχόμενοι, ἀποθνήσκουσιν ἄλλοι τε τῶν Ἠλείων, καὶ αὐτὸς ὁ τῶν τριακοσίων ἄρχων Στρατόλας. τούτων δὲ πραχθέντων, ἀπεχώρησαν εἰς τὸ αὐτῶν στρατόπεδον.

λβ'. Οἱ μέντοι Ἀρκάδες, καὶ οἱ μετ' αὐτῶν, ἕως ἐπεφόβηντο τὴν ἐπιοῦσαν ἡμέραν, ὥστε οὐδὲ ἀνεπαύσαντο τῆς νυκτὸς ἐκκόπτοντες τὰ διαπεπονημένα σκηνώματα, καὶ ἀποσαυροῦντες. οἱ δ' αὖ Ἠλεῖοι, ἐπεὶ τῇ ὑστεραίᾳ προσιόντες εἶδον καρτερὸν τὸ τεῖχος, καὶ ἐπὶ τῶν ναῶν πολλοὺς ἀναβεβηκότας, ἀπῆλθον εἰς τὸ ἄστυ, τοιοῦτοι γενόμενοι, οἵους τὴν ἀρετὴν Θεὸς μὲν ἂν ἐμπνεύσας δύναιτο καὶ ἐν ἡμέρᾳ ἀποδεῖξαι,

tissimi, praecedebant; et Arcadibus, quibuscum primis manus conferebant, confestim in fugam actis, etiam exceptos Argiuos, Arcadibus opem ferentes, superabant.

31. Atque vbi hos persequuti erant ad eum vsque locum, qui inter curiam, ac Vestae templum, theatrumque, quod eodem pertinet, interiacet; pugnabant quidem illi nihilominus, ac versus aram propellebant hostes, sed a porticibus, et curia, magnoque fano telis petiti, tandemque proelio cum eis in planitie congressi, caedebantur, occiso cum aliis Eleis ipso quadringentorum principe Stratola. Quibus peractis, ad castra sua pedem referunt.

32. Arcades quidem certe, ac alii, qui cum eis erant, vsque adeo diem sequentem formidabant: vt nocte iam confecta tentoria demoliri, seque vallo munire non cessarent. Elei vero postridie accedentes, vbi murum satis firmum, ac multos iam fana conscendisse viderent: suam in vrbem reuersi sunt, quum tales se viros praestitissent, quales quidem possit Deus inspirata virtute efficere vel vno die: sed homines ne longo quidem

ἀποδεῖξαι, ἄνθρωποι δ' ὐδ' ἂν ἐν πολλῷ χρόνῳ τὰς μὴ ὄντας ἀληθεῖς ποιήσειαν.

λγ'. Χρωμένων δὲ τοῖς ἱεροῖς χρήμασι τῶν ἐν τοῖς Ἀρκάσιν ἀρχόντων, καὶ ἀπὸ τούτων τὰς Ἐπαρίτας τρεφόντων, πρῶτοι Μαντινεῖς ἀπεψηφίσαντο, τοῖς ἱεροῖς χρήμασι μὴ χρῆσθαι. καὶ αὐτοὶ τὸ γιγνόμενον μέρος εἰς τὰς Ἐπαρίτας ἐκ τῆς πόλεως ἐκπορίσαντες, ἀπέπεμψαν τοῖς ἄρχουσιν. οἱ δὲ ἄρχοντες, φάσκοντες αὐτὰς λυμαίνεσθαι τὸ Ἀρκαδικὸν, ἀνεκαλοῦντο εἰς τὰς μυρίας τὰς προσάτας αὐτῶν· καὶ ἐπεὶ οὐκ ὑπήκουον, κατεδίκασαν αὐτῶν, καὶ τὰς Ἐπαρίτας ἔπεμπον, ὡς ἄξοντας τὰς κατακεχριμένας. οἱ μὲν οὖν Μαντινεῖς, κλείσαντες τὰς πύλας, οὐκ ἐδέχοντο αὐτὰς εἴσω.

λδ'. Ἐκ δὲ τούτου τάχα δὴ καὶ ἄλλοι τινὲς ἔλεγον ἐν τοῖς μυρίοις, ὡς οὐ χρὴ τοῖς ἱεροῖς χρήμασι χρῆσθαι, οὐδὲ καταλιπεῖν εἰς τὸν ἀεὶ χρόνον τοῖς παισὶν ἔγκλημα τοῦτο εἰς τὰς Θεούς. ὡς δὲ καὶ ἐν τῷ κοινῷ ἀπέδοξε μηκέτι χρῆσθαι τοῖς ἱεροῖς χρήμασι, ταχὺ δὴ οἱ μὲν οὐκ ἂν δυνάμενοι ἄνευ μισθοῦ τῶν Ἐπαρίτων εἶναι, διεχέοντο· οἱ δὲ δυνά-

quidem temporis ſpatio potuerint illos, qui fortes non ſunt, fortes reddere.

33. Caeterum quum Arcadum praefecti pecuniis ſacris vterentur, et iis Eparitos alerent: primi Mantinei, facto decreto, prohibuere, ne pecunia ſacra fas eſſet vti. Quumque partem ratam, quae ipſorum nomine deberetur Eparitis, ex vrbe ſua coegiſſent; eam praefectis miſere. Verum illi, quum ab eis ſocietatem Arcadicam labefactari dicerent, Mantineorum praeſides ad magiſtratum, qui ex decies millibus conſtabat, in ius vocabant. Et quia Mantinei non parebant, lata in eos damnationis ſententia, mittunt Eparitos, qui damnatos adducerent. Verum Mantinei, portis ſuis occluſis, in vrbem illos non admittebant.

34. Secundum ea nonnulli etiam ex iſtis decies millibus aiebant, non vſurpandas eſſe pecunias ſacras, neque crimen illud violatae religionis Deûm poſteris, in omne deinceps aeuum, relinquendum eſſe. Poſteaquam etiam publico in concilio ſacrarum pecuniarum vſurpatio reiecta erat, mox Epariti, quotquot ſtipendio carere non poterant, dilabebantur: qui vero

δυνάμενοι, παρακελευσάμενοι αὐτοῖς, καθίσανλο εἰς τὰς Επαρίτας, ὅπως μὴ αὐτοὶ ἐπ' ἐκείνοις, ἀλλ' ἐκεῖνοι ἐπὶ σφίσιν εἶεν. γνόντες δὲ οἱ τῶν ἀρχόντων διακεχειρικότες τὰ ἱερὰ χρήματα, ὅτι εἰ δώσοιεν εὐθύνας, κινδυνεύσειαν ἀπολέσθαι, πέμπουσιν εἰς Θήβας, καὶ διδάσκουσι τοὺς Θηβαίους, ὡς εἰ μὴ στρατεύσειαν, κινδυνεύσαιεν οἱ Αρκάδες πάλιν λακωνίσαι.

λέ. Καὶ οἱ μὲν παρεσκευάζοντο, ὡς στρατευσόμενοι· οἱ δὲ τὰ κράτιστα τῇ Πελοποννήσῳ βουλευόμενοι, ἔπεισαν τὸ κοινὸν τῶν Αρκάδων, πέμψαντας πρέσβεις εἰπεῖν τοῖς Θηβαίοις, μὴ ἰέναι σὺν ὅπλοις εἰς τὴν Αρκαδίαν, εἰ μή τι καλοῖεν. καὶ ἅμα μὲν ταῦτα πρὸς τοὺς Θηβαίους ἔλεγον, ἅμα δὲ ἐλογίζοντο, ὅτι πολέμου οὐδὲν δέοιτο. τῷ τε γὰρ ἱερῷ τῷ Διὸς προεστάναι, οὐδὲν προσδεῖσθαι ἐνόμιζον· ἀλλ' ἀποδιδόντες ἂν, καὶ δικαιότερα καὶ ὁσιώτερα ποιεῖν, καὶ τῷ θεῷ οἴεσθαι μᾶλλον ἂν οὕτω χαρίζεσθαι. βουλομένων δὲ ταῦτα καὶ τῶν Ηλείων, ἔδοξεν ἀμφοτέροις εἰρήνην ποιήσασθαι· καὶ ἐγένοντο σπονδαί.

λς'. Γενο-

vero poterant, ſe mutuo cohortati, Eparitorum in locum ſuccedebant, ne in illorum ipſi, ſed illi in ipſorum eſſent poteſtate. Praefecti autem, qui pecuniam ſacram tractauerant, quum ſe animaduerterent, ſi rationes eſſent reddendae, de vita periclitaturos: Thebas mittunt, ac Thebanos monent, ni expeditionem ſuſciperent, periculum fore, ne rurſus Arcades ad Lacedaemoniorum partes tranſirent.

35. Itaque Thebani ad eam ſe militiam accingebant. Contra, qui optime Peloponneſo conſultum vellent, Arcadum communi perſuadebant, vt, miſſis legatis, dici Thebanis iuberent; ne Arcadiam armati, niſi arceſſiti fuiſſent, ingrederentur. Neque tantum haec Thebanis denuntiabant, ſed etiam certis rationibus permoti ſtatuebant, bello ſibi minime opus eſſe. Quippe cauſſam nullam putabant, quamobrem ipſi Iouis ſano praeeſſent: adeoque ſe iuſtius ac religioſius facturos arbitrabantur, magiſque gratificaturos Deo, ſi fanum Eleis reſtituerent. Quod quum Eleis etiam placeret, vtriſque viſum eſt, pacem eſſe faciendam: eoque factum, vt inter ſe foedus inirent.

36. Poſt-

λς'. Γενομένων δὲ τῶν ὅρκων, καὶ ὀμοσάντων τῶν τε ἄλλων ἁπάντων, καὶ τῶν Τεγεητῶν, καὶ αὐτῷ τῷ Θηβαίῳ, ὃς ἐτύγχανεν ἐν τῇ Τεγέᾳ ἔχων ὁπλίτας τριακοσίους τῶν Βοιωτῶν, οἱ μὲν ἄλλοι Ἀρκάδες ἐν τῇ Τεγέᾳ αὐτῷ καταμένοντες, ἐδειπνοποιοῦντό τε καὶ εὐθυμοῦντο, καὶ σπονδὰς, καὶ παιᾶνας, ὡς εἰρήνης γεγενημένης, ἐποιοῦντο· οἱ δὲ Θηβαῖοι, καὶ τῶν ἀρχόντων οἱ φοβούμενοι τὰς εὐθύνας, σύν τε τοῖς Βοιωτοῖς καὶ τοῖς ὁμογνώμοσι τῶν Ἐπαρίτων, κλείσαντες τὰς πύλας τῷ τῶν Τεγεατῶν τείχους, πέμποντες ἐπὶ τὰς συσκηνοῦ[ντ]ας, συνελάμβανον τοὺς βελτίστους. ἅτε δὴ ἐκ πασῶν τῶν πόλεων παρόντων τῶν Ἀρκάδων, καὶ πάντων εἰρήνην βουλομένων ἔχειν, πολλοὺς ἔδει τοὺς συλλαμβανομένους εἶναι· ὥστε ταχὺ μὲν αὐτοῖς τὸ δεσμωτήριον μεστὸν ἦν, ταχὺ δὲ ἡ δημοσία οἰκία.

λζ'. Ὡς δὲ πολλοὶ οἱ εἰργμένοι ἦσαν, πολλοὶ δὲ κατὰ τείχους ἐκπεπηδηκότες, ἦσαν δὲ οἳ καὶ διὰ τῶν πυλῶν ἀφεῖντο, (οὐδεὶς γὰρ οὐδενὶ ὠργίζετο, ὅστις μὴ ᾤετο ἀπολεῖσθαι)

36. Posteaquam in hoc praestitum esset sacramentum, iamque non solum alii omnes, sed ipsi quoque Tegeatae vna cum eo Thebano, qui Tegeae ccc armaturae grauis peditibus Boeotis praeerat, iurassent: Arcades alii Tegeae manentes, conviuiis ac hilaritati vacabant, libationes instituebant, paeanas decantabant, quasi iam pace constituta. Thebani vero, praefectique Arcadum, quotquot a reddendis rationibus sibi metuebant, itemque Boeoti et Epariti, quotquot eadem erant in sententia; clausis Tegeae portis, ac missis hinc inde lictoribus ad eos, qui agitabant conviuia, praecipuos quosque capiunt. Et quoniam ex omnibus oppidis Arcades eo confluxerant, omnesque pacem exposcerent: multos capi necesse erat. Quo factum, vt illico tum carcer, tum domus vrbis publica compleretur.

37. Posteaquam multi iam essent in vincula coniecti, multi de muro desiliissent, quidam etiam per portas emitterentur, (quod esset nemo, qui cuiquam succenseret, extra illos, qui se capite multandos existimabant)

θαι) ἀποξῆσαι δὴ μάλιστα ἐποίησε τόν τε Θηβαῖον, καὶ τὰς μετ' αὐτῶ ταῦτα πράττοντας, ὅτι Μαντινέας, ὧς μάλιστα ἐβούλοντο λαβεῖν, ὀλίγας τινὰς πάνυ εἶχον. διὰ γὰρ τὸ ἐγγὺς τὴν πόλιν εἶναι, σχεδὸν πάντες ᾤχοντο οἴκαδε.

λη. Ἐπεὶ δὲ ἡμέρα ἐγένετο, καὶ τὰ πεπραγμένα ἐπύθοντο οἱ Μαντινεῖς, εὐθὺς πέμποντες εἰς τὰς ἄλλας Ἀρκαδικὰς πόλεις, προηγόρευον ἐν τοῖς ὅπλοις εἶναι, καὶ φυλάττειν τὰς πόλεις. καὶ αὐτοὶ δὲ ὅτως ἐποίουν, καὶ ἅμα πέμψαντες εἰς Τέγεαν, ἀπῄτουν ὅσους ἔχοιεν ἄνδρας Μαντινεῖς· καὶ τῶν ἄλλων δὲ Ἀρκάδων οὐδένα ἀξιοῦν ἔφασαν ὅτε δεδέσθαι, ὅτε ἀποθνήσκειν πρὸ δίκης. * καὶ εἴ τινας ἐπιτιῶντο, ἔλεγον ἀπαγγέλλοντες, ὅτι ἡ τῶν Μαντινέων πόλις ἐγγυῷτο, ἢ μὴν παρέξειν εἰς τὸ κοινὸν τῶν Ἀρκάδων, ὁπόσους τὶς προσκαλοῖτο.

λθ'. Ἀκούων δ' ὁ Θηβαῖος, ἠπόρει τὲ ὅ, τι χρήσαιτο τῷ πράγματι, καὶ ἀφίησι πάντας τοὺς ἄνδρας. καὶ τῇ

mabant) in maximam Thebanum, et alios, qui haec vna cum ipso agebant, sollicitudinem coniecit, quod Mantineos, quos imprimis capere volebant, sanequam paucos comprehendissent. Nam plerique omnes domum se contulerant, quippe qui non procul a Tegea distarent.

38. Quum illuxisset, et de iis, quae gesta erant, Mantinei certiores facti essent; continuo missis ad caeteras vrbes Arcadicas nuntiis, vt in armis essent, oppidaque sua praesidiis munirent, denuntiabant; quod quidem ipsi quoque faciebant. Simul Tegeam quosdam ire iubent, ac reddi sibi, quoscunque Mantineos haberent, postulabant. Praeterea non aequum aiebant esse, quenquam ex caeteris etiam Arcadibus aut vinciri, aut morte multari, prius quam de caussa cognitum esset. Quod si haberent, in quo culparent aliquos; per eosdem nuntios suos indicabant, sancte Mantineorum rempublicam spondere, se exhibituram in concilio Arcadum publico, quotquot tandem in ius aliqnis vocare vellet.

39. Haec quum Thebanus ille audiret, quid hac in re ageret, ambigebat: adeoque captivis

* Al. καί τινες.

τῇ ὑστεραίᾳ συγκαλέσας τῶν Ἀρκάδων ὁπόσοι γε δὴ συνελθεῖν ἠθέλησαν, ἀπελογεῖτο, ὡς ἐξαπατηθείη. ἀκοῦσαι γὰρ ἔφη, ὅτι Λακεδαιμόνιοί τε εἶεν σὺν τοῖς ὅπλοις ἐπὶ τοῖς ὁρίοις, προδιδόναι τε αὐτοῖς μέλλοιεν τὴν Τέγεαν τῶν Ἀρκάδων τινές. οἱ δὲ ἀκούσαντες, ἐκεῖνον μὲν, καίπερ γιγνώσκοντες ὅτι ἐψεύδετο περὶ σφῶν, ἀφίεσαν· πέμψαντες δ' εἰς Θήβας πρέσβεις, κατηγόρουν αὐτοῦ, ὡς δεῖν ἀποθανεῖν.

μ'. Τὸν δ' Ἐπαμινώνδαν ἔφασαν (καὶ γὰρ στρατηγῶν τότε ἐτύγχανε) λέγειν, ὡς πολὺ ὀρθότερον ποιήσειεν, ὅτε συνελάμβανε τοὺς ἄνδρας, ἢ ὅτε ἀφῆκε. τὸ γὰρ, ἡμῶν δι' ὑμᾶς εἰς πόλεμον κατασησάντων, ὑμᾶς ἄνευ τῆς ἡμετέρας γνώμης εἰρήνην ποιεῖσθαι, πῶς ἂν δικαίως προδοσίαν τις ὑμῶν τοῦτο κατηγορεῖ; εὖ δ' ἴστε, ἔφη, ὅτι ἡμεῖς καὶ στρατευσόμεθα εἰς τὴν Ἀρκαδίαν, καὶ σὺν τοῖς τὰ ἡμέτερα φρονοῦσι πολεμήσομεν.

ΚΕΦ.

vis omnibus dimissis, postridie conuocabat Arcades, quotquot conuenire volebant; seque purgabat, ac deceptum esse dicebat. Etenim se narrabat accepisse, Lacedaemonios armatos in finibus adesse, ac nonnullos Arcades Tegeam illis prodere velle. Quae quum illi audiissent, dimittunt hominem, quanquam eum de Arcadibus mentiri scirent. Inde legatis Thebas missis, sic eum accusabant, vt morte multandum statuerent.

40. Dixisse tunc Epaminondam ferunt, qui Thebanorum id temporis Imperator erat, rectius hominem fecisse tum, quum Arcades comprehenderet, quam quum dimitteret. Nam cur non, inquit, aliquis de proditione iure vos accuset; qui, quum nos vestri caussa bellum geramus, sine consensu nostro pacem fecistis? Enimuero scitote, inquit, susceturos nos expeditionem in Arcadiam, ac bellum gesturos vna cum iis, qui partes nostras sequuntur.

ΚΕΦ. ε'.

Ως δὲ ταῦτα ἀπηγγέλθη πρός τε τὸ κοινὸν τῶν Ἀρκάδων, καὶ τὰς πόλεις, ἐκ τούτου ἀνελογίζοντο Μαντινεῖς τε, καὶ τῶν ἄλλων Ἀρκάδων οἱ κηδόμενοι τῆς Πελοποννήσου, ὡσαύτως δὲ καὶ Ἠλεῖοι καὶ Ἀχαιοὶ, ὅτι οἱ Θηβαῖοι δῆλοι εἶεν ὡς ἀσθενεστάτην βουλόμενοι τὴν Πελοπόννησον εἶναι, ὅπως ὡς ῥᾷστα αὐτὴν καταδουλώσαιντο.

β'. Τί γὰρ δὴ πολεμεῖν ἡμᾶς βούλονται; ἢ ἵνα ἡμεῖς μὲν ἀλλήλους κακῶς ποιῶμεν, ἐκείνων δ' ἀμφότεροι δεώμεθα; ἢ τί, λεγόντων ἡμῶν, ὅτι σὺ δεόμεθα αὐτῶν ἐν τῷ παρόντι, παρασκευάζονται ὡς ἐξιόντες; σὺ δῆλον, ὡς ἐπὶ τὸ κακόν τι ἡμᾶς ἐργάζεσθαι στρατεύσιν παρασκευάζονται;

γ'. Ἔπεμπον δὲ καὶ Ἀθήναζε, βοηθεῖν κελεύοντες, ἔπεμψαν δὲ καὶ εἰς Λακεδαίμονα πρέσβεις ἀπὸ τῶν Ἐπαρίτων, παρακαλοῦντες Λακεδαιμονίους, εἰ βούλοιντο κοινῇ διακωλύειν,

CAP. V.

Poſteaquam haec ad commune Arcadum, eorumque vrbes renuntiata fuiſſent: tum vero ſecum ipſi cogitare coeperunt Mantinei, aliique Arcades, qui de Peloponneſo erant ſolliciti, itidemque Elei et Achaei, palam Thebanos id moliri, vt Peloponneſi vires quammaxime adtererent, quo eam ſine vlla difficultate in ſeruitutem redigerent.

2. Nam cur tandem bellum nos volunt gerere? num eam ob cauſſam, vt ipſi noſmet mutuo perdamus, et vtrique ipſorum indigeamus? Cur ad expeditionem accingunt ſe, quum nos dicamus, in hoc tempore nobis opera ipſorum non opus eſſe? An non manifeſtum eſt, eos idcirco ſe ad hanc expeditionem parare, vt aliquo nos damno afficiant?

3. Hinc Athenas ſuos mittunt, qui Athenienſes ad ferendum opem cohortarentur. Praeterea legatos exEparitis mittunt Lacedaemonem, ac Lacedaemonios hortantur, vt communibus auxiliis prohiberent, ne qui Peloponneſum

κωλύειν, ἄν τινες ἴωσι καταδυλωσόμενοι τὴν Πελοπόννησον. περὶ μέντοι ἡγεμονίας αὐτόθεν διεπράττοντο, ὅπως ἐν τῇ ἑαυτῶν ἕκαστοι ἡγήσοιντο.

δ'. Εν ὅσῳ δὲ ταῦτ' ἐπράττετο, Επαμινώνδας ἐξήει, Βοιωτοὺς ἔχων πάντας, καὶ Εὐβοέας, καὶ Θετταλῶν πολλοὺς παρά τε Αλεξάνδρου, καὶ τῶν ἐναντίων αὐτῷ. Φωκεῖς μέντοι οὐκ ἠκολούθουν, λέγοντες, ὅτι συνθῆκαι σφίσιν αὐτοῖς εἶεν, εἴ τις ἐπὶ Θήβας ἴοι, βοηθεῖν· ἐπ' ἄλλους δὲ στρατεύειν, οὐκ εἶναι ἐν ταῖς συνθήκαις.

ε'. Ο μέντοι Επαμινώνδας ἐλογίζετο, καὶ ἐν Πελοποννήσῳ σφίσιν ὑπάρχειν Αργείους τε, καὶ Μεσσηνίους, καὶ Αρκάδων τοὺς τὰ σφέτερα φρονοῦντας. ἦσαν δὲ ὅτοι Τεγεάται, καὶ Μεγαλοπολῖται, καὶ *Ασθεᾶται, καὶ Παλαντεῖς**, καὶ εἴ τινες δὴ πόλεις, διὰ τὸ σμικραί τε εἶναι, καὶ ἐν μέσαις ταύταις οἰκεῖν, ἠναγκάζοντο.

ς'. Εξῆλθε μέντοι ὁ Επαμινώνδας διὰ ταχέων. ἐπεὶ δὲ ἐγένετο ἐν Νεμέᾳ, ἐνταῦθα διέτριβε, νομίζων τοὺς Αθηναίους

ponnesum in seruitutem redigerent. Impetratum etiam inde de principatu, nimirum vt singuli suos intra fines aliis praeessent.

4. Interea dum haec agebantur, domo Epaminondas proficiscebatur, ac secum Boeotos omnes, Euboenses, Thessalos multos, quos partim ab Alexandro, partim ab eius aduersariis acceperat, ducebat. Phocenses tamen non sequebantur, quum iis conditionibus initum foedus esse dicerent; vt, si quis Thebanos inuaderet, opem ferrent: verum vt aduersus alios cum eis militatum irent, id in foedere comprehendi negabant.

5. Et existimabat Epaminondas, suis a partibus futuros in Peloponneso Argiuos, Messenios, Arcades eos, qui rebus Thebanorum fauebant. Erant hi Tegeatae, Megalopolitani, Astheatae, Palantini, et quotquot oppida, propterea quod essent exigua, et horum in medio sita, sequi eos cogebantur.

6. Copias ergo celeriter Epaminondas eduxit: quumque Nemeam ingressus esset, nonnihil istic commorabatur, quod intercepturum se transeuntes Athenienses putaret. Nam

* Al. Ασιᾶται. ** Παλαντιεῖς *Palmerius.*

ναίας παριόντας λήψεσθαι, καὶ οἰόμενος μέγα ἂν τοῦτο γενέσθαι τοῖς μὲν σφετέροις συμμάχοις, εἰς τὸ ἐπιῤῥῶσαι αὐτούς· τοῖς δὲ ἐναντίοις, εἰς τὸ εἰς ἀθυμίαν ἐμπεσεῖν. ὡς δὲ συνελόντι εἰπεῖν, πᾶν ἀγαθὸν εἶναι Θηβαίοις, ὅτι ἐλαττοῦντο Ἀθηναῖοι.

ζ'. Ἐν δὲ τῇ διατριβῇ αὐτοῦ ταύτῃ συνῆσαν πάντες οἱ ὁμοφρονοῦντες εἰς τὴν Μαντίνειαν. ἐπεὶ μέντοι ὁ Ἐπαμινώνδας ἤκουσε, τοὺς Ἀθηναίους τὸ μὲν κατὰ γῆν πορεύεσθαι ἀπεγνωκέναι, κατὰ θάλατταν δὲ παρασκευάζεσθαι, ὡς διὰ Λακεδαίμονος βοηθήσοντας τοῖς Ἀρκάσιν, οὕτω δὴ ἀφορμήσας ἐκ τῆς Νεμέας, ἀφικνεῖται εἰς τὴν Τέγεαν.

η'. Εὐτυχῆ μὲν δή ἔγωγε οὐκ ἂν φήσαιμι τὴν στρατείαν αὐτῷ γενέσθαι· ὅσα μέντοι προνοίας ἔργα καὶ τόλμης ἐστίν, οὐδέν μοι δοκεῖ ἀνὴρ ἐλλείπειν. πρῶτον μὲν γὰρ ἔγωγε ἐπαινῶ αὐτοῦ, ὅτι τὸ στρατόπεδον ἐν τῷ τείχει τῶν Τεγεατῶν ἐποιήσατο· ἔνθ' ἐν ἀσφαλεστέρῳ τε ἦν, ἢ εἰ ἔξω ἐστρατοπεδεύσατο, καὶ τοῖς πολεμίοις ἐν ἀδηλοτέρῳ ὅ, τι πράττοιτο. καὶ παρασκευάζεσθαι δὲ, εἴ τι δέοιτο, ἐν τῇ πόλει

magnum hoc quiddam fore ducebat, quod ſuorum quidem ſociorum animos confirmare poſſet; hoſtium vero, ad deſperationem adigere. Atque, vt breuiter dicam, omnino Thebanis emolumento futurum exiſtimabat, quidquid Athenienſes detrimenti accepiſſent.

7. Interim dum ille hoc loco diutius haeret, Peloponneſii omnes, quotquot conſentiebant, apud Mantineam conuenere. Quum autem audiiſſet Epaminondas, Athenienſes, mutato conſilio, non iam terra facturos iter, ſed mari ſe parare, vt per Lacedaemonem Arcadibus opem ferrent: motis e Nemea caſtris, Tegeam profectus eſt.

8. Atque equidem hanc illi expeditionem feliciter ceſſiſſe, non poſſum dicere: quae vero tum prouidentiae, tum audaciae facinora ſunt, ea deſiderari mihi in hoc viro minime poſſe videntur. Nam primum hoc non poſſum non praedicare, quod intra Tegeatarum muros caſtra locaverit: quo loco erant tutiora, quam ſi foris ea locaſſet, ac quid ageret, minus ab hoſtibus ſciri poterat. Praeterea ſi qua re opus eſſet, eam facilius in vrbe

πόλει ὄντι εὐπορώτερον ἦν. τῶν δὲ ἑτέρων ἔξω στρατευομένων, ἐξῆν ὁρᾶν, εἴτε τι ὀρθῶς ἐπράττετο, εἴτε τι ἡμάρτανον. καὶ μὴν οἰόμενος κρείττων τῶν ἀντιπάλων εἶναι, ὁπότε ὁρῴη χωρίοις πλεονεκτοῦντας αὐτούς, οὐκ ἐξήγετο ἐπιτίθεσθαι.

θ'. Ὁρῶν δὲ ὅτε πόλιν προσχωροῦσαν αὐτῷ ὀδεμίαν, τόν τε χρόνον ἐξήκοντα, ἐνόμισε πρακτέον τι εἶναι· εἰ δὲ μή, ἀντὶ τῆς πρόσθεν εὐκλείας πολλὴν ἀδοξίαν προσεδέχετο. ἐπεὶ δ' ἦν κατεμάνθανε περὶ μὲν Μαντίνειαν τοὺς ἀντιπάλους πεφυλαγμένους, μεταπεμπομένους δὲ Ἀγησίλαόν τε καὶ πάντας τοὺς Λακεδαιμονίους, καὶ ἤδετο ἐξεστρατευμένον τὸν Ἀγησίλαον, καὶ ὄντα ἤδη ἐν Πελλήνῃ, δειπνοποιησάμενος, παραγγείλας, ἡγεῖτο τῷ στρατεύματι εὐθὺς ἐπὶ Σπάρτῃ.

ί. Καὶ εἰ μὴ Κρὴς, θεία τινὶ μοίρᾳ προσελθὼν, ἐξήγγειλε τῷ Ἀγησιλάῳ προσιὸν τὸ στράτευμα, ἔλαβεν ἂν τὴν πόλιν ὥσπερ νεοττιὰν, παντάπασιν ἔρημον τῶν ἀμυνομένων. ἐπεὶ μέντοι, προπυθόμενος ταῦτα Ἀγησίλαος, ἔφθη εἰς

vrbe parare poterat. Hoſtes vero quum caſtra extra oppida haberent, perſpici poterat, ſiue quid recte gererent, ſeu perperam. Et quia ſuperiorem ſe hoſtibus eſſe putabat: quoties eos locorum commoditates habere videbat, non educebat ſuos, vt illos inuaderet.

9. Poſteaquam vero nullam ad ſe vrbem deficere cerneret, ac tempus elabi: gerendum aliquid eſſe putabat, quod quidem niſi faceret, pro hactenus parta gloria magnam infamiam expectabat. Itaque quum factus eſſet certior, hoſtes apud Mantineam magna cum cura ſe muniuiſſe, ac Ageſilaum omnesque Lacedaemonios arceſſere, iamque adeo cum copiis Ageſilaum domo profectum apud Pellenen eſſe animaduerteret: ſumta coena, denuntiatoque militibus itinere, recta Spartam copias ducit.

10. Quod niſi diuino quodam fato Cretenſis quidam ad Ageſilaum contendens, ei copias Epaminondae aduentare nuntiaſſet: cepiſſet Spartam, quaſi quendam nidum, omnino a defenſoribus deſertam. Quum autem Ageſilaus, his ante compertis, conatum hoſtis in adeunda vrbe praecepiſſet: Spar-

εἰς τὴν πόλιν ἀπελθὼν, διαταξάμενοι οἱ Σπαρτιάται ἐφύλαττον καὶ μάλα ὀλίγοι ὄντες. οἵ τε γὰρ ἱππεῖς αὐτοῖς πάντες ἐν Ἀρκαδίᾳ ἀπῆσαν, καὶ τὸ ξενικὸν, καὶ τῶν λόχων *δέκα ὄντων οἱ τρεῖς.

ια'. Ἐπεὶ δὲ ἐγένετο Ἐπαμινώνδας ἐν τῇ πόλει τῶν Σπαρτιατῶν, ὅπῃ μὲν ἔμελλον ἔν τε ἰσοπέδῳ μαχεῖσθαι, καὶ ἀπὸ τῶν οἰκιῶν βληθήσεσθαι, ἂν εἰσῄει ταύτῃ, ἀδὲ ὅπῃ γε μηδὲν πλέον μαχεῖσθαι τῶν ὀλίγων, πολλοὶ ὄντες· ἔνθεν δὲ πλεονεκτεῖν ἂν ἐνόμιζε, τοῦτο λαβὼν τὸ χωρίον, κατέβαινε, καὶ ἂν ἀνέβαινεν εἰς τὴν πόλιν.

ιβ'. Τό, τε γεμὴν ἐντεῦθεν γενόμενον, ἔξεστι μὲν τὸ θεῖον αἰτιᾶσθαι, ἔξεστι δὲ λέγειν, ὡς τοῖς ἀπονενοημένοις ἀδεὶς ἂν ὑποσταίη. ἐπεὶ γὰρ ἦγεῖτο Ἀρχίδαμος ἀδὲ ἑκατὸν ἔχων ἄνδρας, καὶ διαβὰς (ὅπερ ἐδόκει τι ἔχειν κώλυμα) ἐπορεύετο** ἐπὶ τὰς ἀντιπάλους, ἐνταῦθα δὴ οἱ πῦρ πνέοντες, οἱ νενικηκότες τὰς Λακεδαιμονίους, οἱ τῷ παντὶ πλέονες, καὶ πρὸς τούτοις, ὑπερδέξια χωρία ἔχοντες, ἂν ἐδέξαντο τὰς

tani, diſpoſitis hinc inde ſuis, quanquam perpauci eſſent, vrbem tamen cuſtodiebant. Nam et equites eorum iam in Arcadiam diſceſſerant, et copiae mercenariae, et ex decem cohortibus tres.

11. Poſteaquam Epaminondas Spartam veniſſet, non vrbem illac ingrediebatur, vbi vel pugnam hoſtes in planitie commiſſuri erant, vel tela de aedificiis deiecturi, vel vbi nihilo plus in pugna multi, quam pauci erant effecturi: ſed loco quodam occupato, quo ſe ſuperiorem fore putabat, ita in vrbem deſcendit, non aſcendit.

12. Caeterum quod deinde accidit, partim numini poteſt adſcribi, partim dici, deſperatis neminem poſſe reſiſtere. Nam quum Archidamus vix centum viros duceret, ac non ſolum traieciſſet, id quod impediri potuiſſe quodammodo videbatur, ſed etiam in locum arduum verſus hoſtes pergeret: tum illi, qui ſpirabant ignem, qui Lacedaemonios deuicerant, qui rebus omnibus ſuperiores erant, ac praeterea loco erant excelſiore, non excepere militum, quos Archidamus ſecum

* Al. δώδεκα.

** Legit Leuncl. ἐπορ. πρὸς ὑρθίαν ἐπὶ τ.

τὰς περὶ τὸν Αρχίδαμον, ἀλλ' ἐγκλίνασι. καὶ οἱ μὲν πρῶτοι τῶν Επαμινώνδᾳ ἀποθνήσκασιν.

ιγ'. Επεὶ μέντοι ἀγαλλόμενοι τῇ νίκῃ ἐδίωξαν οἱ ἔνδοθεν πορρωτέρω τοῦ καιροῦ, ὅτοι αὖ ἀποθνήσκασι. περιεγέγραπτο γὰρ, ὡς ἔοικεν, ὑπὸ τοῦ θείου, μέχρις ὅσου ἡ νίκη ἐδέδοτο αὐτοῖς. καὶ ὁ μὲν δὴ Αρχίδαμος τρόπαιόν τε ἵστατο ἔνθα ἐπεκράτησε, καὶ τὰς ἐνταῦθα πεσόντας τῶν πολεμίων ὑποσπόνδους ἀπεδίδου.

ιδ'. Ο δ' Επαμινώνδας λογιζόμενος, ὅτι οἱ Αρκάδες βοηθήσαιεν εἰς τὴν Λακεδαίμονα, ἐκείνοις μὲν οὐκ ἐβούλετο καὶ πᾶσι Λακεδαιμονίοις ὁμοῦ γενομένοις μάχεσθαι, ἄλλως τε καὶ εὐτυχηκόσι, τῶν δὲ ἀποτετυχηκότων. πάλιν δὲ πορευθεὶς ὡς ἐδύνατο τάχιστα εἰς τὴν Τέγεαν, τοὺς μὲν ὁπλίτας ἀνέπαυσε, τοὺς δὲ ἱππέας ἔπεμψεν εἰς τὴν Μαντίνειαν, δεηθεὶς αὐτῶν προσκαρτερῆσαι, καὶ διδάσκων, ὡς πάντα μὲν εἰκὸς ἔχω εἶναι τὰ τῶν Μαντινέων βοσκήματα, πάντας δὲ τοὺς ἀνθρώπους, ἄλλως τε καὶ σίτου συγκομιδῆς οὔσης. καὶ οἱ μὲν ὤχοντο. ιε'. Οἱ

secum habebat, impetum; sed terga dedere, atque adeo primi, qui apud Epaminondam erant, occisi sunt.

13. Quum autem exultarent Lacedaemonii ob victoriam, ideoque persequerentur intempestiuius: rursus et ipsi quosdam amisere: Nam descripti diuinitus erant, vti quidem videtur, concessae ipsis victoriae certi quidam fines. Archidamus, eo loco, quo victoria potitus fuerat, tropaeum excitauit; et eos, qui ex hostibus istic interemti erant, per inducias reddidit.

14. Epaminondas autem secum ipse perpendens, futurum vt Arcades Lacedaemonem opis ferendae causa concurrerent; nolebat simul cum ipsis, et Lacedaemoniis vniuersis, posteaquam conuenissent, pugnare: praesertim quum res ipsis feliciter cessisset, suis male. Quamobrem rursus quam celerrime Tegeam contendens, graui armaturae quiescendi spatium concessit: equitatum Mantineam misit, rogatum, vti labores eos constanter ferret; simul monitum, consentaneum esse, pecora Mantineos vniuersa iam extra vrbem habere, itemque viros omnes, praesertim id temporis, quo frumentum in vrbem conueheretur. Itaque susscipiebant iter.

ιέ. Οἱ δ' Ἀθηναῖοι ἱππεῖς ὁρμηθέντες ἐξ Ἐλευσῖνος, ἐδειπνοποιήσαντο μὲν ἐν Ἰσθμῷ· διελθόντες δὲ καὶ τὰς Κλεωνὰς, ἐτύγχανον προσιόντες εἰς τὴν Μαντίνειαν, καὶ κατασκατοπεδευσάμενοι ἐντὸς τείχους ἐν ταῖς οἰκίαις. ἐπεὶ δὲ δῆλοι ἦσαν προσελαύνοντες οἱ πολέμιοι, ἐδέοντο οἱ Μαντινεῖς τῶν Ἀθηναίων ἱππέων βοηθῆσαι, εἴ τι δύναιντο· ἔξω γὰρ εἶναι καὶ τὰ βοσκήματα πάντα, καὶ τὰς ἐργάτας, πολλὰς δὲ καὶ παῖδας καὶ γεραιτέρας τῶν ἐλευθέρων. ἀκούσαντες δὲ ταῦτα οἱ Ἀθηναῖοι ἐβοηθοῦσιν, ἔτι ὄντες ἀνάριστοι καὶ αὐτοὶ, καὶ οἱ ἵπποι.

ις'. Ἐνταῦθα δὴ τούτων αὖ τὴν ἀρετὴν τίς οὐκ ἂν ἀγαθείη; οἳ καὶ πολὺ πλείονας ὁρῶντες τὰς πολεμίας, καὶ δυστυχήματος γεγενημένου ἐν Κορίνθῳ τοῖς ἱππεῦσιν, οὐδὲν τούτου ἐπελογίσαντο, οὐδὲ ὅτι καὶ Θηβαίοις ἅμα καὶ Θετταλοῖς, τοῖς κρατίστοις ἱππεῦσιν εἶναι δοκοῦσιν, ἔμελλον μάχεσθαι· ἀλλ' αἰσχυνόμενοι, εἰ παρόντες μηδὲν ὠφελήσειαν τὰς συμμάχους, ὡς εἶδον τάχιστα τὰς πολεμίας, συνέβαλλον, ἐρῶντες ἀνασώσασθαι τὴν πατρῴαν δόξαν.

ιζ'. Καὶ

15. Interea profecti Eleusine Athenienſium equites, apud Iſthmum coena ſumpta, quum Cleonas tranſiiſſent; forte ad Mantineam accedebant, et caſtra intra muros ipſis in aedificiis habebant. Quum autem pateret iam aduentare hoſtes, Mantinei Athenienſium equitum opem implorare, ſi quid illi poſſent. Dicere pecora vniverſa foris eſſe, itemque operas, et multos tum pueros, tum prouectioris aetatis homines ingenuos. Quibus Athenienſes auditis, quanquam necdum vel ſe prandio, vel equos pabulo refeciſſent, tamen opem ferebant.

16. Atque heic quis eorum virtutem non admiretur? qui quum hoſtes ſe longe maiores habere copias cernerent, et adverſum quendam caſum in vrbe Corintho pertuliſſent; nihil horum ad animum reuocarunt, ac ne id quidem, quod ſimul adverſus Thebanos ac Theſſalos, equites hominum opinione longe praeſtantiſſimos, proelio congreſſuri eſſent: ſed turpe ducentes, ſi poſtea quam adueniſſent, nulla re ſociis eſſent adiumento; quamprimum conſpexiſſent hoſtes, manus cum eis conſeruerunt, quum quidem gloriam maiorum tueri cuperent.

17. Hoc

ιζ'. Καὶ μαχόμενοι, αἴτιοι μὲν ἐγένοντο σωθῆναι πάντα τὰ ἔξω τοῖς Μαντινεῦσιν· αὐτῶν δ' ἀπέθανον ἄνδρες ἀγαθοὶ, καὶ ἀπέκτειναν δὲ δηλονότι τοιούτους. ἐδέησε γὰρ ἄτω βραχὺ ὅπλον ἑκάτεροι εἶχον, ὥ ἂν ἐξικνοῦντο ἀλλήλων. καὶ τοὺς μὲν φίλους νεκροὺς ἀνείλοντο, τῶν δὲ πολεμίων ἦν οὓς ὑποσπόνδους ἀπέδοσαν.

ιη'. Ο δ' αὖ Επαμινώνδας, ἐνθυμούμενος, ὅτι ὀλίγων μὲν ἡμερῶν ἀνάγκη ἔσοιτο ἀπιέναι, διὰ τὸ ἐξήκειν τῇ στρατείᾳ τὸν χρόνον· εἰ δὲ καταλείψει ἐρήμους οἷς ἦλθε σύμμαχος, ἐκεῖνοι πολιορκήσοιντο ὑπὸ τῶν ἀντιπάλων, αὐτὸς δὲ λελυμασμένος παντάπασι τῇ ἑαυτοῦ δόξῃ ἔσοιτο, ἡττημένος μὲν ἐν Λακεδαίμονι σὺν πολλῷ ὁπλιτικῷ ὑπ' ὀλίγων, ἡττημένος δὲ ἐν Μαντινείᾳ ἱππομαχίᾳ, αἴτιος δὲ γεγενημένος διὰ τὴν ἐς Πελοπόννησον στρατείαν τοῦ συνεστάναι Λακεδαιμονίους, καὶ Αρκάδας, καὶ Αχαιοὺς, καὶ Ηλείους, καὶ Αθηναίους· ὥστε οὐκ ἐδόκει αὐτῷ δυνατὸν εἶναι ἀμαχεὶ παρελθεῖν, λογιζομένῳ, ὅτι, εἰ μὲν

17. Hoc modo commiſſo proelio, Mantineis omnia, quae foris habebant, ſalua praeſtitere. Ceciderunt ex eis quidam viri fortes, cuiuſmodi ſcilicet ipſi quoque interemerunt. Quippe nemo erat vtrinque, cui tam exiguum telum eſſet, quo ſe mutuo non contingerent. Deinde cadauera ſuorum Athenienſes tollunt, hoſtium cadaueribus quibuſdam per inducias redditis.

18. Atque heic Epaminondas ſecum cogitabat, intra dies paucos ſibi abeundum eſſe neceſſario, quod huic expeditioni deſtinatum tempus effluxiſſet. Iam ſi eos, quibus opitulaturus aduenerat, deſereret; futurum, vt ab hoſtibus illi obſiderentur, ipſe gloriam omnem prorſus amitteret; qui apud Lacedaemonem cum grauis armaturae multis peditibus a paucis victus eſſet, rurſus ad Mantineam equeſtri proelio ſuperatus, denique cauſſam per ſuſceptam hanc in Peloponneſum expeditionem praebuiſſet, ob quam Lacedaemonii, Arcades, Achaei, Elei, Athenienſes, ſe conſociaſſent. Quare fieri non poſſe putabat, vt ſine pugna diſcederet; praeſertim quum ſe potientem victoria de-

nuo

μὲν νικῴη, πάντα ταῦτα ἀναλύσοιτο· εἰ δὲ ἀποθάνοι, καλὴν τὴν τελευτὴν ἡγήσαιτο ἔσεσθαι, πειρωμένῳ τῇ πατρίδι ἀρχὴν Πελοποννήσου καταλιπεῖν.

ιθ'. Τὸ μὲν δὴ αὐτὸν τοιαῦτα διανοεῖσθαι ὑπάνυ μοι δοκεῖ θαυμαστὸν εἶναι· (φιλοτίμων γὰρ ἀνδρῶν τὰ τοιαῦτα διανοήματα) τὸ μέντοι στράτευμα παρεσκευακέναι, ὡς πόνων τε μηδένα ἀποκάμνειν μήτε νυκτὸς, μήτε ἡμέρας, κινδύνου τε μηδενὸς ἀφίσασθαι, σπάνιά τε τὰ ἐπιτήδεια ἔχοντας, ὅμως πείθεσθαι ἐθέλειν, ταῦτά μοι δοκεῖ θαυμαστότερα εἶναι.

κ'. Καὶ γὰρ ὅτε τὸ τελευταῖον παρήγγειλεν αὐτοῖς παρασκευάζεσθαι, ὡς μάχης ἐσομένης, προθύμως μὲν ἐλευκαίνοντο οἱ ἱππεῖς τὰ κράνη, κελεύοντος ἐκείνου· ἐπεγράφοντο δὲ καὶ τῶν Ἀρκάδων ὁπλῖται, ῥόπαλα ἔχοντες, ὡς Θηβαῖοι· πάντες δὲ ἠκονῶντο καὶ λόγχας καὶ μαχαίρας, καὶ ἐλαμπρύνοντο τὰς ἀσπίδας.

κα'. Ἐπεὶ μέντοι ὕτω παρεσκευασμένους ἀπήγαγεν, ἄξιον αὖ κατανοῆσαι, ἃ ἐποίησε. πρῶτον μὲν γὰρ, ὥσπερ

nuo ratiocinaretur aboliturum haec vniuerſa: ſin mortem oppeteret, praeclarum ſe vitae finem conſequuturum exiſtimabat, in conatu relinquendi patriae ſuae Peloponneſi imperium.

19. Atque huiuſmodi quaedam ipſum animo volutaſſe, mirum mihi quidem non videtur. Nam eiuſmodi cogitationes in eos cadunt, qui honoris ac laudis cupidi ſunt. Illa mihi magis admiranda videntur, quod exercitum ſic conſuefecerit; vt laborem nullum defugeret, non interdiu, non noctu: periculum nullum formidaret: quoties commeatus adeſſet exiguus, nihilominus dicto audiens eſſet.

20. Nam quum poſtremum denuntiaſſet ſuis, vti ſe ad pugnam compararent: magna cum animorum alacritate galeas equites ipſo iubente nitidas reddebant, ac nonnulli etiam Arcades grauis armaturae pedites nomina dabant, geſtantes clauas, perinde ac ſi Thebani eſſent: vniuerſi denique tum haſtas tum gladios acuebant, et clypeos detergebant, vt fulgerent.

21. Hoc modo paratos quum abduxiſſet, operae pretium eſt conſiderare, quid deinceps fecerit.

ὥσπερ εἰκὸς, συνετάττετο. τοῦτο δὲ πράττων, σαφηνίζειν ἐδόκει, ὡς εἰς μάχην παρεσκευάζετο. ἐπεὶ γεμὴν ἐτέτακτο αὐτῷ τὸ στράτευμα ὡς ἐβούλετο, τὴν μὲν συντομωτάτην πρὸς τοὺς πολεμίους οὐκ ἦγε, πρὸς δὲ τὰ πρὸς ἑσπέραν ὄρη τῆς Τεγέας καὶ ἀντιπέραν ἡγεῖτο· ὥστε δόξαν παρεῖχε τοῖς πολεμίοις, μὴ ποιήσεσθαι μάχην ἐν ἐκείνῃ τῇ ἡμέρᾳ.

κβ'. Καὶ γὰρ δὴ ὡς πρὸς τῷ ὄρει ἐγένετο, ἐπεὶ ἐξετάθη αὐτῷ ἡ φάλαγξ, ὑπὸ τοῖς ὑψηλοῖς ἔθετο τὰ ὅπλα· ὥστε εἰκάθη στρατοπεδευομένῳ. τοῦτο δὲ ποιήσας, ἔλυσε μὲν τῶν πλείστων πολεμίων τὴν ἐν ταῖς ψυχαῖς πρὸς μάχην παρασκευὴν, ἔλυσε δὲ τὴν ἐν ταῖς συντάξεσιν. ἐπεὶ γεμὴν παραγαγὼν τοὺς ἐπικαίρως* πορευομένους λόχους εἰς μέτωπον, ἰσχυρὸν ἐποιήσατο τὸ περὶ ἑαυτὸν ἔμβολον, τότε δὴ ἀναλαβεῖν παραγγείλας τὰ ὅπλα, ἡγεῖτο· οἱ δ' ἠκολούθουν. οἱ δὲ πολέμιοι ὡς εἶδον παρὰ δόξαν ἐπιόντας, ὑδεὶς αὐτῶν ἡσυχίαν ἔχειν ἠδύνατο· ἀλλ' οἱ μὲν ἔθεον

cerit. Primum, vt par erat, aciem ſtruebat. Id quum faceret, indicare ſcilicet certo volebat, quod ad proelium ſe compararet. Poſteaquam copias ex animi arbitratu inſtruxiſſet, non via maxime compendiaria ducebat in hoſtem: ſed ad Tegeae montes, ſolem occidentem verſus, et e regione ſitos, pergebat. Quo factum, vt iniiceretur hoſtibus opinio, minime ipſum eo die dimicaturum.

22. Etenim poſteaquam ad montem acceſſiſſet, iamque phalanx eius eſſet explicata: ſubſiſtere militem ſub locis eminentibus in armis iubet, adeoque caſtra munientis ſpeciem exhibebat. Atque hac re maxima ex parte in hoſtibus, quem in animis pugnandi ardorem conceperant, extinxit: itemque aciei apparatum diſſoluit. Deinde quum cohortes, quae vtroque progrediebantur in cornu, ad frontem adduxiſſet, aciemque cuneatam eorum, quos circum ſe habebat, firmam reddidiſſet: tum vero, ſuis arma ſumere iuſſis, praecedebat ipſe, milites ſequebantur. Eos quum praeter opinionem ſuam aduentare viderent hoſtes, nemini amplius otioſo eſſe licebat. Alii ſe ad ordines curſu confere-

* Leunc. legi vult ἐπὶ κέρως et ſic vertit.

ἔθεον εἰς τὰς τάξεις, οἱ δὲ παρετάττοντο, οἱ δὲ ἵππους ἐχαλίνων, οἱ δὲ θώρακας ἐνεδύοντο· πάντες δὲ πεισομένοις τι μᾶλλον, ἢ ποιήσουσιν ἐῴκεσαν.

β'. Ὅταν δὲ τοὺς τοιούτους διὰ τὸν φόβον ὑπεξαίρωνται, τίνες ἄλλοι αὐτοῖς καταλείπονται χρῆσθαι, ἀλλ' ἢ οἱ ἄδικοί τε, καὶ ἀκρατεῖς, καὶ ἀνδραποδώδεις; οἱ μὲν ἄδικοι πιστευόμενοι, διότι φοβοῦνται, ὥσπερ οἱ τύραννοι, τὰς πόλεις, μήποτε ἐλεύθεραι γενόμεναι, ἐγκρατεῖς αὐτῶν γένωνται· οἱ δ' ἀκρατεῖς, τῆς εἰς τὸ παρὸν ἐξουσίας ἕνεκα·

ad ſumtus neceſſarios ſemper pecuniis opus ſit. Etenim, perinde ac ſi bellum geratur, vel copias ſemper alant, vel intereant, neceſſe eſt.

CAP. V.

Exponam vero tibi, mi Simonides, etiam aliam quandam regum ſane grauem calamitatem. Etenim non minus norunt quam priuati homines, quinam egregii viri ſint, et ſapientes, et iuſti: ſed quum eos ſuſpicere deberent, metuunt; fortes quidem, ne quid libertatis cauſſa audeant; ſapientes, ne quid artificioſe moliantur; iuſtos, ne plebs eos ſibi praeeſſe cupiat.

2. Quum vero huiuſmodi homines e medio propter metum ſuſtulerint, quinam alii ſunt ipſis reliqui, quorum ſcilicet vti opera poſſunt, quam iniuſti, intemperantes, ſeruiles? Iniuſti, quod his fides habeatur, vtpote qui metuunt aeque, ac tyranni, ne ad libertatem vrbes adſpirent, ac ipſos ſuam in poteſtatem redigant: intemperantes, ob praeſentem

καὶ οἱ δ' ἀνδραποδώδεις, διότι οὐδ' αὐτοὶ ἀξιοῦσιν ἐλεύθεροι εἶναι.

γ'. Χαλεπὸν ἂν καὶ τοῦτο τὸ πάθημα ἔμοιγε δοκεῖ εἶναι, τὸ ἄλλους μὲν ἡγεῖσθαι ἀγαθοὺς ἄνδρας, ἄλλοις δὲ χρῆσθαι ἀναγκάζεσθαι.

δ'. Ἔτι δὲ φιλόπολιν μὲν ἀνάγκη καὶ τὸν τύραννον εἶναι. ἄνευ γὰρ τῆς πόλεως οὐκ ἂν σώζεσθαι δύναιτο, οὐδ' εὐδαιμονεῖν. ἡ δὲ τυραννὶς ἀναγκάζει καὶ ταῖς ἑαυτῶν πατρίσιν ἐγκαλεῖν. ὅτε γὰρ ἀλκίμους, ὅτ' εὐόπλους χαίρουσι τοὺς πολίτας παρασκευάζοντες, ἀλλὰ τοὺς ξένους δυνατωτέρους τῶν πολιτῶν ποιοῦντες ἥδονται μᾶλλον, καὶ τούτοις χρῶνται δορυφόροις.

ε'. Ἀλλὰ μὴν οὐδ' ἂν εὐετηριῶν γενομένων ἀφθονία τῶν ἀγαθῶν γίγνηται, οὐδὲ τότε συγχαίρει ὁ τύραννος. ἐνδεεστέροις γὰρ ὄσι, ταπεινοτέροις αὐτοῖς οἴονται χρῆσθαι.

ΚΕΦ. ς'.

Βούλομαι δέ σοι, ἔφη, ὦ Σιμωνίδη, καὶ εἰκείνας τὰς εὐφροσύνας δηλῶσαι, ὅσαις ἐγὼ χρώμενος ὅτ' ἦν ἰδιώτης,

poteſtatem: ſeruiles, quod ne ipſi quidem liberi eſſe cupiant.

3. Quapropter equidem arbitror, hanc etiam calamitatem grauem eſſe, quod alios quidem viros bonos eſſe ducant, aliis vero vti cogantur.

4. Praeterea neceſſe eſt, etiam tyrannum ciuitatis ſuae ſtudioſum eſſe, quippe qui abſque ciuitate neque ſaluus eſſe poſſit, neque beatus. At cogit eadem tyrannis quoſdam, vt patriam quoque ſuam culpa grauent. Nec enim ciues ſuos fortes efficere, nec armis inſtruere gaudent: ſed magis ipſis volupe eſt, exterorum potentiam ſupra ciues amplificare, atque his ſatellitum loco vtuntur.

5. Quin etiam quum prouentus annonae benignior omnium bonorum vbertatem adfert, ne tum quidem tyrannus communem cum ceteris voluptatem percipit. Exiſtimat enim, ſuos in rerum inopia humilioribus animis futuros.

CAP. VI.

Volo autem tibi, mi Simonides, etiam illas voluptates exponere, quibuſcunque, dum priuatus adhuc eſſem, vtebar:

ἰδιώτης, νῦν, ἐπειδὴ τύραννος ἐγενόμην, αἰσθάνομαι σε-
ρόμενος αὐτῶν.

β. Ἐγὼ γὰρ ξυνῆν μὲν ἡλικιώταις ἡδόμενος ἡδομένοις
ἐμοὶ, συνῆν δὲ ἐμαυτῷ, ὁπότε ἡσυχίας ἐπιθυμήσαιμι·
διῆγον δ' ἐν συμποσίοις πολλάκις μὲν μέχρι τοῦ ἐπιλα-
θέσθαι πάντων, εἴ τι χαλεπὸν ἐν ἀνθρωπίνῳ βίῳ ἦν,
πολλάκις δὲ μέχρι τῆς ᾠδαῖς τε, καὶ θαλίαις, καὶ χοροῖς
τὴν ψυχὴν συγκαταμιγνύναι, πολλάκις δὲ μέχρι κοινῆς
ἐπιθυμίας ἐμῆς τε καὶ τῶν παρόντων.

γ'. Νῦν δὲ ἀπεσέρημαι μὲν τῶν ἡδομένων ἐμοὶ, διὰ
τὸ δῆλος ἀντὶ φίλων ἔχειν τοὺς ἑταίρους· ἀπεσέρημαι δ'
αὖ τοῦ ἡδέως ἐκείνοις ὁμιλεῖν, διὰ τὸ μηδεμίαν ἐνορᾶν εὔ-
νοιαν ἐμοὶ παρ' αὐτῶν. μέθην δὲ καὶ ὕπνον ὁμοίως ἐνέδρας
φυλάττομαι.

δ'. Τὸ δὲ φοβεῖσθαι μὲν ὄχλον, φοβεῖσθαι δ' ἐρη-
μίαν, φοβεῖσθαι δὲ ἀφυλαξίαν, φοβεῖσθαι δὲ καὶ αὐτοὺς
τοὺς φυλάσσοντας, καὶ μήτ' ἀνόπλους ἐθέλειν ἔχειν περὶ
αὐτὸν,

vtebar: ſpoliatus eis, vti quidem animaduerto, poſteaquam regnum adeptus ſum.

2. Verſabar cum aequalibus, quorum ego conſuetudine delectabar, ſicut et illi mea: verſabar et mecum ſolo, ſi quando quietem expeterem. Aderam ſaepenumero conuiuiis eo vſque, dum omnium obliuiſcerer, quae hominum in vita moleſta eueniunt: ſaepenumero dum cantilenis, hilaritatibus, choreis animum commiſcerem: ſaepenumero quamdiu tum mihi, tum iis qui aderant, collubitum fuiſſet.

3. Nunc vero ſpoliatus iis ſum, quae mihi iucunda erant; idque propterea, quod amicorum loco, ſeruorum ſodalitio vtar: ſum item ſpoliatus dulci eorum conſuetudine, propterea quod nullam in eis amplius erga me beneuolentiam perſpiciam. Ebrietatem ac ſomnum non aliter atque inſidias vito.

4. Iam quod hominum turbam metuo, quod e contrario ſolitudinem; quod cuſtodum abſentiam, quod ipſos etiam cuſtodes; quod neque inermes eos circum me habere volo,

neque

αὐτὸν, μηθ' ὡπλισμένους ἡδέως θεᾶσθαι, πῶς οὐκ ἀργαλέον ἐστὶ πρᾶγμα;

ε'. Ετι δὲ ξένοις μᾶλλον μὲν ἢ πολίταις πιστεύειν, βαρβάροις τε μᾶλλον ἢ Ελλησιν, ἐπιθυμεῖν δὲ τοὺς μὲν ἐλευθέρους δούλους ἔχειν, τοὺς δὲ δούλους ἀναγκάζεσθαι ποιεῖν ἐλευθέρους, ἃ πάντα σοὶ ταῦτα δοκεῖ ψυχῆς ὑπὸ φόβων καταπεπληγμένης τεκμήρια εἶναι;

ς'. Ο γέ τοι φόβος οὐ μόνον αὐτὸς ἐνὼν ταῖς ψυχαῖς λυπηρός ἐστιν, ἀλλὰ καὶ πάντων τῶν ἡδέων συμπαρακολουθῶν λυμεὼν γίγνεται.

ζ'. Εἰ δὲ καὶ σὺ πολεμικῶν ἔμπειρος εἶ, ὦ Σιμωνίδη, καὶ ἤδη ποτὲ πολεμίᾳ φάλαγγι πλησίον ἀντετάξω, ἀναμνήσθητι ποῖον μέν τινα σῖτον ἡρῶ ἐν ἐκείνῳ τῷ χρόνῳ, ποῖον δέ τινα ὕπνον ἐκοιμῶ.

η'. Οἷα μέντοι σοι τότ' ἦν τὰ λυπηρὰ, τοιαῦτ' ἐστὶ τὰ τῶν τυράννων, καὶ ἔτι δεινότερα. οὐ γὰρ ἐξ ἐναντίας μόνον, ἀλλὰ καὶ πάντοθεν πολεμίους ἑρᾶν νομίζουσιν οἱ τύραννοι.

θ'. Ταῦτα δ' ἀκούσας ὁ Σιμωνίδης, ὑπολαβὼν εἶπεν·

neque armatos lubenter adſpicio; quo pacto non res eſt aerumnoſa?

5. Praeterea plus exteris habere fidei, quam ciuibus; barbaris, quam Graecis; cupere ingenuis hominibus vt ſeruis vti, contraque cogi ad concedendam ſeruis libertatem; haec omnia non tibi eſſe videntur indicia perculſi a terroribus animi?

6. Neque ſolum metus ipſe in animis moleſtiam doloremque creat, ſed etiam exiſtit voluptatum omnium quoddam exitium, dum me comitatur.

7. Quod ſi tu quoque, Simonides, res bellicas expertus es, atque aliquando aduerſus hoſtilem phalangem in acie conſtitiſti: quantum id temporis cibi ſumſeris, recordare, qualique ſomno ſis vſus.

8. Nimirum quales tum moleſtias experiebaris, tales tyranni experiuntur, atque etiam grauiores. Non enim hoſtes ſolum ex aduerſo, ſed omni ex parte videre ſe putant.

9. Quae quum Simonides audiuiſſet: Videris, inquit, mihi quaedam

πεν· ὑπέρευ μοι δοκεῖς ἔνια λέγειν. ὁ γὰρ πόλεμος φοβερὸν μέν· ἀλλ' ὅμως, ὦ Ἱέρων, ἡμεῖς τε ὅταν ὦμεν ἐν στρατιᾷ, φύλακας προκαθιζάμενοι, θαρραλέως δεῖπνά τε καὶ ὕπνα τυγχάνομεν.

ί. Καὶ ὁ Ἱέρων ἔφη· ναὶ μὰ Δία, ὦ Σιμωνίδη, αὐτῶν μὲν γὰρ προφυλάττουσιν οἱ νόμοι, ὥστε περὶ ἑαυτῶν φοβεῖνται, καὶ ὑπὲρ ὑμῶν· οἱ δὲ τύραννοι μισθῷ φύλακας ἔχουσιν, ὥσπερ θερισάς.

ια'. Καὶ δεῖ μὲν δήπου τοὺς φύλακας μηδὲν ἧττον ποιεῖν δύνασθαι, ὡς πιστοὺς εἶναι· πιστὸν δὲ ἕνα πολὺ χαλεπώτερον εὑρεῖν, ἢ πάνυ πολλοὺς ἐργάτας, οἱοῖσι βέλει ἔργα, ἄλλως τε καὶ ὁπόταν χρημάτων μὲν ἕνεκα παρῶσιν οἱ φυλάσσοντες, ἐξῇ δ' αὐτοῖς ἐν ὀλίγῳ χρόνῳ πολὺ πλείω λαβεῖν ἀποκτείνασι τὸν τύραννον, ἢ ὅσα πολὺν χρόνον φυλάττοντες παρὰ τοῦ τυράννου λαμβάνουσιν.

ιβ'. Ὁ δ' ἐζήλωσας ἡμᾶς, ὡς τοὺς μὲν φίλους μάλιστα εὖ ποιεῖν δυνάμεθα, τοὺς δ' ἐχθροὺς πάντων μάλιστα χειρούμεθα, ὐδὲ ταῦθ' ἧττον ἔχει.

ιγ'. Φίλους

quaedam nimium bene dicere. Bellum enim terribile quidem illud eſt, ſed tamen nos, quum militamus, Hiero, excubiis ante caſtra collocatis, ſecure tum coenamus tum dormimus.

10. Et Hiero: Ita eſt profecto, inquit: Nimirum leges ante illos ipſos excubant, quo fit, vt et ſuo et veſtro nomine in meiu ſint. At tyranni cuſtodes habent ſtipendio conductos, perinde ac meſſores.

11. Et requiritur ſane potiſſimum ab illis cuſtodibus fides, verum fidelem vnum cuſtodem multo difficilius inueneris, quam multos admodum operarios, quoduis tandem opus exerceant: praeſertim ſi cuſtodes, quos diximus, pecuniae cauſſa adſint, atque liceat eis, interfecto tyranno, multo maiorem pecuniae vim exiguo tempore conſequi, quam, diu pro tyranno excubantes, ab eo accipiant.

12. Iam quod felices nos praedicaſti, vt qui amicos maxime beneficiis adficere poſſimus, et hoſtes facillime noſtram in poteſtatem redigere, ne id quidem ita comparatum eſt.

13. Nam

ιγ'. Φίλυς μὲν γὰρ πῶς ἂν νομίσαις ποτὲ εὖ ποιεῖν, ὅταν εὖ εἰδῇς, ὅτι ὁ τὰ πλεῖστα λαμβάνων παρὰ σοῦ, ἥδιστ' ἂν ὡς τάχιστα ἐξ ὀφθαλμῶν σου γένοιτο; ὅ, τι γὰρ ἄν τις λάβῃ παρὰ τοῦ τυράννου, ἀδεὲς ἀδεὲς αὐτοῦ νομίζει, πρὶν ἂν ἔξω τῆς τούτου ἐπικρατείας γένηται.

ιδ'. Ἐχθροὺς δ' αὖ πῶς ἂν φαίης μάλιστα τοῖς τυράννοις ἐξεῖναι χειροῦσθαι, ὅταν εὖ εἰδῶσιν ὅτι ἐχθροὶ αὐτῶν εἰσι πάντες οἱ τυραννούμενοι; τούτους δὲ μήτε κατακτείνειν ἅπαντας, μήτε δεσμεύειν οἷόν τε. *ἢ τίνων γὰρ ἔτι ἄρξει; ἀλλ' εἰδότα, ὅτι ἐχθροί εἰσι, τούτους ἅμα μὲν φυλάττεσθαί τε δεῖ, καὶ χρῆσθαι δ' αὐτοῖς ἀναγκάζεσθαι.

ιε'. Εὖ δ' ἴσθι καὶ τοῦτο, ὦ Σιμωνίδη, ὅτι καὶ οὓς τῶν πολιτῶν δεδίασι, χαλεπῶς μὲν αὐτοὺς ζῶντας ὁρῶσι, χαλεπῶς δ' ἀποκτείνουσιν.

ις'. Ὥσπερ γὰρ καὶ ἵππος, εἰ ἀγαθὸς μὲν εἴη, φοβερὸς δὲ μὴ ἀνήκεστόν τι ποιήσῃ, χαλεπῶς μὲν ἄν τις αὐτὸν ἀποκτείναι, διὰ τὴν ἀρετήν, χαλεπῶς δὲ ζῶντι χρῷτο,

13. Nam quo pacto existimare possis vnquam de amicis bene te promeriturum, si plane noris eum, qui accipit ab te plurima, lubentissime tuo ex conspectu abire quamprimum cupere? Quidquid enim abs tyranno quis accipit, eius nihil esse suum arbitratur, prius quam ex illius potestate euaserit.

14. Et quo pacto dicere possis, tyrannis facultatem imprimis non deesse, redigendi hostes in potestatem suam, quum certo sciant, omnes illos se hostes habere, qui eorum imperio subiecti sint? At illos omnes neque occidere, neque vinculis constringere possunt. Nam in quos tandem imperium esset? Nimirum necesse est, eum, non ignorantem, se illos hostes habere, simul et cauere sibi ab eis, et opera tamen ipsorum vti.

15. Hoc quoque scire debes, mi Simonides, a tyrannis etiam illos ciues, quos metuant, magna cum molestia viuos adspici, neque cum minore occidi.

16. Perinde atque equum, qui bonus quidem ille sit, metuatur autem, ne quod immedicabile det malum, haud facile quis ob virtutem interficit, nec facile

* Rectius εἶεν τε ἢ. τίνων γὰρ etc.

χρῶτο, εὐλαβόμενος μή τι ἀνήκεστον ἐν τοῖς κινδύνοις ἐργάσηται.

ιζ'. Καὶ τἄλλα γε κτήματα, ὅσα χαλεπὰ μὲν, χρήσιμα δ' ἐστὶν, ὁμοίως ἅπαντα λυπεῖ μὲν τὰς κεκτημένας, λυπεῖ δὲ ἀπαλλασσομένας.

ΚΕΦ. ζ'.

Ἐπεὶ δὲ ταῦτα αὐτῷ ἤκουσεν ὁ Σιμωνίδης, εἶπεν· ἔοικεν, ἔφη, ὦ Ἱέρων, μέγα τι εἶναι ἡ τιμὴ, ἧς ὀρεγόμενοι οἱ ἄνθρωποι πάντα μὲν πόνον ὑποδύονται, πάντα δὲ κίνδυνον ὑπομένουσι.

β. Καὶ ὑμεῖς, ὡς ἔοικε, τοσαῦτα πράγματα ἐχόντων, ὁπόσα λέγεις, τῆς τυραννίδος, ὅμως προπετῶς φέρεσθε εἰς αὐτὴν, ὅπως τιμᾶσθε, καὶ ὑπηρετοῦσι μὲν ὑμῖν πάντες πάντα τὰ προσατ[όμενα ἀπροφασίστως, περιβλέπουσι δὲ πάντες, ὑπανιστῶνται δ' ἀπὸ τῶν θάκων, ὁδῶν τε παραχωροῦσι, γεραίρουσι δὲ καὶ λόγοις καὶ ἔργοις πάντες οἱ παρόντες ἀεὶ ὑμᾶς. τοιαῦτα γὰρ δὴ ποιοῦσι τοῖς τυράννοις

facile eo viuo vtitur; dum cauet, ne in periculis malum insanabile sibi creet.

17. Itidem res aliae, quaecunque molestiam quandam cum vtilitate coniunctam habent, tum possidentibus tum abiicientibus eas dolorem adferunt.

CAP. VII.

His ex ipso auditis, Simonides: Magnum, inquit, esse quiddam honos videtur, Hiero, quem qui adpetunt, laborem omnem subeunt, omne periculum sustinent.

2. Vos quoque, ceu videtur, vtut tantum molestiarum tyrannis habeat, quantum commemoras; nihilominus praecipiti ad eam impetu ferimini, vt nimirum honorem adipiscamini, atque vt vobis omnes in omnibus, quae mandatis, vlla sine recusatione inseruiant, vniuersi vos respiciant, de sellis adsurgant, de via cedant; omnes denique familiares vestri semper vobis tum verbis tum factis honorem deferant. Nam huiusmodi quidem certe quaedam subditi regibus exhibent,

τυράννοις οἱ ἀρχόμενοι, *καὶ ἄλλον ὁντινα ἀεὶ τιμῶντες τυγχάνουσι.

γ'. Καὶ γάρ μοι δοκεῖ, ὦ Ἱέρων, τούτῳ διαφέρειν ἀνὴρ τῶν ἄλλων ζώων, τῷ τιμῆς ὀρέγεσθαι. ἐπεὶ σιτίοις τε, καὶ ποτοῖς, καὶ ὕπνοις, καὶ ἀφροδισίοις πάντα ὁμοίως ἥδεσθαι ἔοικε τὰ ζῶα· ἡ δὲ φιλοτιμία ὅτ' ἐν τοῖς ἀλόγοις ζώοις ἐμφύεται, ὅτ' ἐν ἅπασιν ἀνθρώποις. οἷς δ' ἂν ἐμφύῃ τιμῆς τε καὶ ἐπαίνου ἔρως, οὗτοί εἰσιν ἤδη οἱ πλεῖστον μὲν τῶν βοσκημάτων διαφέροντες, ἄνδρες δὲ, καὶ οὐκέτι ἄνθρωποι μόνον νομιζόμενοι.

δ'. Ὥστε ἐμοὶ μὲν εἰκότως δοκεῖτε ταῦτα πάντα ὑπομένειν, ἃ φέρετε ἐν τυραννίδι, ἐπείπερ τιμᾶσθε διαφερόντως τῶν ἄλλων ἀνθρώπων. καὶ γὰρ ἡδεμία ἀνθρωπίνη ἡδονὴ τῇ θείᾳ ἐγγυτέρω δοκεῖ εἶναι, ἢ ἡ περὶ τὰς τιμὰς εὐφροσύνη.

ε'. Πρὸς ταῦτα δὴ εἶπεν ὁ Ἱέρων· ἀλλ', ὦ Σιμωνίδη, καὶ

bent, atque alium etiam quemcunque honore ſemper adficere non deſinunt.

3. Etenim videtur, Hiero, ceteris ab animantibus homo in hoc mihi differre, quod honoris ſit cupidus. Nam de cibis, potu, ſomno, re venerea, conſentaneum eſt, pari quodam modo animalia cuncta voluptatem percipere. Verum ambitio neque animantibus rationis expertibus a natura ineſt, neque cuiuis homini. Quibus autem honoris ac laudis innata eſt cupiditas, illi vero ſunt, qui plurimum a pecudum natura differunt, ac viri plane, non homines duntaxat exiſtimantur.

4. Quo fit, vt equidem arbitrer, merito vos omnia in regno, quae fertis, ferre, quando ſupra mortales ceteros vobis honos defertur. Nulla enim voluptas humana videtur ad divinam accedere propius, quam ea, quae ex honoribus percipitur, delectatio.

5. Ad haec Hiero: Verum, mi Simonides, ait, etiam tyrannorum

* Leuncl. haec verba de tyrannis intelligit, et quaſi vitioſa ita corrigit: καὶ ἄλλοις αὐτὸς ἀεὶ τιμ.

καὶ αἱ τιμαὶ τῶν τυράννων ὅμοιαι ἐμοὶ δοκῶσιν εἶναι, οἷά περ ἐγώ σοι τὰ ἀφροδίσια ὄντα αὐτῶν ἀπέδειξα.

ς'. Οὔτε γὰρ αἱ μὴ ἐξ ἀντιφιλούντων ὑπουργίαι χάριτες ἡμῖν ἐδόκουν εἶναι, ὅτε τὰ ἀφροδίσια τὰ βίαια, ἡδέα ἐφαίνετο. ὡσαύτως τοίνυν οὐδὲ αἱ ὑπουργίαι ὑπὸ τῶν φοβουμένων τιμαί εἰσι.

ζ'. Πῶς γὰρ ἂν φαίημεν ἢ τοὺς βίᾳ ἐξανισταμένους θάκων, διὰ τὸ τιμᾶν τοὺς ἀδικοῦντας, ἐξανίστασθαι, ἢ τοὺς ὁδῶν παραχωροῦντας τοῖς κρείττοσι, διὰ τὸ τιμᾶν τοὺς ἀδικοῦντας, παραχωρεῖν;

η'. Καὶ δῶρά γε διδόασιν οἱ πολλοὶ τούτοις ὡς μισοῦσι, καὶ ταῦτα ὅταν μάλιστα φοβῶνται μή τι κακὸν ὑπ' αὐτῶν πάθωσιν. ἀλλὰ ταῦτα μέν, οἶμαι, δουλείας ἔργα εἰκότως ἂν νομίζοιτο, αἱ δὲ τιμαὶ ἔμοιγε δοκοῦσιν ἐκ τῶν ἐναντίων τούτοις γίγνεσθαι.

θ'. Οταν γὰρ οἱ ἄνθρωποι ἄνδρα ἡγησάμενοι εὐεργετεῖν ἱκανὸν εἶναι, καὶ ἀπολαύειν αὐτοῦ ἀγαθὰ νομίσαντες, ἔπειτα τοῦτον ἀνὰ στόμα τε ἔχωσιν ἐπαινοῦντες, θεῶνται

norum honores illis mihi consimiles venereis congressibus esse videntur, qualibus eos vti demonstrabam.

6. Nam neque obsequia eorum, qui non redamarent, pro gratificationibus habenda videbantur; neque congressus venerei, vi extorti, voluptati esse. Eodem scilicet modo nec obsequia praestita ab illis, qui nos metuunt, pro honoribus haberi debent.

7. Nam qui dicere possimus, eos, qui vi coacti de sellis adsurgunt, idcirco surgere, quod homines iniustos honore cupiant adficere? Vel eos, qui superioribus de via cedunt, idcirco decedere, vt iniustos homines honore adficiant?

8. Plerique certe etiam iis, quos odere, munera largiuntur; idque tum maxime, quum metuunt, ne quid ipsis mali ab eis accidat. Verum haec, mea quidem sententia, seruilia putari merito debent, quum honores ex eis oriantur, quae his sunt contraria.

9. Nam quum hominum ea est opinio, vt quis ad bene de ipsis promerendum satis sit idoneus, eiusque se bonis fruituros arbitrantur: tum vero si eum et praedicando in ore habeant,

θεῶνταί τ' αὐτὸν ὡς οἰκεῖον ἕκαστος ἀγαθὸν, ἐκόντες τε παραχωρῶσι τούτῳ ὁδῶν, καὶ θάκων ὑπανιστῶνται, φιλοῦντές τε καὶ μὴ φοβούμενοι, καὶ στεφανῶσι κοινῆς ἀρετῆς καὶ εὐεργεσίας ἕνεκα, καὶ δωρεῖσθαι ἐθέλωσιν, οἱ αὐτοὶ οὗτοι ἔμοιγε δοκοῦσι τιμᾶν τε τοῦτον ἀληθῶς, οἳ ἂν τοιαῦτα ὑπουργήσωσι, καὶ ὁ τούτων ἀξιούμενος, τιμᾶσθαι τῷ ὄντι.

ί. Καί ἔγωγε τὸν μὲν οὕτω τιμώμενον μακαρίζω. αἰσθάνομαι γὰρ αὐτὸν οὐκ ἐπιβουλευόμενον, ἀλλὰ φροντιζόμενον, μή τι πάθῃ, καὶ ἀφόβως καὶ ἀνεπιφθόνως καὶ ἀκινδύνως καὶ εὐδαιμόνως τὸν βίον διάγοντα· ὁ δὲ τύραννος, ὡς ὑπὸ πάντων ἀνθρώπων κατακεκριμένος δι' ἀδικίαν ἀποθνήσκειν, οὕτως, ὦ Σιμωνίδη, εὖ ἴσθι, καὶ νύκτα καὶ ἡμέραν διάγει.

ια'. Ἐπεὶ δὲ ταῦτα πάντα διήκουσεν ὁ Σιμωνίδης· καὶ πῶς, ἔφη, ὦ Ἱέρων, εἰ οὕτω πονηρόν ἐστι τὸ τυραννεῖν, καὶ τοῦτο σὺ ἔγνωκας, οὐκ ἀπαλλάττῃ οὕτω μεγάλων κακῶν; ὅτε σὺ, ὅτε ἄλλος μὲν δὴ οὐδεὶς πώ-

ποτε

beant, et tanquam bonum proprium ſinguli ſpectent, ac lubentibus animis ei de via cedant, de ſellis adſurgant, cum beneuolentia, non metu, virtutis ac beneficiorum in rempublicam cauſſa coronis ornent, munera largiantur: videntur mihi et illi, quotquot haec obſequia praeſtant, reuera ipſum honore proſequi; pariterque is, quem his dignantur, revera honore adfici.

10. Quin etiam illum, cui talis honos defertur, felicem praedico. Nam animaduerto, inſidias ei nullas fieri, ſed aliis eſſe curae, ne quid ipſi accidat: adeoque hunc metus, inuidiae, periculi expertem, aeuum beatum agere. Tyrannus autem, ſat ſcito, mi Simonides, neque noctu, neque interdiu viuit aliter, atque ſi propter iniuſtitiam damnatus ad mortem ab hominibus vniuerſis eſſet.

11. Poſteaquam haec omnia Simonides audiuiſſet: Qui vero fit, inquit, Hiero, quod quum tam aerumnoſa res ſit regno potiri, idque tu animaduerteris, tanto malo temet non liberes? Nimirum nec tu, nec quiſquam alius vnquam ſponte

ſua

ποτε ἐκὼν *εἶναι τυραννίδος ἀφεῖτο, ὅσπερ ἂν ἅπαξ κτήσαιτο.

ιβ. Οτι, ἔφη, ὦ Σιμωνίδη, ταύτη ἀθλιώτατόν ἐστιν ἡ τυραννίς. οὐδὲ γὰρ ἀπαλλαγῆναι δυνατὸν αὐτῆς ἐστι. πῶς γὰρ ἄν τις ποτὲ ἐξαρκέσειε τύραννος ἢ χρήματα ἐκτίνων, ὅσους ἀφείλετο, ἢ δεσμὰς ἀντιπαράσχοι, ὅσους δὴ ἐδέσμευσεν, ἢ ὅσους κατέκτανε, πῶς ἂν ἱκανὰς ψυχὰς ἀντιπαράσχοιτο ἀποθανουμένας;

ιγ. Αλλ' εἴπερ τῷ ἄλλῳ, ὦ Σιμωνίδη, λυσιτελεῖ ἀπάγξασθαι, ἴθι (ἔφη) ὅτι τυράννῳ ἔγωγε εὑρίσκω μάλιστα τοῦτο λυσιτελοῦν ποιῆσαι. μόνῳ γὰρ αὐτῷ οὔτε ἔχειν, οὔτε καταθέσθαι τὰ κακὰ λυσιτελεῖ.

ΚΕΦ. η'.

Καὶ ὁ Σιμωνίδης ὑπολαβών, εἶπεν· ἀλλὰ τὸ μὲν νῦν, ὦ Ἱέρων, ἀθύμως ἔχειν σε πρὸς τὴν τυραννίδα οὐ θαυμάζω, ἐπείπερ ἐπιθυμῶν φιλεῖσθαι ὑπ' ἀνθρώπων, ἐμποδὼν σοι τοῦτο νομίζεις αὐτὴν εἶναι. ἐγὼ μέντοι ἔχειν

sua regnum reliquit, poſteaquam ſemel id nactus eſſet.

12. Quia enim, ait, mi Simonides, hac ipſa in parte miſerrimum quiddam eſt tyrannis. Nec enim ea quis liberari poteſt. Nam qui tandem tyrannus quiſpiam tantum opum habeat, quantum ſatis ſit ad perſoluendum iis, quibus abſtulit ſua? qui compenſare poſſit iis vincula, quos vinculis conſtrinxit? qui tot animas occiſas iis reſtituat, quos ſuſtulit?

13. Nimirum ſi vlli alii, mi Simonides, laqueo vitam vt finiat, expedit: equidem reperio maxime tyranni e re eſſe, vt id faciat. Nam illi ſoli neque retinere, neque deponere, quae mala ſunt, expedit.

CAP. VIII.

Et Simonides, hoc ipſius ſermone excepto: Te vero, inquit, non aequo eſſe erga tyrannidem animo non miror, Hiero. Quippe dum amari ab hominibus cupis, hanc eſſe tibi impedimento arbitraris. At ego

* Omittendum videtur εἶναι.

ἔχειν μοι δοκῶ διδάξαι σε, ὡς τὸ ἄρχειν οὐδὲν ἀποκωλύει τῷ φιλεῖσθαι, ἀλλὰ καὶ πλεονεκτεῖν γε τῆς ἰδιωτείας.

β. Ἐπισκοπῶντες δὲ αὐτὸ, εἰ ὅτῳ ἔχει, μήπω ἐκεῖνο σκοπῶμεν, εἰ διὰ τὸ μεῖζον δύνασθαι ὁ ἄρχων καὶ χαρίζεσθαι πλείω δύναιτ' ἂν, ἀλλ' ἂν τὰ ὅμοια ποιῶσιν ὅ, τε ἰδιώτης καὶ ὁ τύραννος, ἐννόει πότερος μείζω ἀπὸ τῶν ἴσων κτᾶται χάριν. ἄρξομαι δέ σοι ἀπὸ τῶν μικροτάτων παραδειγμάτων.

γ. Ἰδὼν γὰρ πρῶτον προσειπάτω τινὰ φιλικῶς ὅ, τε ἄρχων καὶ ὁ ἰδιώτης, ἐν τούτῳ τὴν ποτέρου πρόσρησιν μᾶλλον εὐφραίνειν τὸν ἀκούσαντα νομίζεις; ἴθι δή, ἐπαινεσάντων ἀμφοτέρων τὸν αὐτὸν, τὸν ποτέρου δοκεῖς ἔπαινον ἐξικνεῖσθαι μᾶλλον εἰς εὐφροσύνην; θύσας δὲ τιμησάτω ἑκάτερος, τὴν παρ' ὁποτέρου τιμὴν μείζονος ἂν χάριτος δοκεῖς τυγχάνειν;

δ. Κάμνοντα θεραπευσάτωσαν ὁμοίως, ἀκοῦν τοῦτο σαφὲς, ὅτι αἱ ἀπὸ τῶν δυνατωτάτων θεραπεῖαι καὶ χαρὰν ἐμποιοῦσι μεγίστην; δότωσαν δὴ τὰ ἴσα, ὁ καὶ ἐν τούτῳ

posse me docere arbitror, imperium minime prohibere, quo minus quis diligatur: immo etiam in hoc vitam priuatam superare.

2. Verum in hac consideratione non ad hoc respiciendum est, num is, qui cum imperio est, propterea quod potentiam maiorem habeat, beneficia praestare maiora possit; sed si paria faciant, homo priuatus et rex, cogites velim, vter paribus beneficiis plus sit initurus gratiae. Ordiar autem minimis ab exemplis.

3. Primum aliquem visum amanter tum princeps, tum priuatus aliquis, salutet: vtrius compellationem magis illi, qui audiat, gratam fore arbitraris? Age vero, si ambo aliquem laudent, vtrius praedicationem existimas eo magis pertingere, vt voluptati sit? Facta re sacra, honore aliquem vterque adficiat; ab vtro putas exhibitum honorem, maiorem mereri gratiam?

4. Aduersa valetudine laborantis vterque similiter curam habeat, an non clarissime adparebit, profectam ab iis, qui plurimum possunt, curam, et officia, maximam quoque laetitiam adferre? Donentur aequalia, annon

τῦτῳ σαφὲς, ὅτι αἱ ἀπὸ τῶν δυνατωτάτων ἡμίσειαι χάριτες πλέον, ἢ ὅλον τὸ παρὰ τῦ ἰδιώτυ δώρημα, δύνανται;

ε'. Αλλ' ἔμοιγε δοκεῖ καὶ ἐκ θεῶν τιμή τις καὶ χάρις συμπαρέπεσθαι ἀνδρὶ ἄρχοντι. μὴ γὰρ ὅτι καλλίονα ποιεῖ ἄνδρα, ἀλλὰ καὶ τὸν αὐτὸν τῦτον θεώμεθά τε μᾶλλον, ὅταν ἄρχῃ, ἢ ὅταν ἰδιωτεύῃ· διαλεγόμενοί τε ἀγαλλόμεθα τοῖς προτετιμημένοις μᾶλλον, ἢ τοῖς ἐκ τῦ ἴσυ ἡμῖν ὦσι.

ς'. Καὶ μὴν παιδικά γε (ἐν οἷς δὴ καὶ σὺ μάλιστα κατεμέμψω τὴν τυραννίδα) ἥκιστα μὲν γῆρας ἄρχοντος δυσχεραίνει, ἥκιστα δ' ἂν αἶσχος, πρὸς ὃν ἂν τυγχάνοι ὁμιλῶν, τῦτο ὑπολογίζεται. αὐτὸ γὰρ τὸ τετιμῆθαι μάλιστα συνεπικοσμεῖ, ὥστε τὰ μὲν δυσχερῆ ἀφανίζειν, τὰ δὲ καλὰ λαμπρότερα ἀναφαίνειν.

ζ'. Οπότε γεμὴν ἐκ τῶν ἴσων ὑπυργημάτων, μειζόνων χαρίτων ὑμεῖς τυγχάνετε, πῶς ἂν, ἐπειδάν γε ὑμεῖς πολλα-

annon heic etiam perſpicuum erit, profecta ab eis, qui plurimum poſſunt, dimidia beneficia plus poſſe, quam totam hominis priuati largitionem?

5. Equidem puto etiam diuinitus fieri, vt hominem, qui cum imperio ſit, honor ac gratia quaedam comitetur. Non tantum enim hominem pulchriorem efficit imperium, ſed eundem contemplamur magis, vbi iam nactus eſt imperium; quam quum priuatus eſſet: atque etiam magis auemus cum illis colloqui, qui eximio ſupra caeteros in honore ſunt, quam cum aliis, qui nobis ſunt pares.

6. Amores itidem (qua in parte tu maxime tyrannidem vituperabas) minime ſenectutem eius, qui cum imperio eſt, moleſte ferunt: neque vlla ratione id turpe ducitur, cum quocumque tandem ille converſetur. Nam ornamento eſt eis maximo, quod apud illum in honore ſunt: itaque fit, vt, quae in eo ſunt moleſta, euaneſcant; quae vero pulcra, ſplendidius eluceſcant.

7. Enimuero quum ex paribus officiis maiores vos ineatis gratias, et multo plura, quam nos, praeſtando, iuuare

πολλαπλάσια μὲν διαπράττοντες ὠφελεῖν δύνησθε, πολλαπλάσια δὲ δωρεῖσθαι ἔχητε, ὑμᾶς καὶ πολὺ μᾶλλον φιλεῖσθαι τῶν ἰδιωτῶν προσήκει;

η'. Καὶ ὁ Ἱέρων εὐθὺς ὑπολαβών· ὅτι νὴ Δία, ἔφη, ὦ Σιμωνίδη, καὶ ἐξ ὧν ἀπεχθάνονται οἱ ἄνθρωποι ἡμᾶς, πολὺ πλείω τῶν ἰδιωτῶν ἀνάγκη ἐστὶ πραγματεύεσθαι.

θ'. Πρακτέον μέν γε χρήματα, εἰ μέλλοιμεν ἕξειν δαπανᾶν εἰς τὰ δέοντα· ἀναγκαστέον δὲ φυλάττειν, ὅσα δεῖται φυλακῆς· κολαστέον δὲ τοὺς ἀδίκους, κωλυτέον δὲ τοὺς ὑβρίζειν βουλομένους. καὶ ὅταν γε τάχους καιρὸς παραστῇ, ἢ πεζῇ, ἢ κατὰ θάλασσαν ἐξορμᾶσθαι, μὴ ἐπιτρεπτέον τοῖς ῥαδιουργοῦσιν.

ι'. Ἔτι δὲ μισθοφόρων μὲν ἀνδρὶ τυράννῳ δεῖ. τοῦτο δὲ βαρύτερον φόρημα οὐδὲν ἐστὶ τοῖς πολίταις. οὐ γὰρ τυράννοις τιμῆς, ἀλλὰ πλεονεξίας ἕνεκα νομίζουσι τούτους τρέφεσθαι.

ΚΕΦ. θ'.

Πρὸς ταῦτα δὴ πάλιν εἶπεν ὁ Σιμωνίδης· ἀλλ' ὅπως μὲν οὐ πάντων τούτων ἐπιμελητέον, ὦ Ἱέρων οὐ

possitis alios, atque etiam multo plura largiri: cur non magis vos amari conſentaneum fuerit, quam priuatos homines?

8. Et excepto ipſius ſermone Hiero: Quia, mi Simonides, inquit, neceſſe nos eſt multo etiam plura eiuſmodi agere, quam priuatos, ob quae hominum in odio ſumus.

9. Exigendae pecuniae, ſi quidem ad res neceſſarias ſumtus habere volumus: cogendi quidam ad cuſtodiendum ea, quae cuſtodia indigent: puniendi iniuſti, et coercendi, qui petulantes eſſe volunt. Quod ſi celeritatem occaſio temporis poſtulet, ad ſuſcipiendam vel terra vel mari expeditionem, non ignauis res committenda eſt.

10. Praeterea mercenario milite opus eſt regi, quo nullum onus ciuibus grauius eſt. Arbitrantur enim, hos a tyrannis ali, non vt eis honori ſint, ſed vt viribus ipſi ſint potiores.

CAP. IX.

Ad quae rurſus Simonides: Ego vero, mi Hiero, non nego, harum omnium rerum curam

ὃ λέγω. ἐπιμέλειαι μέντοι μοι δοκοῦσιν αἱ μὲν πάνυ πρὸς ἔχθραν ἄγειν, αἱ δὲ πάνυ διὰ χαρίτων εἶναι.

β'. Τὸ μὲν γὰρ διδάσκειν, ἃ ἐστι βέλτιστα, καὶ τὸν κάλλιστα ταῦτα ἐξεργαζόμενον ἐπαινεῖν καὶ τιμᾶν, αὕτη μὲν ἐπιμέλεια διὰ χαρίτων γίγνεται· τὸ δὲ τὸν ἐνδεῶς τι ποιοῦντα λοιδορεῖν τε, καὶ ἀναγκάζειν, καὶ ζημιοῦν, καὶ κολάζειν, ταῦτα δὲ ἀνάγκη δι' ἀπεχθείας μᾶλλον γίγνεσθαι.

γ'. Ἐγὼ οὖν φημὶ, ἀνδρὶ ἄρχοντι τὸ μὲν ἀνάγκης δεόμενον ἄλλοις προσακτέον εἶναι κολάζειν, τὸ δὲ τὰ ἆθλα ἀποδιδόναι, δι' αὑτοῦ ποιητέον. ὡς δὲ ταῦτα καλῶς ἔχει, μαρτυρεῖ τὰ γιγνόμενα.

δ'. Καὶ γὰρ ὅταν χορεὺς ἡμῖν βουλώμεθα ἀγωνίζεσθαι, ἆθλα μὲν ὁ ἄρχων προτίθησιν, ἀθροίζειν δὲ αὐτοὺς προστέτακται χορηγοῖς, καὶ ἄλλοις διδάσκειν, καὶ ἀνάγκην προσιθέναι τοῖς ἐνδεῶς τι ποιοῦσιν. ὥστ' εὐθὺς ἐν τούτοις τὸ μὲν ἐπίχαρι διὰ τοῦ ἄρχοντος ἐγένετο, τὰ δ' ἀντίτυπα δι' ἄλλων.

ε'. Τί οὖν κωλύει καὶ τἆλλα τὰ πολιτικὰ οὕτω περαίνεσθαι;

ram ſuſcipiendam eſſe: ſed tamen videntur mihi curationes aliae in odium adducere, aliae magna cum gratia coniunctae eſſe.

2. Nam docere, quae optima ſunt, et pulcherrime illa praeſtantem praedicare, atque in honore habere, ea curatio cum gratia quadam fit. At eum, qui non recte aliquid agit, conuiciis inceſſere, cogere, multare, punire: haec vero cum odio quodam fieri neceſſe eſt.

3. Quamobrem aio equidem, id quod neceſſitas requirit, debere illum, qui cum imperio eſt, aliis puniendum mandare: praemia vero per ſeipſum largiri. Quod ſane recte fieri, rerum euenta teſtantur.

4. Nam quum choros decertare volumus, praemia quidem praefectus ipſe proponit, congregandi autem ipſos munus choragis datur, itemque aliis, docendi, et cogendi eos, qui non ſat recte aliquid praeſtent. Ita ſtatim heic quod cum gratia coniunctum eſt, per praefectum ipſum curatur: quae vero dura ſunt, per alios.

5. Quid igitur impedimento ſit, quo minus etiam res ciuiles

αἰνεθαι; διῃρηνται μὲν γὰρ ἅπασαι αἱ πόλεις αἱ μὲν κατὰ φυλὰς, αἱ δὲ κατὰ μοίρας, αἱ δὲ κατὰ λόχους· καὶ ἄρχοντες ἐφ' ἑκάστῳ μέρει ἐφεστήκασιν.

ς'. Οὐκοῦν εἴ τις καὶ τούτοις (ὥσπερ τοῖς χοροῖς) ἆθλα προτιθείη καὶ εὐοπλίας, καὶ εὐταξίας, καὶ ἱππικῆς, καὶ ἀλκῆς τῆς ἐν πολέμῳ, καὶ δικαιοσύνης τῆς ἐν συμβολαίοις, εἰκὸς καὶ ταῦτα πάντα διὰ φιλονεικίαν εὐτόνως ἀσκεῖσθαι.

ζ'. Καὶ ναὶ μὰ Δία ὁρμῷντο ἂν θᾶττον, ὅποι δέοι, τιμῆς ὀρεγόμενοι, καὶ χρήματα θᾶσσον εἰσφέροιεν, ὁπότε τούτου καιρὸς εἴη, καὶ (τὸ πάντων γε χρησιμώτατον, ἥκιστα δὲ εἰθισμένον διὰ φιλονεικίας πράσσεσθαι) ἡ γεωργία αὐτὴ ἂν πολὺ ἐπιδοίη, εἴ τις ἆθλα προτιθείη κατ' ἀγροὺς, ἢ κατὰ κώμας τοῖς κάλλιστα τὴν γῆν ἐξεργαζομένοις, καὶ τοῖς εἰς τοῦτο τῶν πολιτῶν ἐρρωμένως τρεπομένοις πολλὰ ἂν ἀγαθὰ περαίνοιτο.

η'. Καὶ γὰρ αἱ πρόσοδοι αὔξοιντ' ἄν, καὶ ἡ σωφροσύνη πολὺ μᾶλλον σὺν τῇ ἀσχολίᾳ συμπαραμαξοῖ· καὶ

ceterae consimili ratione peragantur? Diuisae sunt enim vrbes vniuersae partim in tribus, partim in classes, partim in centurias, ac singulis partibus praefecti quidam sunt.

6. Quamobrem si quis his quoque (tanquam choris) praemia proponeret ob insignem armaturam, ob ordinis obseruationem, ob rem equestrem, ob fortitudinem militarem, ob iustitiam in commerciis: consentaneum esset, futurum vt etiam haec omnia per contentionem acriter exercerentur.

7. Ac profecto ad id, quo opus esset, celerius impellerentur, si quidem honoris cupiditate ducerentur: itemque citius pecuniam conferrent, quando sic vsus postularet: et (quod quidem fructuosissimum est, quamquam per contentionem agi minime consueuerit) ipsa agricultura magnum incrementum sumeret, si quis per agros, vel per vicos, optime terram excolentibus praemia constitueret: adeoque ciuibus, qui totis viribus in id incumberent, multa bona conficerentur.

8. Nam et prouentus augerentur, et modestia multo magis occupationum comes esset: ne

καὶ μὴν κακυργίαι γε ἧσσον τοῖς ἐνεργοῖς ἐμφύονται.

θ'. Εἰ δὲ καὶ ἐμπορία ὠφελεῖ τι πόλιν, τιμώμενος ἂν ὁ πλεῖστα τοῦτο ποιῶν καὶ ἐμπόρους ἂν πλείους ἀγείροι. εἰ δὲ φανερὸν γένοιτο, ὅτι καὶ ὁ πρόσοδόν τινα ἄλυπον ἐξευρίσκων τῇ πόλει τιμήσεται, ὧδε αὖτη ἂν ἡ σκέψις ἀργοῖτο.

ί. Ὡς δὲ συνελόντι εἰπεῖν, εἰ καὶ κατὰ πάντων ἐμφανὲς εἴη, ὅτι ὁ ἀγαθόν τι εἰσηγούμενος οὐκ ἀτίμητος ἔσαι, πολλοὺς ἂν καὶ τοῦτο ἐξορμήσειεν ἔργον ποιεῖσθαι τὸ σκοπεῖσθαί τι ἀγαθόν. καὶ ὅταν γε πολλοῖς περὶ τῶν ὠφελίμων μέλῃ, ἀνάγκη εὑρίσκεσθαί τε μᾶλλον καὶ ἐπιτελεῖσθαι.

ια'. Εἰ δὲ φοβῇ, ὦ Ἱέρων, μὴ ἐν πολλοῖς ἄθλων προτεθειμένων, πολλαὶ δαπάναι γίγνωνται, ἐννόησον ὅτι οὐκ ἔστιν ἐμπορεύματα λυσιτελέστερα, ἢ ὅσα ἄνθρωποι ἄθλων ὠνοῦνται. ὁρᾷς ἐν ἱππικοῖς, καὶ γυμνικοῖς, καὶ χορηγικοῖς ἀγῶσιν, ὡς μικρὰ ἆθλα μεγάλας δαπάνας, καὶ πολλοὺς πόνους, καὶ πολλὰς ἐπιμελείας ἐξάγεται ἀνθρώπων;

ΚΕΦ.

ne dicam, etiam facinora minus in iis, qui opus faciunt, exiſtere.

9. Quod ſi etiam mercatura reipublicae commodum aliquod adfert, maior mercatorum numerus excitabitur; ſi is, qui plurimum negotiatur, adfectus honore fuerit. Quod ſi futurum pateat, vt, qui ſine aliorum moleſtia prouentum aliquem reipublicae excogitat, et ipſe ornetur: ne illa quidem conſideratio relinquetur.

10. Denique, ſummatim vt dicam, ſi in omnibus perſpicuum eſſet, non cariturum honore, ſi quis boni alicuius auctor exſtiterit; multos hoc etiam impelleret, vt ſtudioſe boni aliquid inueſtigarent. Iam ſi commoda reipublicae multis curae ſint, neceſſe eſt magis aliquid inueniri, et praeſtari.

11. Quod ſi metuis, Hiero, ne propoſitis ad multa praemiis, magni ſumtus fiant: cogitato, nullas eſſe merces vtiliores, quam quae praemiis redimuntur. Vides in equeſtribus, et gymnicis, et ſcenicis certaminibus, quam exiguis praemiis ingentes ſumtus, multique labores, et multa etiam hominum ſtudia eliciantur?

ΚΕΦ. ί.

Καὶ ὁ Ἱέρων εἶπεν· ἀλλὰ ταῦτα μέν, ὦ Σιμωνίδη, καλῶς μοι δοκεῖς λέγειν. περὶ δὲ τῶν μισθοφόρων ἔχεις τι εἰπεῖν, ὡς μὴ μισεῖσθαι δι' αὐτούς; ἢ λέγεις, ὡς φιλίαν κτησάμενος ἄρχων, οὐδὲν ἔτι δεήσεται δορυφόρων;

β'. Ναὶ μὰ Δία, εἶπεν ὁ Σιμωνίδης, δεήσεται μὲν οὖν. οἶδα γὰρ, ὅτι ὥσπερ ἐν ἵπποις, οὕτω καὶ ἐν ἀνθρώποις τισὶν ἐγγίγνεται, ὅσῳ ἂν ἔκπλεω τὰ δέοντα ἔχωσι, τοσούτῳ ὑβριστοτέροις εἶναι.

γ'. Τοὺς μὲν οὖν τοιούτους μᾶλλον ἂν σωφρονίζοι ὁ ἀπὸ τῶν δορυφόρων φόβος· τοῖς δὲ καλοῖς κἀγαθοῖς ἀπ' οὐδενὸς ἄν μοι δοκεῖς τοσαῦτα ὠφελήματα παρασχεῖν, ὅσα ἀπὸ τῶν μισθοφόρων.

δ'. Τρέφεις μὲν γὰρ δήπου καὶ σὺ αὐτοὺς σαυτῷ φύλακας· ἤδη δὲ πολλοὶ καὶ δεσπόται βίᾳ ὑπὸ τῶν δούλων ἀπέθανον. εἰ οὖν ἓν πρῶτον τοῦτ' εἴη τῶν προσεταγμένων τοῖς μισθοφόροις, ὡς πάντων οὖσας δορυφόρους τῶν πολιτῶν, βοηθεῖν

CAP. X.

Et Hiero: Recte tu quidem, inquit, illa mihi dicere videris, Simonides. Ceterum de ſtipendiario milite num proferre quid potes, vt videlicet propter ipſos minus in odio ſimus? an ais principem, amicitia hominum conciliata, ſatellitum opera nihil amplius egere?

2. Immo, inquit Simonides, egebit certe. Nam ſcio, perinde vt equis, ita et hominibus quibuſdam accidere, vt quanto magis ipſis neceſſaria ſuppetant, tanto ſint petulantiores.

3. Hos igitur magis modeſtos reddet ortus a ſatellitibus metus: bonis autem egregiisque viris nulla re tantum mihi poſſe prodeſſe videris, quantum his ipſis ſtipendiariis militibus.

4. Nam tui corporis cuſtodes alis, et multi iamdudum domini, vi ſuis a ſeruis ſunt interemti. Quod ſi primum hoc militi mercenario imperetur, vt ſuccurrant omnibus, tamquam ſi eſſent ſatellites omnium ciuium

βοηθεῖν πᾶσιν, ἄν τι τοιοῦτον αἰσθάνωνται· γίγνονται δὲ πᾶν (ὡς πάντες ἐπισάμεθα) κακοῦργοι ἐν πόλεσιν. εἰ δὲ καὶ τούτους φυλάττειν εἶεν τεταγμένοι, καὶ τοῦτ' ἂν εἰδεῖεν ὑπ' αὐτῶν ὠφελούμενοι.

ε'. Πρὸς δὲ τούτοις, καὶ τοῖς ἐν τῇ χώρᾳ ἐργάταις καὶ κτήνεσιν ἅτοι ἂν εἰκότως καὶ θάρσος καὶ ἀσφάλειαν δύναιντο μάλιστα παρέχειν, ὁμοίως μὲν τοῖς σοῖς ἰδίοις, ὁμοίως δὲ τοῖς ἀνὰ τὴν χώραν. ἱκανοὶ γεμὴν εἰσι καὶ σχολὴν παρέχειν τοῖς πολίταις τῶν ἰδίων ἐπιμελεῖσθαι, τὰ ἐπίκαιρα φυλάσσοντες.

ς'. Πρὸς δὲ τούτοις, καὶ πολεμίων ἐφόδους κρυφαίας καὶ ἐξαπιναίας τίνες ἑτοιμότεροι ἢ προαισθέσθαι, ἢ κωλύσαι, τῶν ἀεὶ ἐν ὅπλοις τε ὄντων, καὶ συντεταγμένων; ἀλλὰ μὴν καὶ ἐν τῇ στρατείᾳ τί ἐστιν ὠφελιμώτερον πολίταις μισθοφόρων; τούτους γὰρ πρόπονεῖν, καὶ προκινδυνεύειν, καὶ προφυλάττειν εἰκὸς ἑτοιμοτάτους εἶναι.

ζ'. Τὰς δ' ἀγχιτέρμονας πόλεις οὐκ ἀνάγκη διὰ τοὺς ἀεὶ

vium, ſi quid animaduerterint; quumque ſoleant (vt omnibus notum) exiſtere facinoroſi homines in ciuitatibus, hos quoque ſi obſeruare iubeantur; ſcient ciues, hanc ſe vtilitatem ex eis percipere.

5. Deinde ruri opus facientibus, ac iumentis quoque, conſentaneum eſt, hos et fiduciam, et ſecuritatem praeſtare poſſe: idque perinde priuatim tuis, atque aliis, qui paſſim in regione degunt. Poſſunt etiam ciuibus praeſtare otium, per quod liceat ipſis res ſuas curare, ſi loca opportuna cuſtodierint.

6. Ad hoſtium praeterea repentinas et occultas inſidias vel praeſentiendas, vel impediendas, quinam paratiores fuerint, quam illi, qui ſemper armati ſunt, et vno quaſi corpore coniuncti? Etiam in ipſo bello quid ciuibus eſt milite ſtipendiario vtilius? Nam eos et ad laborandum pro aliis, et adeundum pericula, et excubandum, promtiſſimos eſſe, conſentaneum eſt.

7. Finitimas quoque ciuitates an non propter eos, qui ſemper

ἀεὶ ἐν ὅπλοις ὄντας, καὶ εἰρήνης μάλιστα ἐπιθυμεῖν; οἱ γὰρ συντεταγμένοι καὶ σώζειν τὰ τῶν φίλων μάλιστα, καὶ σφάλλειν τὰ τῶν πολεμίων δύναιντ' ἄν.

η'. Οταν γεμὴν γνῶσιν οἱ πολῖται, ὅτι ὅτοι κακὸν μὲν ὀδὲν ποιῶσι τὸν μηδὲν ἀδικοῦντα, τὰς δὲ κακουργεῖν βουλομένας κωλύωσι, βοηθῶσι δὲ τοῖς ἀδικουμένοις, προνοῶσι δὲ καὶ προκινδυνεύωσι τῶν πολιτῶν, πῶς οὐκ ἀνάγκη καὶ δαπανᾶν εἰς τούτους ἥδιστα; τρέφουσι γοῦν καὶ ἰδίᾳ ἐπὶ μείοσι τούτων φύλακας.

ΚΕΦ. ια'.

Χρὴ δὲ, ὦ Ἱέρων, οὐδ' ἀπὸ τῶν ἰδίων κτημάτων ὀκνεῖν δαπανᾶν εἰς τὸ κοινὸν ἀγαθόν. καὶ γὰρ ἔμοιγε δοκεῖ τὰ εἰς τὴν πόλιν ἀναλώμενα μᾶλλον εἰς τὸ δέον τελεῖσθαι, ἢ τὰ εἰς τὸ ἴδιον ἀνδρὶ τυράννῳ. καθ' ἓν δὲ ἕκαστον σκοπῶμεν.

β'. Οἰκίαν πότερον ὑπερφαλλούσῃ δαπάνῃ κεκαλλωπισμένην μᾶλλον ἡγῇ κόσμον ἄν σοι παρέχειν, ἢ πᾶσαν τὴν

semper in armis sunt; necesse est etiam pacis maxime cupidas esse? Nam qui merendis stipendiis conscripti sunt milites, maxime tum amicorum fortunas tueri, tum hostium pessundare possunt.

8. Iam si ciues intelligant, hos nihil iniuste agentibus haud nocere; sed illos impedire, qui alios laedere volunt; iniuriam passis succurrere, pro ciuibus et sollicitos esse, et pericula obire: qui non eos necesse est lubentissime sumtum in hos conferre? Alunt certe priuatim custodes rerum etiam minoris momenti.

CAP. XI.

Necesse est etiam, mi Hiero, vt boni publici caussa de tuis quoque facultatibus sumtus facere non recuses. Nam equidem arbitror, ea, quae ciuitati impendantur, vtilius expendi; quam quae rex priuatim insumit. Consideremus sane rem singillatim.

2. Vtrum existimas domum immenso sumtu elegantissime exstructam ornamento tibi maiori esse, quam si vrbem vniuersam,

τὴν πόλιν τείχεσί τε, καὶ ναοῖς, καὶ παραστάσι, καὶ ἀγοραῖς, καὶ λιμέσι κατεσκευασμένην;

γ'. Ὅπλοις δὲ πότερον τοῖς ἐκπαγλοτάτοις αὐτὸς κατακεκοσμημένος δεινότερος ἂν φαίνοιο τοῖς πολεμίοις, ἢ τῆς πόλεως ὅλης εὐόπλου σοι ὔσης;

δ'. Προσόδους δὲ ποτέρως ἂν δοκῇς πλείονας γίγνεσθαι, εἰ τὰ σὰ ἴδια μόνον ἐνεργὰ ἔχοις, ἢ εἰ τὰ πάντων τῶν πολιτῶν μεμηχανημένος εἴης ἐνεργὰ εἶναι;

ε'. Τὸ δὲ πάντων κάλλιστον καὶ μεγαλοπρεπέστατον νομιζόμενον εἶναι ἐπιτήδευμα, ἁρματοτροφίαν, ποτέρως ἂν δοκῇς μάλιστα κοσμεῖν, εἰ αὐτὸς πλεῖστα τῶν Ἑλλήνων ἅρματα τρέφοις τε, καὶ πέμποις εἰς τὰς πανηγύρεις, ἢ εἰ ἐκ τῆς πόλεως πλεῖστοι μὲν ἱπποτρόφοι εἶεν, πλεῖστοι δ' ἀγωνίζοιντο; νικᾶν δὲ πότερα δοκεῖς κάλλιον εἶναι, ἅρματος ἀρετῇ, ἢ πόλεως, ἧς προστατεύεις, εὐδαιμονίᾳ;

ς'. Ἐγὼ μὲν γὰρ οὐδὲ προσήκειν φημὶ ἀνδρὶ τυράννῳ πρὸς ἰδιώτας ἀγωνίζεσθαι. νικῶν μὲν γὰρ οὐκ ἂν θαυμάζοιο,

sam, moenibus, templis, columnis, foris, portubus instruas?

3. Num si armis ipse plane formidabilibus ornatus iis, maiori hostibus terrori fueris; quam si ciuitas vniuersa bene tibi sit armis instructa?

4. Vtrum te prouentus plures putas habiturum, si tantum, quae priuatim ad te spectant, ad fructum comparata tibi sunt; an si viam ac rationem excogitaueris, qua ciues vniuersi quaestum industria sua faciant?

5. Iam quod omnium praeclarissimum et magnificentissimum studium esse ducitur, vtrum te putas maiori cum decore currus instructurum, si vnus inter omnes Graecos maximam curruum copiam instituas, et ad celebres illos [Graeciae] conuentus mittas: an vero si maxima ciuium pars equos alat, et plurimi decertent? Vtrum putas esse pulchrius, currus praestantia vincere; an vrbis, cuius es praeses, felicitate?

6. Equidem ne conuenire quidem aio, vt rex cum priuatis hominibus certamine congrediatur. Nam si vincas, non

eris

μάζοιο, ἀλλὰ φθονοῖο, ὡς ἀπὸ πολλῶν οἴκων τὰς δαπάνας ποιούμενος· νικώμενος δ' ἂν πάντων μάλιστα καταγελῷο.

ζ'. Αλλ' ἐγώ σοι φημὶ, ὦ Ιέρων, πρὸς ἄλλους προστάτας πόλεων τὸν ἀγῶνα εἶναι, ὧν ἐὰν σὺ εὐδαιμονεστάτην τὴν πόλιν, ἧς προστατεύεις, παρέχοις, *εὖ ἔσῃ νικῶν τῷ καλλίστῳ, καὶ μεγαλοπρεπεστάτῳ ἐν ἀνθρώποις ἀγωνίσματι.

η'. Καὶ πρῶτον μὲν εὐθὺς κατειργασμένος ἂν εἴης τὸ φιλεῖσθαι ὑπὸ τῶν ἀρχομένων, ἃ δὴ σὺ ἐπιθυμῶν τυγχάνεις. ἔπειτα δὲ τὴν σὴν νίκην οὐκ ἂν εἷς εἴη ὁ ἀνακηρύττων, ἀλλὰ πάντες ἄνθρωποι ὑμνοῖεν ἂν τὴν σὴν ἀρετήν.

θ'. Περίβλεπτος δὲ ὢν, οὐχὶ ὑπὸ ἰδιωτῶν μόνον, ἀλλὰ καὶ ὑπὸ πολλῶν πόλεων ἀγαπῷο ἄν, καὶ θαυμαστὸς οὐκ ἰδίᾳ μόνον, ἀλλὰ καὶ δημοσίᾳ παρὰ πᾶσιν ἂν εἴης.

ι. Καὶ ἐξείη μὲν ἄν σοι ἕνεκεν ἀσφαλείας, εἴπερ βούλοιο, θεωρήσοντι πορεύεσθαι, ἐξείη δ' ἂν αὐτῷ μένοντι τοῦτο

eris in admiratione, ſed inuidia, veluti qui ſumtus ex re familiari multorum facias: at ſi vincaris, maxime omnium irriſioni eris expoſitus.

7. Equidem tibi, mi Hiero, propoſitum eſſe certamen adverſus alios vrbium praeſides aio, inter quos ſi tu ciuitatem, cuius es princeps, feliciſſimam reddas; ſcito te pulcherrimo et magnificentiſſimo inter homines certaminis genere victorem futurum.

8. Primum effeceris, vt a ſubditis tuis diligaris, quod tu quidem expetis: deinde victoriam tuam non vnus praeconio ſuo publicaret, ſed virtutem tuam praedicarent homines vniuerſi.

9. Suſpicereris itidem, ac diligereris, non ſolum a priuatis hominibus, ſed a multis etiam vrbibus: nec priuatim eſſes in admiratione, ſed publice apud omnes.

10. Liceret tibi, ſi velles quod ſecuritatem attinet, ſpectatum aliquo proficiſci: et heic manenti liceret hoc ipſum facere.

* Al. οὗ ἕνεκα, quod Leunclauius in interpretatione ſequitur.

τῦτο πράττειν. ἀεὶ γὰρ ἂν παρὰ σοὶ πανήγυρις εἴη τῶν βελομένων ἐπιδεικνύναι, εἴ τις τι σοφὸν, ἢ καλὸν, ἢ ἀγαθὸν ἔχοι, τῶν δὲ καὶ ἐπιθυμούντων ὑπηρετεῖν.

ια'. Πᾶς δὲ ὁ μὲν παρὼν σύμμαχος ἂν εἴη σοι, ὁ δὲ ἀπὼν ἐπιθυμοίη ἂν ἰδεῖν σε· ὥστε ὐ μόνον φιλοῖο ἄν, ἀλλὰ καὶ ἐρῷο ὑπ' ἀνθρώπων· καὶ τὺς καλὺς ὐ πειρᾶν, ἀλλὰ πειρώμενον ὑπ' αὐτῶν ἀνέχεσθαι ἄν σε δέοι· φόβον δὲ ὐκ ἂν ἔχοις, ἀλλ' ἄλλοις παρέχοις, μή τι πάθῃς.

ιβ'. Εκόντας δὲ τὺς πειθομένυς ἔχοις ἂν, καὶ ἑθελυσίως σε προνοῦντας θεῷο ἄν. εἰ δέ τις κίνδυνος εἴη, ὐ συμμάχυς μόνον, ἀλλὰ καὶ προμάχυς, καὶ προθύμυς ἐρῴης ἄν, πολλῶν μὲν δωρεῶν ἀξιώμενος, ὐκ ἀπορῶν δὲ, ὅτῳ τύτων εὐμενεῖ μεταδώσεις· πάντας μὲν συγχαίροντας ἔχων ἐπὶ τοῖς σοῖς ἀγαθοῖς, πάντας δὲ περὶ τῶν σῶν ἰδίων ὥσπερ τῶν ἰδίων μαχομένυς.

ιγ'. Θησαυρὺς γεμὴν ἔχοις πάντας τὺς παρὰ τοῖς φίλοις πλύτυς. ἀλλὰ θαῤῥῶν, ὦ Ιέρων, πλύτιζε μὲν τὺς φίλυς

ere. Semper enim esset apud te coetus frequens eorum, qui edere specimina vellent, si quid haberent vel sapientiae, vel pulchrae, vel egregiae rei; atque illorum etiam, qui tibi cuperent operam inseruiendo nauare.

11. Quisquis adesset tibi, socius esse tibi vellet; et qui abesset, videre te cuperet. Adeoque non tantum ab hominibus diligereris, sed etiam amareris. Forma praestantes non ipse tentares, sed tentari te ab eis patereris. Non esset quod tibi metueres; sed potius alii, ne quid accideret tibi, metuerent.

12. Parerent tibi subditi, eosque videres sua sponte de te sollicitos esse. Si quid esset periculi, non auxiliarios tantum, sed etiam propugnatores, eosque alacres cerneres. Multis muneribus dignus iudicareris, neque copia deesset, bene tibi volenti vicissim illa impertiendi. Omnes ob commoda tua tecum gauderent, omnes pro bonis priuatim tuis, tanquam propriis, dimicarent.

13. Omnes, quae apud amicos essent, opes, thesauri tui forent. Tu vero, mi Hiero, amicos collocupletare ne dubites,

φίλυς· σαυτὸν γὰρ πλυτιεῖς. αὔξει δὲ τὴν πόλιν· σαυτῷ γὰρ δύναμιν περιάψεις. κτῶ δὲ αὐτῇ συμμάχυς.

ιδ'. Νόμιζε δὲ τὴν μὲν πατρίδα, οἶκον, τὺς δὲ πολίτας, ἑταίρυς· τὺς δὲ φίλυς, τέκνα σεαυτῦ· τὺς δὲ παῖδας, *ὅ, τι περ τὴν σὴν ψυχήν. καὶ τύτυς πάντας πειρῶ νικᾶν εὖ ποιῶν.

ιε'. Ἐὰν γὰρ τὺς φίλυς κρατῆς εὖ ποιῶν, ὰ μή σοι δύνωνται ἀντέχειν οἱ πολέμιοι. κἂν ταῦτα πάντα ποιῇς, εὖ ἴσθι πάντων τῶν ἐν ἀνθρώποις κάλλιςον καὶ μακαριώτατον κτῆμα κεκτῆσθαι. εὐδαιμονῶν γὰρ ὰ φθονηθήσῃ.

bites, quum temetipſum hoc modo ditaturus ſis. Rempublicam augeto, tibimet ipſi potentiam adiunctum. Comparato reipublicae belli ſocios.

14. Patriam exiſtimato domum tuam eſſe: ciues, ſocios: amicos, liberos tuos: liberos nihil aliud, quam tuum ipſius animum. Atque hos omnes beneficiis ſuperare contendito.

15. Nam ſi amicos benefaciendo viceris, reſiſtere tibi hoſtes minime poterunt. Denique ſi haec omnia praeſtiteris, ſcito plane quiddam te longe humanis in rebus praeclariſſimum felicisſimumque conſequuturum; vt, rametſi beatus ſis, inuidiam tamen haud experiaris.

* Forte ὥσπερ.

IMPRESSIT VDALRICVS CHRISTIANVS SAALBACH.

GIUSEPPE GIANNINI
LEGATORE DI LIBRI
Piazza Pitti N.° 21
FIRENZE

005652651